64

Αὔξ. Ἀρ. 1

ΒΙΒΛΙΟΘΗΚΗ

ΚΡΑΤΙΚΟΥ ΝΟΣΟΚΟΜ. ΒΕΡΟΙΑΣ

ΕΚ ΔΩΡΕΑΣ

ΙΑΤΡΟΥ ΑΝΤΩΝΙΟΥ ΤΣΟΥΠΕΛΗ

Ἐν Βεροίᾳ τῇ 19

Αμιλλα Κοινωνικής Βιβλιοθήκης Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
4054
+2.00
*Αριθ. εἰσ.
ΔΩΡΕΑ Τσολάκη
GRVER00751

Α64/





Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
1753

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΤΗΝ ΠΡΟΣ

ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1842.

Αρ Εισ 2054
Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΚΟΥΜΕΝΙΟΥ ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΕΙΣ ΤΑΣ

ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΤΗΝ ΠΡΟΣ

ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΕΝ ΑΘΗΝΑΙΣ,


ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1842.

Αρ. Εισ 4054

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



ΠΡΟΛΕΓΟΜΕΝΑ.

Την ιζ' Σεπτεμβρίου τοῦ παρελθόντος ἔτους 1841 ἀναγγείλαντες τὴν ἔκδοσιν τῆς καινῆς Διαθήκης μετὰ ὑπομνημάτων ἀρχαίων, ὑπεσχέθημεν, ὅτι εἰς μὲν τὰ ἱερὰ εὐαγγέλια θέλομεν ἐκδώσει τὴν ἑρμηνείαν Εὐθυμίου τοῦ Ζιγαβηνοῦ· εἰς δὲ τὰς Πράξεις τῶν ἀποςόλων, εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου, καὶ εἰς τὰς καθολικὰς, τά ὑπομνήματα τοῦ Οἰκουμενίου· καὶ τοῦτ' αὐτὸ ἐπανελάβομεν καὶ ἐν οἷς ἐπροτάξαμεν εἰς τὸν Α' τόμον προλεγομένοις. Ἡ εἰς τὰ τέσσαρα ἱερὰ εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ἐξεδόθη ἤδη εἰς δύο τόμους, καὶ ἀναγινώσκεται παρὰ πολλῶν τῶν τέκνων τῆς ὀρθοδόξου ἡμῶν ἀνατολικῆς ἐκκλησίας μετὰ μεγάλης ψυχικῆς ὠφελείας· ἡ δὲ εἰς τὰς Πράξεις τῶν ἀποστόλων καὶ εἰς τὰς ἐπιστολὰς ἐξήγησις τοῦ Οἰκουμενίου ἐκδίδεται.

Ἀλλ' ἐν οἷς ἐπροτάξαμεν εἰς τὸν Α' τόμον προλεγομένοις εἴπομεν, τίς καὶ ὁποῖος Εὐθύμιος ὁ Ζιγαβηνὸς, καὶ ὁποία ἡ εἰς τὰ τέσσαρα ἱερὰ εὐαγγέλια ἑρμηνεία αὐτοῦ. Τίς δὲ, καὶ ὁποῖος ὁ Οἰκουμένιος; Περὶ αὐτοῦ τόσον μόνον ἠξεύρομεν ἕως τώρα, ὅτι δηλαδὴ ἦτον ἐπίσκοπος Τρίκκης τῆς Θετταλίας·

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὅτι ἤκμαζε περὶ τὸ τέλος τοῦ Ι' αἰῶνος (1). Πρῶτος δὲ ἐποίησε καὶ τοῦτο γνωστόν ὁ Μοντφωκόνιος (2).

Περὶ τῶν εἰς τὸ ὄνομα τοῦ Οἰκουμενίου φερομένων ὑπομνημάτων ἀμφιβάλλουσί τινες, ὅτι ταῦτα εἶναι πόνημα αὐτοῦ. Ἀλλ' ὁ εἰς τὴν λατινικὴν γλῶσσαν μεταφράσας αὐτὰ Ἰωάννης ὁ Ἐντένιος ἀποδεικνύει αὐτὰ ἔργον γνήσιον τοῦ Οἰκουμενίου· καὶ ἐξ ὧν φέρει ὁ Ἐντένιος λόγων, καὶ ἐξ ὧν καὶ ἡμεῖς αὐτοὶ ἀνέγνωμεν παρ' ἄλλοις, ὁμογενέσι καὶ ἀλλογενέσι, περὶ τούτου, πειθόμεθα, ὅτι τῳόντι ὁ ἐπίσκοπος Τρίκκης Οἰκουμένιος συνέταξε τὰ ὁποῖα ἐκδίδομεν ὑπομνήματα.

Εἴπομεν δὲ καὶ ἐν τῇ περὶ τῆς ἐκδόσεως τῆς καινῆς Διαθήκης μετὰ ὑπομνημάτων ἀρχαίων ἀγγελίᾳ, καὶ ἐν τοῖς εἰς τὸν Α' τόμον τῆς ἐκδόσεως ταύτης προτεταγμένοις προλεγομένοις, ὅτι καὶ τοῦ Οἰκουμενίου καὶ τοῦ Θεοφυλάκτου καὶ τοῦ Εὐθυμίου τὰ ὑπομνήματα εἶναι κυρίως ἐρανισμένα ἐκ τῶν συγγραμμάτων τῶν πρὸ αὐτῶν ἀκμασάντων θείων τῆς ἐκκλησίας Πατέρων, καὶ κατ' ἐξοχὴν τοῦ τῳόντι καὶ ἀληθῶς χρυσοῦ τὴν γλῶσσαν Ἰωάννου, ὡς ὁμολογεῖ καὶ ὁ μακαρίτης Νικόδημος ὁ Ἁγιορείτης ἐν οἷς προλέγει εἰς τὴν παρ' αὐτοῦ γενομένην καὶ Ἐνετίησιν ἐν ἔτει 1819 ἐκδεδομένην μετάφρασιν τῆς εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου ἑρμηνείας τοῦ Θεοφυλάκτου, περί τε τοῦ Θεοφυλάκτου αὐτοῦ καὶ περὶ τοῦ Οἰκουμενίου· διότι ἠγνόει ἴσως τὴν εἰς τὰ ἱερὰ εὐαγγέλια ἑρμηνείαν Εὐθυμίου τοῦ Ζιγαβηνοῦ. Ἀλλ' εἴπομεν ἐν ταὐτῷ, ὅτι, καίτοι κυριωτέρως συλλογεῖς ἢ ἐρανισταὶ οἱ εἰρημένοι, ἐξέφρασαν ὅμως ἐν πολλοῖς καὶ ἰδίας αὐτῶν γνώμας, καὶ γνώμας ἐπιτυχεῖς. Ἀλλὰ τὸ ἔργον τοῦ ἑνὸς ὑπερέχει τοῦ τοῦ ἑτέρου κατὰ τὸ μέτρον τῆς κρίσεως τοῦ συντάκτου. Ἡ εἰς τὰ τέσσαρα εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ὑπερέχει τῆς εἰς αὐτὰ ἑρμηνείας τοῦ Θεοφυ-

(1) Id. Jo. Alb. Fabricii Biblioth. Graec. Vol. VIII. pag. 692—695. Ed. Harl.

(2) Bern. de Montfaucon ἐν τῇ Bibliotheca Coisliana, olim Segueriana. Paris. 1715. fol. p. 277 sq.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λάκτου, καθὼς ἤθελεν ἀποδειχθῆ ὑπερέχουσα καὶ ἡ εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου ἑρμηνεία αὐτοῦ, ἂν ἦτον ἐκδεδομένη, τῶν εἰς αὐτὰς ἑρμηνειῶν τοῦ Οἰκουμενίου καὶ τοῦ Θεοφυλάκτου. Ἐρανίσατο μὲν καὶ ὁ Εὐθύμιος, ὡς ὁμολογεῖ καὶ αὐτὸς ὁ ἴδιος, ἐκ τῶν πρὸ αὐτοῦ ἀκμασάντων ἑρμηνευτῶν· ἀλλ' εἰς ἓν συναρμολογησάμενος ὅσα ἀφ' ἑνὸς ἑκάστου αὐτῶν ἔλαβε, κατεσκεύασεν ἐξ αὐτῶν ἓν ὅλον συνεχές· ὁ δὲ Οἰκουμένιος συνάπτει ὡς ἐπὶ τὸ πλεῖστον τὰς διαφόρους γνώμας μίαν κατόπιν τῆς ἄλλης, εἴτε ἀναφέρων τ' ὄνομα τοῦ ἐξ οὗ ἐλήφθη ἡ γνώμη συγγραφέως, εἴτε καὶ ἁπλῶς διὰ τοῦ ΑΛΛΩΣ. Ὥσε τὸ ὑπόμνημα αὐτοῦ πλησιάζει περισσότερον εἰς τὰς ἰδιαιτέρως λεγομένας σειράς.

Ἐρανίσατο δὲ, ἢ μᾶλλον συνετάξατο, ὁ Οἰκουμένιος τὰ ὁποῖα ἐκδίδομεν ὑπομνήματα αὐτοῦ ἐκ τῶν ἑξῆς ἁγίων τῆς ἐκκλησίας Πατέρων· οἷον τοῦ Ἀθανασίου, τοῦ Βασιλείου, Γρηγορίου τοῦ θεολόγου καὶ Γρηγορίου ἐπισκόπου Νύσσης, τοῦ Κυρίλλου, τοῦ Θεοδωρήτου, τοῦ Μεθοδίου, τοῦ Γενναδίου, τοῦ Σευηριανοῦ, τοῦ Ἰσιδώρου, καὶ ἄλλων· ἐξαιρέτως δὲ ἐκ τοῦ Χρυσοστόμου καὶ τοῦ Φωτίου. Τούτων τὰ ὀνόματα, ποτὲ μὲν ἀναφέρονται ἐν αὐτῷ τῷ κειμένῳ· ποτὲ δὲ σημειοῦνται ἐν τῷ περισελιδίῳ· ἀλλ' ἔστιν ὅπου καὶ παραλείπονται ὅλως, ἐξ ἀμελείας ἴσως τῶν ἀντιγραφέων. Τὰ ἐν τῷ κειμένῳ τιθέμενα ὀνόματα διετηρήσαμεν καὶ ἡμεῖς· ἐκ δὲ τῶν ἐν τῷ περισελιδίῳ σημειουμένων σπανίως κατεχωρίσαμέν τινα ἐν τῷ κειμένῳ ἐμπερικεκλεισμένα· τὰ δὲ πολλὰ παρελίπομεν διὰ τοῦτον τὸν λόγον· Μὴ ἔχοντες δηλαδὴ ἀνὰ χεῖρας τὰ πρωτότυπα συγγράμματα, ἐξ ὧν ἐρανίσατο ὁ Οἰκουμένιος, διὰ νὰ παραβάλωμεν καὶ ἡμεῖς αὐτοὶ τὰ ἐρανίσματα πρὸς τὰ πρωτότυπα· ἀγνοοῦντες δὲ πολλάκις καὶ ἀφ' ὅπου ἄρχεται καὶ ποῦ τελευτᾷ τοῦ δεῖνος ἡ τοῦ δεῖνος ἡ γνώμη· καὶ βλέποντες ἐν ταὐτῷ, ὅτι πολλάκις σημειοῦνται κακῶς ἐν τῷ περισελιδίῳ καὶ ἐν ᾗ ἐμεταχειρίσθημεν ἐκδόσει τὰ ὀνόματα, καταλληλότερον ἐκρίνομεν τὸ νὰ παραλείπωμεν αὐτά. Ἂν κακῶς ἐπρά-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ξαμεν κατὰ τοῦτο, ζητοῦμεν συγγνώμην παρὰ τῶν εὐμενῶν ἀναγνωστῶν. Ὅταν ἄλλος μεθ' ἡμᾶς, εὐμοιρῶν πλουσίας βιβλιοθήκης, ἐκδώσῃ τὰ περὶ ὧν ὁ λόγος ὑπομνήματα, ἂς προσθέσῃ ἀκριβέστερον καὶ τελειότερον ὅ,τι ἡμεῖς τώρα ἠθέλομεν πράξει ἀτελῶς καὶ συγκεχυμένως. Ἀλλ' ἂν ζητηθῇ τοῦτο καὶ παρ' ἡμῶν, εἴμεθα ἕτοιμοι νὰ πράξωμεν αὐτὸ τοῦ λοιποῦ.

Τὸ κείμενον τῶν ὑπομνημάτων τοῦ Οἰκουμενίου εἶναι ἐν πολλοῖς μέρεσι τόσον κακόν, ὥστε καταντᾷ ἐνίοτε δύσληπτον. Τοῦτο δὲν εἶναι βέβαια σφάλμα αὐτοῦ τοῦ συντάκτου τῶν ὑπομνημάτων· καὶ τὸ κακὸν προέρχεται εἴτε ἐκ τῶν ἀντιγραφέων, εἴτε ἐκ τῶν ἐκδοτῶν τῶν ὑπομνημάτων αὐτῶν. Πόθεν ἐδυνάμεθα νὰ διορθώσωμεν τὰ κακῶς ἔχοντα; Ἐκ χειρογράφων; Ἀλλὰ ποῦ τοιαῦτα, καθ' ὅσον γνωρίζομεν, ἐν Ἑλλάδι; Ἐξ ἄλλων ἐκδόσεων; Ἀλλ' ἐμεταχειρίσθημεν τὴν νεωτέραν, τὴν ἐν Παρισίοις ἐν ἔτει 1631 παρὰ Μορέλλου γενομένην. Πλὴν καὶ χωρὶς τούτων καὶ παρομοίων βοηθημάτων, ποῦ μὲν ἐμεταθέσαμέν τινα εἰς τὸν οἰκεῖον τόπον, κακῶς πρότερον κείμενα· ποῦ δὲ ἐδιωρθώσαμεν ἄλλα κακῶς ἐν τῷ κειμένῳ ἔχοντα, τὰ μὲν, ἐκ τῆς λατινικῆς μεταφράσεως τοῦ Ἐντενίου βοηθούμενοι, τὰ δὲ, ὑπὸ τοῦ Θεοφυλάκτου ὁδηγούμενοι, καὶ οὐδέποτε ἐξ ἰδίας εἰκασίας. Ὁ Θεοφύλακτος εἶναι μεταγενέστερος τοῦ Οἰκουμενίου· καὶ ἐν πολλοῖς συμπίπτει πρὸς τοῦτον τόσον πολὺ, ὥστε ἐκ τούτου γίνεται πρόδηλον, ὅτι ἔλαβε πολλὰ καὶ ἐκ τοῦ Οἰκουμενίου, καὶ πολλάκις αὐτολεξεί. Ὥστε αἱ ἐκ τοῦ Θεοφυλάκτου γενόμεναι μικραὶ μεταβολαὶ εἰς τὸ κείμενον τοῦ Οἰκουμενίου δύνανται κατά τινα λόγον νὰ θεωρηθῶσιν ὡς τοῦ Οἰκουμενίου ἴδιαι. Ἐκ τοῦ Θεοφυλάκτου ἐγένοντο καί τινες προσθῆκαι εἰς τὸ κείμενον τοῦ Οἰκουμενίου, ποῦ μὲν, μικραὶ, ποῦ δὲ, μεγαλειότεραι, εἴτε εἰς ἀναπλήρωσιν, εἴτε εἰς περισσοτέραν σαφήνειαν τοῦ κειμένου τοῦ Οἰκουμενίου συντείνουσαι. Ἐτολμήθησαν δὲ ταῦτα παρ' ἡμῶν πρὸς χάριν τοῦ πρὸ ὀλίγου κυρίως ἐκδίδονται τὰ ὑπομνήματα ταῦτα σκοποῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ εἰς τὰς Πράξεις τῶν ἀποστόλων ὑπόμνημα τοῦ Οἰκουμενίου εἶναι ἀτελέστερον τῶν εἰς τὰς ἐπιστολάς· διότι ἴσως καὶ τελειότερα εἰς αὐτὰς ὑπομνήματα δὲν εὕρηκεν ὁ ἐρανιστής· ἐπειδὴ οἱ θεῖοι τῆς ἐκκλησίας Πατέρες, μετὰ πολλῆς ἐπιμελείας ἑρμηνεύσαντες τ' ἄλλα βιβλία τῆς καινῆς Διαθήκης, εἰς τὸ μέρος τοῦτο ἠσχολήθησαν ὀλιγώτερον. Ὁ θεῖος Χρυσόστομος, προοιμιαζόμενος εἰς τὸ ἱερὸν τοῦτο σύγγραμμα, λέγει ὅτι « Πολλοῖς τουτὶ τὸ βιβλίον, οὐδ' ὅτι ἔνι γνώριμόν ἐστιν, οὔτ' αὐτό, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. Διὸ, λέγει κατόπιν, καὶ ἀναγκαίως εἰς ταύτην ἐμαυτὸν ἔκρινα καθεῖναι τὴν πραγματείαν, ὥςε καὶ τοὺς ἀγνοοῦντας διδάξαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καί ἀποκρύπτεσθαι θησαυρόν. » Ἐκ τούτου δῆλον, ὅτι αὐτὸς πρῶτος καθῆκεν ἑαυτὸν εἰς τὴν ἐξήγησιν καὶ ἑρμηνείαν τοῦ ἱεροῦ αὐτοῦ βιβλίου· ἀλλὰ καὶ αὐτοῦ ἡ εἰς τὰς Πράξεις τῶν ἀποστόλων ἑρμηνεία δὲν εἶναι, ὁποία ἡ εἰς τὰ λοιπὰ τῆς καινῆς Διαθήκης βιβλία, ὡς ἐξ αὐτῆς τῆς ἀναγνώσεως καὶ παραβολῆς δῆλον γίνεται· καὶ ἐπειδὴ κυριωτέρως ἐκ τῆς ἑρμηνείας ταύτης ἐρανίσθησαν καὶ οἱ μετ' αὐτὸν εἰς αὐτὰ τὸ ἔργον ἀσχοληθέντες, ὀλίγον προώδευσαν ἀφ' ἑαυτῶν.

Ἀλλ' ὁποιαδήποτε καὶ ἂν ἦναι τὰ ὑπομνήματα τοῦ Οἰκουμενίου, εἶναι πολύτιμα εἰς ἡμᾶς, ὄχι μόνον διότι εἶναι πατρικὴ κληρονομία, ἀλλὰ καὶ διότι εἶναι χρησιμώτατα εἰς κατάληψιν τῶν εἰς ἃ ἐγράφησαν ταῦτα ἱερῶν βιβλίων. Ἐπαινοῦνται δὲ ταῦτα καὶ παρὰ τῶν νεωτέρων ἀλλογενῶν καὶ ἑτεροδόξων, παρ' ὧν καὶ ὁ Οἰκουμένιος θεωρεῖται ὄχι ὡς ἁπλοῦς ἐρανιστὴς ἐξ ἄλλων συγγραμμάτων, ἀλλ' ὡς ἄνθρωπος, ὅςις καὶ εἰς ὅσα ἐξ ἄλλων ἔλαβε, καὶ εἰς ὅσα ἀφ' ἑαυτοῦ συνεισήνεγκε, δεικνύει φρόνησιν καὶ κρίσιν ὀρθήν. Ὁ Φαβρίκιος λέγει, ὅτι τὸ ὑπόμνημα τοῦ Οἰκουμενίου εἶναι ἐπαίνου καὶ συγχάσεως ἄξιον διά τε τὴν ἐν αὐτῷ κρίσιν καὶ διὰ τὴν σαφήνειαν· et judicio et perspicuitate commentabilis commmentarius (1). Καὶ

(1) Φαβρικ. Ἕλλην. Βιβλιοθ. Vol. VIII. pag. 692. Edit. Harl.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάλιν ὁ αὐτὸς, λέγων, ὅτι ὁ Φρόντων Δυκαῖος ἀμφιβάλλει, ὅτι τῶν εἰς τὰς Πράξεις τῶν ἀποστόλων καὶ εἰς τὰς ἐπιστολὰς ὑπομνημάτων συγγραφεύς εἶναι ὁ Οἰκουμένιος, ἐπειδὴ ἐν τοῖς ἐν τῇ Γαλλικῇ βασιλικῇ βιβλιοθήκῃ σωζομένοις χειρογράφοις δὲν ἀποδίδονται ταῦτα ῥητῶς εἰς τὸν Οἰκουμένιον, ἀλλ' ἁπλῶς ὀνομάζονται *Ἐξηγήσεις ἐκ διαφόρων ἁγίων Πατέρων*, λέγει ἔπειτα « Ἀλλ' ὁ Δονάτος ὁ ἐξ Οὐηρώνης, ὁ ἐκδοὺς ταῦτα ἑλληνιστὶ ἐξ ἐπισήμου καὶ ἀρχαίου χειρογράφου, τὸ ὁποῖον ἐδωρήσατο Ἰωάννης ὁ Λάσκαρις τῷ τῆς Οὐηρώνης ἐπισκόπῳ Ματθαίῳ Γιβέρτῳ, καὶ καθιερώσας αὐτὰ Κλήμεντι τῷ Ζ', καὶ ὁ Ἐντένιος, ὁ μεταφράσας αὐτὰ εἰς τὴν λατινικὴν γλῶσσαν, διατείνονται δι' ἐπιχειρημάτων πιθανῶν ἐκ τῶν ῥημάτων τοῦ ὑπομνήματος εἰς τὸ τελευταῖον κεφάλαιον τῆς πρὸς Κολοσσαεῖς καὶ εἰς τὸ Δ' κεφάλαιον τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, ὅτι δικαίως ταῦτα ἀποδίδονται εἰς τὸν Οἰκουμένιον (1)· καὶ τούτων τοῖς ἐπιχειρήμασι συνομολογεῖ καὶ ὁ Ῥιχάρδος Σίμων (Lib. III. hist. criticae N. T. Cap. XXXII.), ὅστις παρατηρεῖ, ὅτι τῶν ἐξ ὧν συνελέχθη ἡ σειρὰ αὕτη συγγραφέων πολλὰ ὀνόματα σημειοῦνται ἐν τοῖς χειρογράφοις, ἂν καὶ τὸ σύγγραμμα αὐτὸ δὲν εἶναι ἁπλῆ συλλογὴ, ἀλλὰ μᾶλλον ὑπόμνημα μετ' ἐκλογῆς καὶ κρίσεως ἐξ ἄλλων ὄχι μόνον ὑπομνημάτων, ἀλλ' ἴσως καὶ σειρῶν, ἀπηθισμένον, ὡς αὐτὸς ὁ συγγραφεὺς ἐξέθετο συχνάκις τὴν ἑαυτοῦ γνώμην. Ce n' est pas une simple compilation: celui qui a fait ce recueil, s'étant principalement appliqué à donner le sens litteral du texte qu'il expliquoit, a accommodé à sa maniére les interpretations des écrivains, qui il a consultéx ou plutôt les autres chaines qui étoient avant lui, les abrégeant ou les étendant, selon qu' il le jugeoit à propos. »

(1) Κατόπιν τῶν παρ' ἡμῶν προλεγομένων εὑρίσκει ὁ ἀναγνώστης καὶ τὸν ἑλληνιστὶ γεγραμμένον πρόλογον τοῦ Δονάτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Ῥοσενμύλλερος, πραγματευόμενος ἐν τῇ αὐτοῦ ἱστορίᾳ τῆς ἑρμηνείας τῶν ἱερῶν Γραφῶν (2) περὶ τῶν ὑπομνημάτων τοῦ Οἰκουμενίου, φέρει ἐξ αὐτῶν παραδείγματα εἰς ἔνδειξιν τῆς ποιότητος αὐτῶν, καὶ λέγει ἐν τέλει « Ἐξ ὧν ἤδη ἕφερον παραδειγμάτων, εἰς ἃ δύνανται νὰ προστεθῶσι καὶ ἄλλα πολλὰ, ἱκανῶς δῆλον γίνεται, νομίζω, ὅτι ὁ Οἰκουμένιος δὲν πρέπει νὰ νομίζηται ἁπλοῦς ἀπανθιστὴς· ἀλλ' εἰς τὴν κατασκευὴν καὶ διάταξιν αὐτῶν ἔδωκε διαφερόντως πεῖραν ἐπιμελείας καὶ ἐπιστήμης· ἤθελον δὲ ταῦτα εἶναι εὐχρηστότερα, ἐὰν οἱ ἀντιγράψαντες αὐτὰ πρὸς ἔκδοσιν διὰ τοῦ τύπου ἦσαν προσεκτικώτεροι, ἢ ἂν αὐτὰ ταῦτα παρεβάλοντο πρὸς περισσότερα καὶ ἀκριβέστερα χειρόγραφα. »

Τοιαῦτα εἶναι τὰ ὁποῖα ἐκδίδομεν ἤδη ὑπομνήματα τοῦ Οἰκουμενίου, καὶ τοιαῦται αἱ περὶ αὐτῶν κρίσεις ἑτεροδόξων σοφῶν ἀνδρῶν. Δέχθητε λοιπὸν καὶ αὐτὰ, ὅσοι συνεδράμετε εἰς τὴν ἔκδοσιν τῆς καινῆς Διαθήκης μετὰ ὑπομνημάτων ἀρχαίων, μετὰ τῆς αὐτῆς εὐμενείας, μεθ' ἧς ἐδέχθητε καὶ τὰ εἰς τὰ ἱερὰ εὐαγγέλια ὑπομνήματα Εὐθυμίου τοῦ Ζιγαβηνοῦ.

Ἐν Ἀθήναις, 1842 Νοεμβρίου 17.

ΘΕΟΚΛΗΤΟΣ ΦΑΡΜΑΚΙΔΗΣ.

---

(2) D. Jo. Georg. Rosenmuelleri Historia interpretationis librorum sacrorum etc. Vol. IV. par. 263—286.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΙΣ ΦΙΛΕΛΛΗΣΙ.

Αι τῇδε τῇ βίβλῳ περιεχόμεναι ἐξηγήσεις, οὕτω θαυμαστήν τινα βραχυλογίαν καὶ σαφήνειαν, καὶ δήλωσιν ἀναφαίνουσι τῶν ἀεὶ ἐν τῇ θείᾳ Γραφῇ ζητουμένων, ὥστε πεῖθεσθαί με ῥᾳδίως, ταύτας πῶν παλαιοτέρων ἐκείνων, ἀφ' ὧν εἰς ἓν ὡσπερεὶ σῶμα συνηθροίσθησαν, τοσούτῳ διαφέρειν, ὅσῳ τὸ μέλι τῶν ἀνθέων τιμιώτερον. Καὶ γὰρ καὶ ὁ τὰ τοιαῦτα συλλέξας, τὴν μέλιτταν μιμησάμενος, ἀφ' ἑκάστου τῶν πρὸ αὐτοῦ γραψαμένων, ὥσπερ ἐκείνη ἀπὸ τῶν πανταχοῦ βλαστησάντων ἀνθέων, τὰ κάλλιστα ἀποδρεψάμενος, ἐκ πολλῶν τούτων, ὡσεὶ ᾀδόντων καὶ ὑμνούντων ἐν τῷ ἱερῷ τὸν θεὸν, ἕνα χορὸν τοῦτον τὸν θαυμαστὸν συνεστήσατο. Ὅτι δὲ Οἰκουμένιός τις ὀνόματι ὁ τοιοῦτος, ἐντεῦθεν ἤδη δύναιτο ἄν τις μαθεῖν· Εὗρον γὰρ ἐν τῇ εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν ἐξηγήσει κατὰ τὴν ἐσχάτην σελίδα τοιαύτην μαρτυρίαν· « Ἐκ τοῦ ἀντιγράφου μὴ εὑρὼν καλῶς τὰς παραγραφὰς τοῦ μακαρίου Ἰωάννου τῆς πρὸς Κολοσσαεῖς ἐπιστολῆς, συνέγραψα αὐτὰς, ὅπως ἠδυνάμην. Εἰ οὖν εὑρεθῇ τι ἐν αὐτοῖς ἢ κοῦφον ἢ ἐπιλήψιμον, ἴστω ὁ ἀναγινώσκων, ἐμὸν εἶναι τὸ τοιοῦτον πταῖσμα. » Ταύτῃ δὲ τῇ μαρτυρίᾳ καὶ πᾶσα ἡ εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν ἑρμηνεία τελειοῦται· ἔχει δέ γε αὕτη ὄνομα προτιθέμενον τὸ Οἰκουμενίου. Ὥστε ἐκ τούτου τεκμαίρεσθαι, μᾶλλον δὲ ἀναμφίβολον ἤδη ἔχειν, τοῦ Οἰκουμενίου τούτου, κἂν γοῦν εἰς τὰς Παύλου ἐπιστολὰς, τὸν πόνον εἶναι. Οὗτος γὰρ ὁ ἀνὴρ, πᾶσαν τὴν Χρυσοστόμου πραγματείαν, ὡς καὶ παντὶ τῷ ἀναγινώσκοντι ῥᾴδιον καθορᾶν, εἰς βραχὺ συστειλάμενος, ταύτῃ καὶ τῶν ἄλλων ἁγίων τὰς ἐξηγήσεις προσέθηκε, τὸ ὄνομα ἑκάστου τῇ ἐπιγραφῇ προμηνύσας, οἷον Κυρίλλου, Γενναδίου, Θεοδωρήτου, Γρηγορίου, Βασιλείου, Σευηριανοῦ, καὶ τῶν τοιούτων· ἐξαιρέτως

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τοῦ Φωτίου, ἀφ' οὗ ὅσαι μετεκομίσθησαν ἐξηγήσεις, τοῦ σκοποῦ, κατά γε ἐμὲ, μάλιστα πάντων τυγχάνουσιν. Ἴσθι μὲν οὖν, ἔνθα ἂν μὴ εὕροις ὄνομα ἐπιγεγραμμένον μηδὲν, τὴν τοιαύτην ἑρμηνείαν εἶναι τοῦ Χρυσοστόμου, εἰς ὀλίγα συνεσταλμένην ὑπὸ τούτου, ὡς εἴρηται· ἔνθα δὲ καὶ τοῦ Χρυσοστόμου αὐτοῦ, ὅπερ σπανιάκις ἐστιν ἰδεῖν, τὸ ὄνομα εὕροις προτιθέμενον, μηδὲν ἐκεῖ τὸν ἄνδρα συστείλασθαι ἢ μεταβαλέσθαι ἐκ τῆς ἐξηγήσεως, ἀλλ' ἢ αὐτὰ τὰ τοῦ Χρυσοστόμου ῥήματα κατὰ λέξιν μόνον μεταγράψαι. Εἰ δέ που καὶ αὐτοῦ τοῦ Οἰκουμενίου τὸ ὄνομα ἴδοις, τοῦ πᾶσαν τὴν συλλογὴν ταύτην ἐκπονήσαντος, μὴ θαυμάσῃς· ἃ γὰρ αὐτὸς ἐπινοήσας καὶ ἐφευρὼν ἐτύγχανε, καὶ μὴ ἀφ' ἑτέρων τῶν πρὸ αὐτοῦ μαθὼν, τούτοις τὸ ἴδιον ὄνομα προτιθέναι προσήκειν ἡγήσατο, ἵνα μὴ σύγχυσίς τις τῷ ἀναγινώσκοντι γένηται, πάντα ὅσα ἀνεπίγραφα ἑνὸς, οἷον Χρυσοστόμου, εἶναι νομίσαντι ἄν, καί περ ὄντων τινῶν, καὶ ἑτέρου, οἷον αὐτοῦ, εἰ μή γε αὐτὸς τὸ ἴδιον ὄνομα προγράψας ἐσήμανε. Τὰ μέντοι εἴς τε τὰς πράξεις, εἴς τε τὰς καθολικὰς λεγομένας ἐπιστολὰς συγγραφέντα ἔχει ἀμφισβήτησίν τινα, πότερον τοῦ αὐτοῦ Οἰκουμενίου συγγράψαντος καὶ συλλέξαντός ἐστιν, ἢ οὔ. Ἀλλ' ἐγὼ τοῦ αὐτοῦ οὐχ ἧττον εἶναι καὶ ταῦτα νομίζω, πολλοῖς τεκμηρίοις ἑπόμενος, ἅτινα ἐν τῷ παρόντι οὐκ ἂν εἴποιμι, ἵνα μὴ ἐν σχήματι ἐπιστολῆς πέραν τοῦ δέοντος μακρολογήσω. Τὰ δὲ εἰς τὴν ἀποκάλυψιν τοῦ μακαρίου Ἰωάννου, συνετέθη μὲν ὑπὸ Ἀνδρέου τοῦ τῆς Καισαρείας Καππαδοκίας ἐπισκόπου, ἀλλ' εἰς σύνοψιν καὶ βραχύτητα συνεπτύχθη τὸ ὕστερον ὑπὸ Ἀρέθα τινὸς, τῆς αὐτῆς πόλεως ἐπισκόπου, ὡς καὶ ἡ ἐπιγραφὴ μηνύει ῥητῶς. Ἀντίγραφον μὲν οὖν τι πᾶσαν τὴν τοιαύτην πραγματείαν περιέχον κτησάμενος Ἰωάννης Ματθαῖος ὁ Γίβερτος, ὁ τῆς Οὐηρώνης ἐπίσκοπος, τοῦτό μοι παρέδωκε, κελεύσας ἐπανορθοῦν, καὶ τῶν ἐν αὐτῷ πταισμάτων, εἴτινα εὕροιμι ἄν, ἐκκαθαίρειν ἀκριβῶς. Ὅπερ ἐγωγε λίαν ἀσμένως παραδεξάμενος, καὶ κελεύσαντι ἐκείνῳ ὑπακούσας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς εἰκὸς, τὸ προσταχθὲν ἐξήνυσα, κατὰ τὸ ἐμοὶ δυνατόν. Ἔπειτα τοῖς βιβλιογράφοις, οὓς ὁ αὐτὸς Γίβερτος οἴκοι ἔχει, μεγίστοις ὑπ' αὐτοῦ δαπανήμασι τρεφομένους, ἐξέδωκα, ἵνα τῇ ἑαυτῶν τέχνῃ πολλαπλασιάσωσι. Δεῖ δὴ τῶν ἀναγινωσκόντων ἕκαστον πλείστην τῷ φιλανθρωποτάτῳ θεῷ χάριν ἔχειν, ὃς τῶν συνταγμάτων τούτων, τῶν οὕτω καλῶν καὶ τιμίων, τῷ χρόνῳ ἤδη καὶ τῇ ἀμελείᾳ παντελῶς ἀφανίζεσθαι κινδυνευόντων, σωτῆρα ἡμῖν τοῦτον τὸν μεγαλοπρεπέστατον ἄνδρα ἐχαρίσατο. Τῷ αὐτῷ δὲ πάλιν εὐχέσθω διηνεκῶς, πολλοὺς ἄλλους τοιούτους παρέξειν τῷ κόσμῳ· ὡς τούτου γενομένου, πᾶσαν τὴν Ἑλληνικὴν καὶ Ῥωμαϊκὴν παιδείαν τὸ παλαιὸν κάλλος, μᾶλλον δὲ τὴν ζωὴν, ἐν βραχεῖ ἀναληψομένην ἐλπιζέτω. Ἔρρωσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΒΙΒΛΟΥ ΤΩΝ ΠΡΑΞΕΩΝ.

ΠΡΑΞΕΙΣ *τῶν ἀποστόλων τὸ* βιβλίον καλεῖται· ἐπειδὴ τὰς πράξεις ὁμοῦ τῶν ἀποστόλων περιέχει· ὁ δὲ διηγούμενος ταύτας, Λουκᾶς ἐστιν ὁ εὐαγγελιστὴς, ὁ καὶ τοῦτο τὸ βιβλίον συγγράφων. Ἀντιοχεὺς γὰρ οὗτος ὑπάρχων τὸ γένος, ἰατρὸς δὲ τὴν ἐπιστήμην, συναπεδήμει τοῖς ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ· καὶ εἰδὼς ἀκριβῶς, γράφει. Διηγεῖται δὲ ἐν αὐτῷ, πῶς, ἀγγέλων ὑπολαβόντων, ἀνελήφθη ὁ Κύριος, καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἔκχυσιν, γενομένην ἐν τῇ πεντηκοστῇ ἐπί τε τοὺς ἀποστόλους καὶ πάντας τοὺς τότε παρόντας· τήν τε κατάστασιν τοῦ Ματθίᾳ, ἀντὶ Ἰούδα τοῦ προδότου· καὶ τὴν κατάστασιν τῶν ἑπτὰ διακόνων· καὶ τὴν ἐκλογὴν τοῦ Παύλου, καὶ ὅσα ἔπαθε· καὶ ὅσα οἱ ἀπόστολοι διὰ προσευχῆς καὶ τῆς εἰς αὐτὸν τὸν Χριστὸν πίστεως ἐθαυματούργησαν· καὶ τέλος τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτοῦ [τοῦ Παύλου].

Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· Σίμων, ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ· Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκωβος ὁ τοῦ Ἁλφαίου, καὶ Λεββαῖος, ὁ ἐπικληθεὶς Θαδδαῖος· Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Ἀλλὰ, τοῦ Ἰούδα προδότου γενομένου, καὶ ἀπολομένου, κατεστάθη ἀπὸ τῶν ἀποστόλων Ματθίας, καὶ συγκατηριθμήθη τοῖς ἕνδεκα ἀποστόλοις ἀντὶ τοῦ προδότου δωδέκατος. Τῶν δὲ καταστα θέντων παρὰ τῶν ἀποστόλων διακόνων τὰ ὀνόματά ἐστι ταῦτα· Στέφανος, Φίλιππος, Πρόχορος, Νικάνωρ, Τίμων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παρμενᾶς, καὶ Νικόλαος. Μετὰ δὲ ταῦτα ἐκλήθη καὶ Παῦλος σκεῦος ἐκλογῆς, καὶ ἀπεστάλη μετὰ Βαρνάβα εὐαγγελίζεσθαι τὸν Κύριον παντοχοῦ.

Τούτων δὲ τῶν ἀποστόλων καὶ τῶν διακόνων τὰς πράξεις διηγεῖται ὁ Λουκᾶς, καὶ σημεῖα παρ' αὐτῶν γενόμενα· καὶ ἔστιν, ἃ ἐξηγεῖται σημεῖα, ταῦτα·

Α. Πέτρος καὶ Ἰωάννης ἐθεράπευσαν ἐν τῷ ὀνόματι τοῦ Κυρίου τὸν ἐκ γενετῆς χωλὸν, τὸν ἐν τῇ Ὡραίᾳ πύλῃ καθήμενον. Κεφ. Γ'.

Β. Πέτρος Ἀνανίαν καὶ Σάπφειραν, τὴν γυναῖκα αὐτοῦ, ἤλεγξε νοσφισαμένους ἀπὸ τῆς ἐπαγγελίας τῆς εἰς τὸν θεὸν, καὶ γεγόνασι παραχρῆμα νεκροί. Κεφ. Ε'.

Γ. Πέτρου ἡ σκιὰ, ἐρχομένη ἐπὶ τοὺς ἀσθενοῦντας, ἐθεράπευσεν αὐτούς. Κεφ. Ε'.

Δ. Στέφανος ἐποίει τέρατα καὶ σημεῖα. Κεφ. Ϛ'.

Ε. Φίλιππος τὸν εὐνοῦχον ἐπέστησεν ἀναγινώσκοντα τὸν προφήτην Ἡσαΐαν, καὶ ἐβάπτισεν αὐτόν. Κεφ. Η'.

Ϛ. Ὁ αὐτὸς Φίλιππος ἐν Σαμαρείᾳ πολλὰ πνεύματα ἐξέβαλε, καὶ χωλοὶ καὶ παραλελυμένοι ἐθεραπεύθησαν ὑπ' αὐτοῦ. Κεφ. Η'.

Ζ. Παῦλος, ἐγγίζων τῇ Δαμασκῷ, εἶδεν ὀπτασίαν, καὶ εὐθὺς γέγονεν εὐαγγελιστής. Κεφ. Θ'.

Η. Πέτρος ἐν Λύδδῃ Αἰνέαν τὸν παραλυτικὸν, ἐξ ἐτῶν ὀκτὼ ἐν κραββάτῳ κατακείμενον, ἐθεράπευσεν. Κεφ. Θ'.

Θ. Πέτρος ἐν Ἰόππῃ τὴν ἀποθανοῦσαν Δορκάδα, τὴν καὶ Ταβιθὰν, εὐξάμενος ἤγειρεν ἐκ νεκρῶν. Κεφ. Θ'.

Ι. Πέτρος τὸ ἐξ οὐρανοῦ σκεῦος καθιέμενον πλῆρες παντὸς ζώου ἑώρακεν. Κεφ. Ί.

ΙΑ. Πέτρος, τηρούμενος καὶ δεδεμένος ἐν τῇ φυλακῇ, ὑπὸ ἀγγέλου ἀπελύθη, μὴ εἰδότων τῶν στρατιωτῶν· καὶ ὁ Ἡρῴδης σκωληκόβρωτος ἐξέψυξε. Κεφ. ΙΒ.

ΙΒ. Ἐν Κύπρῳ ἐπετίμησεν ὁ Παῦλος τῷ μάγῳ Ἐλύμᾳ, καὶ ἐγένετο τυφλὸς αὐτὸς ὁ μάγος. Κεφ. ΙΓ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κ'.

ΙΓ. Παῦλος ἐν Λύστροις χωλὸν ἐκ γενετῆς ὄντα ἐθεράπευσεν ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Κεφ. ΙΔ'.

ΙΔ. Παῦλος ἀπὸ ὀπτασίας εἰς Μακεδονίαν ἐκλήθη. Κεφ. ΙϚ'.

ΙΕ. Παῦλος γυναῖκα ἔχουσαν πνεῦμα Πύθωνος ἐκαθάρισεν ἐν Φιλίπποις. Κεφ. ΙΣ'.

ΙΣ. Παῦλος καὶ Σύλλας εἰς φυλακὴν ἐκλείσθησαν, καὶ ἠσφαλισμένους εἶχον τοὺς πόδας ἐν τῷ ξύλῳ· ἐν δὲ τῷ μεσονυκτίῳ σεισμὸς γέγονε, καὶ ἐλύθη αὐτῶν τὰ δεσμά. Κεφ. ΙΣ'.

ΙΖ. Ἀπὸ τοῦ χρωτὸς Παύλου ἀνέφερον σουδάρια ἐπὶ τοὺς ἀσθενοῦντας καὶ δαιμονιῶντας, καὶ ἐθεραπεύοντο. Κεφ. ΙΘ'.

ΙΗ. Παῦλος ἐν Τρῳάδι, πεσόντα Εὔτυχον ἀπὸ τῆς θυρίδος, καὶ ἀποθανόντα, ἤγειρε, λέγων· Ἡ ψυχὴ αὐτοῦ ἐναὐτῷ ἐστιν. Κεφ. Κ.

ΙΘ. Ὡς ἔπλευσεν ἐπὶ Ῥώμην ὁ Παῦλος, ἐχειμάσθησαν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πάντες οἱ ἐν τῷ πλοίῳ νυχθήμερα δεκατέσσαρα· πάντων δὲ προσδοκώντων ἀποθανεῖν, ἐπιστὰς ὁ Κύριος εἶπεν αὐτῷ τῷ Παύλῳ, ὅτι διὰ σὲ κεχάρισμαι τούτοις τὸ ζῆν, καὶ ἐσώθησαν. Κεφ. ΚΖ'.

Κ. Ἐξελθόντα τὸν Παῦλον ἀπὸ τοῦ πλοίου ἔχις ἔδακε· καὶ πάντες μὲν ἐνόμιζον αὐτὸν γενέσθαι νεκρόν· ὡς δὲ ἀπαθὴς ἔμεινεν, ἐνόμισαν αὐτὸν εἶναι θεόν. Κεφ. ΚΗ'.

ΚΑ. Τὸν πατέρα τοῦ Ποπλίου ἐν τῇ νήσῳ, δυσεντερίᾳ συνεχόμενον, χειροθετήσας ἰάσατο ὁ Παῦλος, καὶ ἄλλους πολλοὺς ἀσθενοῦντας ἐθεράπευσεν. Κεφ. ΚΗ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΙ ΑΛΛΩΣ ΥΠΟΘΕΣΙΣ
ΤΩΝ
ΠΡΑΞΕΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

Εἰ καὶ *Πράξεις* τὸ βιβλίον ἐπιγέγραπται τῶν *Ἀποστόλων*· ἀλλ' ὡς ἐπὶ τὸ πολὺ τὰς τοῦ Παύλου περιέχει· ἃς καὶ ὁ Λουκᾶς ἀκριβῶς ἐγίνωσκεν, ἅτε καὶ συνέκδημος αὐτῷ γεγονὼς καὶ ὁμοδίαιτος, καὶ πολλοῖς αὐτῷ τοῖς ἀναγκαίοις ὑπηρετησάμενος. Ἀναγκαίως δὲ ἀπὸ τῶν τῶν ἄλλων ἀποστόλων ἤρξατο πράξεων. Οὐδὲ γὰρ ἦν ἄλλως τὴν κατὰ τὸν Παῦλον ἱστορίαν ἀκριβῶσαι, μὴ τῆς τῶν ἀποστόλων προτεθειμένης. Ποῦ γὰρ ἂν τὸ πρὸ τοῦ προσελθεῖν τῷ κηρύγματι Παῦλον ὠμὸν αὐτοῦ καὶ θηριῶδες πρὸς τοὺς μαθητὰς διεφάνη; καὶ ἡ πρὸς τὸν ἀνεψιὸν αὐτοῦ Στέφανον ἐπὶ τῇ ἀναιρέσει τούτου συνευδοκία; καὶ ἡ ἀπροσδόκητος αὐτοῦ κλῆσις καὶ ἐπιστροφὴ πρὸς τοὺς διωκομένους τέως; καὶ ὁ ὑπὲρ τῶν διωκομένων κίνδυνος; ἃ καὶ ὑπέκνιζε διὰ βίου τοὺς Ἰουδαίους, καὶ μανιωδῶς λυττᾷν αὐτῷ κατηνάγκαζεν; Οὐκ ἄν τι τούτων ἡμῖν ἔγνωστο, μὴ τῆς τῶν ἀποστόλων προλαβούσης ἱστορίας. Ἄλλως τε καὶ εἰ ἀπ' αὐτοῦ ἤρξατο Παύλου, πάντως ἀνάγκη ἦν χρήσασθαι παρεκβάσει, πρὸς τὸ διδάξαι τὰ ἐπ' αὐτῷ συμβάντα· καὶ οὕτως ὁ τῆς διηγήσεως ἀνεκόπτετο λόγος, πολλοῖς ἐπιφορτιζόμενος· ὧν ἐκτὸς, οὐδὲν ἦν σαφὲς περὶ Παύλου λεγόμενον. Ἵν' οὖν εὐσύνοπτον καὶ ἀνεπαχθῆ τὸν περὶ αὐτοῦ ποιήσηται λόγον, ἤρξατο μὲν ἀπὸ τοῦ κοινοῦ τοῦ περὶ τῶν ἀποστόλων λόγου· ἐπεὶ δὲ προήχθη εἰς τὸν περὶ τοῦ Παύλου, γέγονε τὸ ἀπὸ τοῦδε αὐτοῦ ὁ Λουκᾶς, καὶ τὸν περὶ τῶν ἄλλων ἀφεὶς λόγον, ἔχεται μόνου τοῦ ἐξ ἀρχῆς. Οὐκ ἔγραψε δὲ καὶ τὸ τέλος Παύλου, καὶ τὴν ἐκ δευτέρου αὐτοῦ πρὸς Νέρωνα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπαγωγήν· (καίτοι συνῆν καὶ τότε Παύλῳ, αὐτοῦ γράφοντος Παύλου, ὅτι Λουκᾶς ἐστὶ μόνος μετ' ἐμοῦ (α)·) ἢ ὅτι οὐ προὔκειτο αὐτῷ ἱστορίαν δι' ὅλου πονεῖν, ἀλλ' ὅσον μόνον ἐνδείξασθαι τὴν πρὸς τὸν Χριστὸν αὐτοῦ προσαγωγήν, καὶ ὅσα κατήπειγεν· ἢ οὐκ ἔσχε καιρὸν πρὸς τὸ πέρας ἐπιθεῖναι τῇ ἐξ ἀρχῆς προθέσει· πολὺς γὰρ ὁ παρὰ τῶν διωκτῶν ἐπικείμενος τοῖς τοῦ Κυρίου μαθηταῖς κατ' ἀρχὰς τάραχος. Εἰ καὶ τῶν ἀποστόλων δὲ κατ' ἀρχὰς ἐπαγγέλλεται τὸ παρὸν βιβλίον ἱστορῆσαι τὰς πράξεις, ὡς ἄνω ἐμνήσθημεν, ἀλλ' αἱ τοῦ ἁγίου Πνεύματος, σαφέστερον ἐρεῖν, ἐν τούτῳ περιέχονται. Ἅμα γὰρ τῷ ἐνδημῆσαι τοῖς ἀποστόλοις, ὅσα δι' αὐτῶν παράδοξα ἐπετελέσθη, διὰ τοῦ βιβλίου τούτου γινώσκομεν, τοῦ πνεύματος δηλαδὴ δι' αὐτῶν ταῦτα ποιοῦντος. Ἀλλὰ καὶ τῶν τοῦ Χριστοῦ προρρήσεων διὰ τοῦ βιβλίου τούτου φανεροῦται ἡ διέξοδος. Τὸ γὰρ « Μείζονα τούτων ποιήσετε (β) », διὰ τῆς σκιᾶς τῶν ἀποστόλων θαυματουργούσης (γ), καὶ τῶν σιμικινθίων καὶ τοῦ χρωτὸς (δ) τὰ παράδοξα ἐνεργούντων, ἀπείληφε πέρας. Ὥστε καλῶς ἔχει, τὸ μὲν Εὐαγγέλιον, *Χριστοῦ πράξεις* λέγειν· τὸ δὲ βιβλίον τῶν Πράξεων, *τὰς τοῦ ἁγίου Πνεύματος*.

(α) Β' Τιμ. Δ', 11.
(β) Ἰωαν. ΙΔ', 12.
(γ) Πραξ. Ε, 15.
(δ) Πραξ. ΙΘ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΚΑΤΑ ΧΡΥΣΟΣΤΟΜΟΝ.

Πολλοις τουτὶ τὸ βιβλίον, οὐδ' ὅτι ἔνι γνώριμόν ἐστιν, οὔτε αὐτὸ, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. Διὸ καὶ ἐμαυτὸν μάλιστα εἰς ταύτην ἀναγκαίως καθῆκα τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας διδάξαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. Οὐδὲ γὰρ ἔλαττον αὐτῶν τῶν εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται· τοσαύτης ἐμπέπλησται φιλοσοφίας, καὶ δογμάτων ὀρθότητος, καὶ θαυμάτων ἐπιδείξεως, καὶ μάλιστα τῶν παρὰ τοῦ πνεύματος εἰργασμένων. Μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτό· ἀλλὰ μετ' ἀκριβείας ἐξετάζωμεν. Καὶ γὰρ τὰς προῤῥήσεις, ἃς ἐν τοῖς εὐαγγελίοις ὁ Χρισὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθά ἐστιν ἰδεῖν, καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν, τὴν ἀπὸ τοῦ πνεύματος αὐτοῖς ἐγγινομένην. Καὶ γὰρ ἅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος· ὅτι « Πᾶς ὁ πιστεύων εἰς ἐμὲ, τὰ σημεῖα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει (α) »· καὶ προλέγοντος τοῖς μαθηταῖς, ὅτι ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ ὅτι ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτοὺς (β), καὶ τὰ ἀνήκεστα πείσονται, καὶ ὅτι περιέσονται πάντων, καὶ ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ (γ)· ταῦτα πάντα μετὰ ἀκριβείας πάσης ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἐστὶν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα, ἅπερ εἴρηκε τοῖς

(α) Ἰωαν. ΙΔ', 12. (β) Ματθ. Ι, 18. (γ) Ματθ. ΚΔ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαθηταῖς συνών. Ὄψει δὲ καὶ αὐτοὺς τοὺς ἀποστόλους ἐνταῦθα καθάπερ πτηνοὺς διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσυνέτους, ἀθρόον ἄλλους ἀντ' ἄλλων γενομένους, καὶ χρημάτων ὑπερόπτας, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, καὶ πάντων ἁπλῶς ἀνωτέρους γενομένους, καὶ πολλὴν ἐν ἑαυτοῖς τὴν ὁμόνοιαν ἔχοντας· καὶ οὐδαμοῦ οὐδεμίαν βασκανίαν, ὡς ἔμπροσθεν, οὐδὲ τὸν περὶ πρωτείων ἔρωτα· ἀλλὰ πᾶσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετὴν, καὶ τὴν ἀγάπην μεθ' ὑπερβολῆς διαλάμπουσαν· ὑπὲρ ἧς καὶ πολλὰ παρήγγειλεν αὐτοῖς, λέγων, ὅτι· « Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους (α). » Ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδενὶ σαφῶς οὕτω γνώριμα ἦν· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο, καὶ ἄδηλον ἦν, καὶ βίου καὶ δογμάτων ἕνεκεν. Τὸ δὲ πλέον τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου πράξεις εἰσὶ, τοῦ περισσότερον πάντων κοπιάσαντος· καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος· οὗ τὴν ἀρετὴν πολλαχόθεν μὲν καὶ ἄλλοθέν ἐστιν ἰδεῖν· μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιασπάστως ἔχειν, καὶ διαπαντὸς αὐτῷ παρακολουθεῖν. Ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν, εἰς Γαλατίαν, ὁ δὲ, εἰς Δαλματίαν ἀπελθών, ἄκουσον τί φησι περὶ τούτου· « Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ (β) ». Καὶ Κορινθίοις δὲ ἐπιστέλλων, περὶ αὐτοῦ φησιν· « Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν (γ) »· καὶ ὅταν λέγῃ· « κατὰ τὸ εὐαγγέλιον, ὃ παρελάβετε (δ) », τὸ τούτου λέγει. Ὥσε οὐκ ἄν τις ἁμάρτοι τὴν πραγματείαν ταύτην αὐτῷ ἀναθείς. Ὅταν δὲ εἴπω, *τούτῳ*, τῷ Χριστῷ λέγω. Εἰ δέ τις λέγοι· Καὶ τί δήποτε οὐχὶ πάντα συνέγραψε, μέχρι τέλους

(α) Ιωαν. ΙΓ', 35. (β) Β' Τιμ. Δ', 11. (γ) Β' Κορ. Η', 18.
(δ) Α' Κορ. ΙΕ', 1. 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλ

ὧν μετ' αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα ἀεὶ ἵσταντο, καὶ ὅτι οὐκ ἐν τῷ λογογραφεῖν ἦν αὐτοῖς ἡ σπουδή· πολλὰ γὰρ καὶ ἀγράφῳ παραδόσει παραδεδώκασι. Καὶ πάντα μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα· μάλιστα δὲ τῶν ἀποστόλων ἡ συγκατάβασις, ἣν καὶ τὸ πνεῦμα αὐτοῖς ὑπέβαλλε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ. Διὰ δὴ τοῦτο τοσαῦτα περὶ τοῦ Χριστοῦ διαλεχθέντες, ὀλίγα μὲν περὶ τῆς θεότητος αὐτοῦ εἰρήκασι· τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναβάσεως· τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι ἀνέστη, καὶ ἀνέβη εἰς οὐρανούς. Ὥσπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι, ὅτι παρὰ τοῦ πατρὸς ἥκει· οὕτω καὶ οὗτος, ὅτι ἀνέστη, καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ παρ' αὐτοῦ ἀφῖκτο. Εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον, τῆς προσθήκης γενομένης τῆς κατὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔδοξεν εἶναι. Διὸ ῥῆμα, καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἀνάγει. Ἐν δὲ Ἀθήναις, καὶ ἄνθρωπον αὐτὸν ἁπλῶς καλεῖ ὁ Παῦλος, οὐδὲν πλέον εἰπών (α)· εἰκότως· εἰ γὰρ αὐτὸν τὸν Χριστὸν διαλεγόμενον περὶ τῆς πρὸς τὸν πατέρα ἰσότητος, λιθάσαι πολλάκις ἐπεχείρησαν (β), καὶ βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ' ἂν παρὰ τῶν ἀλιέων τοῦτον τὸν λόγον ἐδέξαντο, καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος.

Καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους, ὅπου γε καὶ αὐτοὶ τότε πολλάκις οἱ μαθηταὶ, τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων, ἐθορυβοῦντο καὶ ἐσκανδαλίζοντο; Διὰ τοῦτο καὶ ἔλεγε· « Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν (γ) ». Εἰ

(α) Πραξ. ΙΖ΄, 2. (β) Ἰωαν. Η΄, 59. (γ) Ἰωαν. ΙϚ΄, 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἐκεῖνοι οὐκ ἠδύναντο, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἄνθρωποι ἀπὸ βωμῶν, καὶ εἰδώλων, καὶ θυσιῶν, καὶ αἰλούρων, καὶ κροκοδείλων· (τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα·) καὶ τῶν ἄλλων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαντο λόγους; Πῶς δ' ἂν Ἰουδαῖοι, οἱ καθ' ἑκάστην ἡμέραν ἀκούοντες, καὶ ἐνηχούμενοι ὑπὸ τοῦ νόμου· « Ἄκουε Ἰσραήλ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος (α)»· καὶ ἐν τῷ σταυρῷ ἰδόντες προσηλωμένον αὐτόν· μᾶλλον δὲ καὶ σταυρώσαντες, καὶ θάψαντες, καὶ οὐδὲ ἀναστάντα θεασάμενοι· ἀκούοντες, ὅτι θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ πατρὶ ἴσος, οὐκ ἂν μάλιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπερράγησαν; Διάτοι τοῦτο ῥῆμα, καὶ κατὰ μικρὸν αὐτοὺς προσβιβάζουσι· καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ· δαψιλεστέρας δὲ ἀπολαύουσι τῆς τοῦ πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν ἐργάζονται τῷ αὐτοῦ ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸν περὶ τῆς ἀναστάσεως πιστώσωνται λόγον· καὶ γὰρ τοῦτο μάλιστα ἐστὶ τουτὶ τὸ βιβλίον, ἀναπτάσεως ἀπόδειξις. Τούτου γὰρ πιστευθέντος, ὁδῷ καὶ τὰ ἄλλα προῦβαινεν. Ἡ μὲν οὖν ὑπόθεσις, καὶ ὁ τοῦ βιβλίου σκοπὸς ἅπας, ὡς ἄν τις παχυμερῶς συλλαβὼν εἴποι, οὗτος μάλιστά ἐστιν.

(α) Δευτερ. ς', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΩΝ ΠΡΑΞΕΩΝ
ΤΩΝ
ΑΠΟΣΤΟΛΩΝ.

Σελ.

Α. Περὶ τῆς ἐξ ἀναστάσεως διδασκαλίας Χριστοῦ, καὶ ὀπτασίας πρὸς τοὺς μαθητάς· καὶ περὶ ἐπαγγελίας τῆς τοῦ ἁγίου Πνεύματος δωρεᾶς, θέας τε καὶ τρόπου τῆς ἀναλήψεως τοῦ Χριστοῦ· καὶ περὶ τῆς ἐνδόξου δευτέρας αὐτοῦ παρουσίας . 1

Β. Πέτρου διάλογος πρὸς τοὺς μαθητευθέντας περὶ θανάτου καὶ ἀποβολῆς Ἰούδα τοῦ προδότου· ἐν ᾧ, περὶ ἀντεισαγωγῆς Ματθίου, κληρωθέντος χάριτι θεοῦ διὰ προσευχῆς. 11

Γ. Περὶ θείας τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως, ἐν ἡμέρᾳ τῆς Πεντηκοστῆς γενομένης εἰς τοὺς πιστεύσαντας· ἐν ᾧ Πέτρου κατήχησις περὶ τοῦ αὐτοῦ ἐκ τῶν προφητῶν· περὶ πάθους καὶ ἀναστάσεως καὶ ἀναλήψεως Χριστοῦ, δωρεᾶς τοῦ ἁγίου Πνεύματος· περὶ πίστεως τῶν παρόντων, καὶ τῆς διὰ τοῦ βαπτίσματος αὐτῶν σωτηρίας· περὶ ὁμονοίας κοινωφελοῦς, καὶ προσθήκης τῶν πιστευόντων. 15

Δ. Περὶ τῆς ἐν Χριστῷ θεραπείας τοῦ ἐκ γενετῆς χωλοῦ, Πέτρου τε κατηχήσεως ἐλεγκτικῆς, συμπαθητικῆς, συμβουλευτικῆς, πρὸς σωτηρίαν αὐτῶν· ἐν ᾧ ἐπιστασία τῶν ἀρχιερέων, ζήλῳ τοῦ γεγονότος, καὶ κρίσις τοῦ θαύματος. 29

Ε. Περὶ ἀπειλῆς τῶν ἀρχιερέων, προσταττόντων, ὡς οὐ δεῖ παῤῥησιάζεσθαι ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, καὶ ἀνέσεως τῶν ἀποστόλων· εὐχαριστία ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ τῆς τῶν ἀποστόλων πιστῆς καρτερίας· περὶ ὁμοψύχου καὶ καθολικῆς κοινωνίας τῶν πιστευσάντων· ἐν ᾧ περὶ Ἀνανίου καὶ Σαπφείρας, καὶ πικρᾶς αὐτῶν τελευτῆς. . 44

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ς. Ὅτι τοὺς ἀποστόλους, ἐμβληθέντας τῷ δεσμωτηρίῳ, ἄγγελος θεοῦ νύκτωρ ἐξέωσεν, ἐπιτρέψας ἀκωλύτως κηρύσσειν τὸν Ἰησοῦν· ἐν ᾧ ὅτι τῇ ἑξῆς αὐτοὺς οἱ ἀρχιερεῖς πάλιν συλλαβόμενοι, ἐφ' ᾧ μηκέτι διδάσκειν μαστίξαντες, ἀπέλυσαν. Γαμαλιὴλ γνώμη πιστὴ περὶ τῶν ἀποστόλων μετὰ παραδειγμάτων τινῶν καὶ ἀποδείξεων. . 54

Ζ. Περὶ χειροτονίας τῶν ἑπτὰ διακόνων. 63

Η. Ἰουδαίων ἐπανάστασις καὶ συκοφαντία κατὰ Στεφάνου, αὐτοῦ τε δημηγορία περὶ τῆς πρὸς Ἀβραὰμ διαθήκης τοῦ θεοῦ, καὶ περὶ τῶν δώδεκα πατριαρχῶν· ἐν ᾧ τὰ περὶ τοῦ λιμοῦ καὶ τῆς πυρωνίας καὶ τοῦ ἀναγνωρισμοῦ τῶν υἱῶν Ἰακὼβ, καὶ περὶ τῆς γενέσεως Μωϋσέως, καὶ τῆς πρὸς αὐτὸν γενομένης θεοφανείας ἐν ὄρει Σινᾷ· περὶ τῆς ἐξόδου καὶ μοσχοποιΐας τοῦ Ἰσραὴλ, ἄχρι χρόνων Σολομῶντος καὶ τῆς τοῦ ναοῦ κατασκευῆς· ὁμολογία τῆς ὑπερουρανίου δόξης Ἰησοῦ Χριστοῦ, ἀποκαλυφθείσης Στεφάνῳ, ἐφ' ᾗ λιθόλευστος γενόμενος ὁ αὐτὸς Στέφανος, εὐσεβῶς ἐκοιμήθη. . 65

Θ. Περὶ διωγμοῦ τῆς ἐκκλησίας καὶ ταφῆς Στεφάνου· ἐν ᾧ, περὶ Φιλίππου τοῦ ἀποστόλου, πολλοὺς ἰασαμένου ἐπὶ τῆς Σαμαρείας. 88

Ι. Περὶ Σίμωνος τοῦ μάγου, πιστεύσαντος καὶ βαπτισθέντος σὺν ἑτέροις πλείοσιν· ἐν ᾧ περὶ τῆς Πέτρου καὶ Ἰωάννου πρὸς αὐτοὺς ἀποστολῆς, καὶ ἐπικλησις τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς βαπτισθέντας. 89

ΙΑ. Ὅτι οὐκ ἀργυρίου, οὐδὲ ὑποκριταῖς, ἀλλὰ ἁγίοις διὰ πίστεως ἡ μετοχὴ τοῦ ἁγίου Πνεύματος δίδοται· ἐν ᾧ τὰ περὶ ὑποκρίσεως καὶ ἐπιπλήξεως Σίμωνος. 92

ΙΒ. Ὅτι τοῖς ἀγαθοῖς καὶ πιστοῖς εὐδοκεῖ τὴν σωτηρίαν ὁ θεὸς, δῆλον ἐκ τῆς κατὰ τὸν εὐνοῦχον ὑποθέσεως. 93

ΙΓ. Περὶ τῆς οὐρανόθεν θείας κλήσεως Παύλου εἰς ἀποστολήν· ἐν ᾧ περὶ ἰάσεως καὶ βαπτίσματος Παύλου δι' Ἀνανίου κατὰ ἀποκάλυψιν θεοῦ, παρρησίας τε αὐτοῦ καὶ συντυχίας τῆς διὰ Βαρνάβα πρὸς τοὺς ἀποστόλους. 97

ΙΔ. Περὶ Αἰνέα παραλυτικοῦ, ἰαθέντος ἐν Λύδδῃ διὰ Πέτρου· ἐν ᾧ τὰ περὶ Ταβιθᾶς τῆς φιλοχήρου, ἣν ἤγει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

μεν ἐκ νεκρῶν ὁ Πέτρος διὰ προσευχῆς ἐν Ἰόππῃ. 104

ΙΕ. Περὶ Κορνηλίου, ὅσα τε πρὸς αὐτὸν ὁ ἄγγελος εἶπε, καὶ ὅσα πάλιν πρὸς Πέτρον οὐρανόθεν περὶ κλήσεως ἐθνῶν ἐρρέθη· ἐν ᾧ, ὅτι μεταστελεῖς ὁ Πέτρος ἦλθε πρὸς Κορνήλιον. Ἐπανάληψις παρὰ τοῦ Κορνηλίου, ὧν ὁ ἄγγελος ἐπεμαρτύρησε καὶ ὑφηγήσατο αὐτῷ Κορνηλίῳ. Πέτρου κατήχησις εἰς Χριστὸν, τοῦ τε ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀκούοντας δωρεὰ, καὶ ὅπως ἐβαπτίσθησαν τότε οἱ ἐξ ἐθνῶν πιστεύσαντες. 107

ΙϚ. Ὡς Πέτρος τὰ καθεξῆς καὶ τὰ καθ' ἕκαστα τῶν γεγονότων διηγεῖται τοῖς ἀποστόλοις, διακριθεῖσι πρὸς αὐτὸν, τὸ τηνικάδε τὸν Βαρνάβαν ἐπέμψασι πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς. . . 115

ΙΖ. Προφητεία Ἀγάβου περὶ λιμοῦ οἰκουμενικοῦ, καὶ καρποφορία πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς. 118

ΙΗ. Ἰακώβου τοῦ ἀποστόλου κατασφαγή· ἐν ᾧ Πέτρου σύλληψις πρὸς Ἡρώδου· ὅπως τε αὐτὸν ὁ ἄγγελος θείῳ κελεύσματι ἐξείλετο τῶν δεσμῶν, καὶ ὁ Πέτρος ἐμφανὴς γενόμενος νύκτωρ τοῖς ἀδελφοῖς ὑπανεχώρησεν· ἐν ᾧ περὶ τῆς τῶν φυλάκων κολάσεως, καὶ μετέπειτα περὶ τῆς τοῦ ἀσεβοῦς Ἡρώδου πικρᾶς τε καὶ ὀλεθρίου καταστροφῆς . 120

ΙΘ. Ἀποστολὴ Βαρνάβα καὶ Παύλου πρὸς τοῦ θείου πνεύματος εἰς Κύπρον· ὅσα τε εἰργάσαντο ἐν ὀνόματι Χριστοῦ εἰς Ἐλύμαν τὸν μάγον. . . . 126

Κ. Παύλου εὐθαλὴς διδασκαλία εἰς Χριστὸν, ἔκ τε τοῦ νόμου καὶ καθεξῆς τῶν προφητῶν, ἱστορικὴ καὶ εὐαγγελική· ἐν ᾧ ὅτι καὶ ἐλεγκτικὴ καὶ συλλογιστική. Περὶ μεταθέσεως τοῦ κηρύγματος εἰς τὰ ἔθνη, διωγμοῦ τε αὐτῶν ἐκεῖ, καὶ ἀφίξεως εἰς Ἰκόνιον. 129

ΚΑ. Ὅπως ἐν Ἰκονίῳ κηρύξαντες τὸν Χριστὸν, πολλῶν τε πιστευσάντων, ἐδιώχθησαν οἱ ἀπόστολοι. . 136

ΚΒ. Περὶ τοῦ ἐν Λύστροις ἐκ γενετῆς χωλοῦ, ἰαθέντος διὰ τῶν ἀποστόλων· δι' ὅπερ εἶναί τε θεοὶ, καὶ παρεῖναι τοῖς ἐγχωρίοις ἔδοξαν. Ἔνθα δὴ καὶ μετέπειτα λιθάζεται ὁ Παῦλος παρὰ τῶν ἀστυγειτόνων Ἰουδαίων. 137

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ΓΚ. Ὅτι οὐ δεῖ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας δόγματι καὶ κρίσει τῶν ἀποςόλων· ἐν ᾧ ἐπιςολὴ τῶν ἀποςόλων πρὸς τοὺς ἐξ ἐθνῶν περὶ τῶν φυλακτέων· ἀντίῤῥησις Παύλου πρὸς Βαρνάβαν διὰ Μάρκον 139

ΚΔ. Περὶ τῆς κατηχήσεως Τιμοθέου, καὶ τῆς κατὰ ἀποκάλυψιν ἀφίξεως Παύλου εἰς Μακεδονίαν· ἐν ᾧ περὶ πίστεως καὶ σωτηρίας τινὸς γυναικὸς Λυδίας· περὶ ἰάσεως τῆς πνεῦμα Πύθωνος ἐχούσης παιδίσκης, δι' ἣν τὸν Παῦλον καθεῖρξαν οἱ δεσπόται· περὶ τοῦ συμβάντος ἐκεῖ σεισμοῦ καὶ θαύματος, καὶ ὅπως πιστεύσας ὁ εἱρκτοφύλαξ, ἐν αὐτῇ τῇ νυκτὶ ἐβαπτίσθη παραχρῆμα πανέστιος. Ὅτι παρακληθέντες ἐξῆλθον ἐκ τοῦ δεσμωτηρίου τότε οἱ ἀπόστολοι. 148

ΚΕ. Περὶ ςάσεως γενομένης ἐν Θεσσαλονίκῃ τοῦ κηρύγματος ἕνεκεν, φυγῆς τε Παύλου εἰς Βέροιαν, κἀκεῖθεν εἰς Ἀθήνας. 154

ΚΣ. Περὶ τῆς ἐν Ἀθήναις ἐπιβωμίου γραφῆς, φιλοσόφου τε κηρύγματος καὶ εὐσεβείας τοῦ Παύλου. . 156

ΚΖ. Περὶ Ἀκύλα καὶ Πρισκίλλης, τῆς τε Κορινθίων ἀπειθείας καὶ τῆς κατὰ πρόγνωσιν ἐπ' αὐτοὺς εὐδοκίας τοῦ θεοῦ, ἀποκαλυφθείσης τῷ Παύλῳ· ἐν ᾧ περὶ Κρίσπου ἀρχισυναγώγου, πιστεύσαντος σὺν ἑτέροις τισὶ καὶ βαπτισθέντος· ὅτι, στάσεως κινηθείσης ἐν Κορίνθῳ, ὁ Παῦλος ὑπανεχώρησεν· ἐλθὼν δὲ εἰς Ἔφεσον καὶ διαλεχθεὶς, ἐξῆλθε· περὶ Ἀπολλὼ, ἀνδρὸς λογίου τε καὶ πιστοῦ. . 162

ΚΗ. Περὶ βαπτίσματος καὶ τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, δοθείσης διὰ προσευχῆς Παύλου τοῖς ἐν Ἐφέσῳ πιστεύσασι, καὶ περὶ ἰάσεως τοῦ λαοῦ· ἐν ᾧ περὶ τῶν υἱῶν Σκευᾶ, ὅτι περ οὐ δεῖ προσχωρεῖν ἀπίστοις καὶ ἀναξίοις τῆς πίστεως γενομένοις, καὶ περὶ ἐξομολογήσεως τῶν πιστευόντων· περὶ τῆς ἐν Ἐφέσῳ κινηθείσης στάσεως ὑπὸ Δημητρίου τοῦ ἀργυροκόπου κατὰ τῶν ἀποςόλων. 166

ΚΘ. Περίοδος Παύλου· ἐν ᾧ τὰ περὶ θανάτου καὶ ἀνακλήσεως Εὐτύχου διὰ προσευχῆς ἐν Τρῳάδι· παραίνεσίς τε αὐτοῦ ποιμαντικὴ πρὸς τοὺς ἐν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

Ἐφέσῳ πρεσβυτέρους· ἐν ᾧ παράπλους Παύλου ἀπὸ Ἐφέσου ἄχρι Καισαρείας τῆς Παλαιστίνης. 172
Λ. Ἀγάβου προφητεία περὶ τῶν συμβησομένων τῷ Παύλῳ ἐν Ἱερουσαλήμ. 180
ΛΑ. Παραίνεσις Ἰακώβου πρὸς Παῦλον, περὶ τοῦ μὴ δοκεῖν κωλύειν Ἑβραίους περιτέμνεσθαι. . . . 181
ΛΒ. Περὶ τῆς ἐν Ἱερουσαλὴμ κατὰ τοῦ Παύλου κινηθείσης ἀταξίας· ὅπως τε αὐτὸν ὁ χιλίαρχος τοῦ πλήθους ἐξαιρεῖται· ἐν ᾧ Παύλου κατάστασις περὶ ἑαυτοῦ καὶ τῆς εἰς ἀποσολὴν αὐτοῦ κλήσεως. Περὶ ὧν ὁ Ἀνανίας εἶπε πρὸς τὸν Παῦλον ἐν Δαμασκῷ, ὁπτασίας τε καὶ φωνῆς θεοῦ, γενομένης ποτὲ πρὸς αὐτὸν ἐν τῷ ἱερῷ. Ὅτι μέλλων ἐπὶ τούτοις ὁ Παῦλος τύπτεσθαι, εἰπὼν, ὅτι Ῥωμαῖός ἐστιν, ἀφέθη. 182
ΛΓ. Ὅσα ὁ Παῦλος, καταβὰς εἰς τὸ συνέδριον, ἔπαθέ τε καὶ εἶπε, καὶ εὐθυβόλως ἔπραξε. 190
ΛΔ. Περὶ ἐπιβουλῆς μελετωμένης ὑπὸ Ἰουδαίων κατὰ Παύλου, καὶ μηνύσεως αὐτῆς πρὸς Λυσίαν· ἐν ᾧ, ὅτι παρεπέμφθη ὁ Παῦλος τῷ ἡγεμόνι εἰς Καισάρειαν μετὰ στρατιωτῶν καὶ γραμμάτων. . 193
ΛΕ. Τερτύλλου περὶ Παύλου κατηγορία, καὶ αὐτοῦ ἀπολογία ἐπὶ τοῦ ἡγεμόνος. 195
ΛϚ. Περὶ τῆς Φήλικος διαδοχῆς καὶ τῆς Φήστου προαγωγῆς, τῆς τε ἐπ' αὐτοῦ ἀνακρίσεως Παύλου καὶ ἐφέσεως. 198
ΛΖ. Ἀγρίππα καὶ Βερνίκης παρουσία, καὶ πεύσεις τῶν κατὰ Παῦλον· ἐν ᾧ, Παύλου ἀπολογία ἐπ' αὐτῶν περὶ τῆς ἐν νόμῳ θρησκείας αὐτοῦ καὶ κλήσεως εἰς τὸ εὐαγγέλιον· ὡς οὐδὲν ἀδικεῖ Ἰουδαίους ὁ Παῦλος, Ἀγρίππας ἔφη τῷ Φήστῳ. . . . 200
ΛΗ. Πλοῦς Παύλου ἐπὶ Ῥώμην, κινδύνων τε πλείστων καὶ μεγίστων ἔμπλεως· ἐν ᾧ, παραίνεσις Παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας. Ναυάγιον Παύλου· ὅπως τε διεσώθησαν εἰς Μελίτην τὴν νῆσον, καὶ ὅσα ἐν αὐτῇ ὁ Παῦλος ἐθαυματούργησεν. 206
ΛΘ. Ὅπως ἀπὸ Μελίτης εἰς Ῥώμην κατήντησεν ὁ Παῦλος. 213
Μ. Περὶ διαλέξεως Παύλου τῆς πρὸς τοὺς ἐν Ῥώμῃ Ἰουδαίους 214

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΞΗΓΗΣΙΣ
ΤΩΝ
ΠΑΛΑΙ ΑΓΙΩΝ ΑΝΔΡΩΝ
ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ,
ΥΠΟ
ΟΙΚΟΥΜΕΝΙΟΥ
ΕΚ ΔΙΑΦΟΡΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ ΣΥΛΛΕΧΘΕΙΣΑ ΤΕ ΚΑΙ ΕΙΣ ΣΥΝΟΨΙΝ ΑΚΡΙΒΩΘΕΙΣΑ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἐξ ἀναστάσεως διδασκαλίας τοῦ Χριστοῦ, καὶ ὀπτασίας πρὸς τοὺς μαθητάς· καὶ περὶ ἐπαγγελίας τῆς τοῦ ἁγίου Πνεύματος δωρεᾶς, θέας τε καὶ τρόπου τῆς ἀναλήψεως τοῦ Χριστοῦ· καὶ περὶ τῆς ἐνδόξου δευτέρας αὐτοῦ παρουσίας.

ΚΕΦ. Ι, 1 Τον μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε
2 καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας, ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

Λόγον εἶπε *πρῶτον*, οὐκ *Εὐαγγέλιον*, καίτοι Παύλου εὐαγγέλιον τὸ ἑαυτοῦ καλοῦντος (α), ἡνίκα φάσκει· *Κατὰ τὸ εὐαγγέλιόν μου*· τὸ κομπῶδες γὰρ πανταχοῦ φεύγουσιν· ὡς καὶ ὁ Ματθαῖος (β), *Βίβλος*, φάσκων, *γενέσεως*. Εἰ δὲ ὁ Μάρκος (γ),

(α) Β' Τιμ. Β', 8. (β) Ματθ. Α, 1. (γ) Μαρκ. Α, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρχή, φησι, τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ἀλλ' οὐ τὴν ἑαυτοῦ συγγραφὴν καλεῖ εὐαγγέλιον, ἀλλὰ τὸ τοῦ Χριστοῦ κήρυγμα· ἀρχὴ γὰρ τοῦ κηρύγματος τοῦ Χριστοῦ ἡ ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου πρόοδος. Τῆς δὲ τοῦ κατὰ Χριστὸν μυστηρίου ἀποκαλύψεως καὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἀρχὴ, ἡ ἐκ Παρθένου γέννησις, καὶ ὅσα ἐπὶ τούτοις. Ἥτινι καὶ ἀρχῇ ἐχρήσατο τῶν οἰκείων συγγραφῶν Ματθαῖος, καὶ αὐτὸς ὁ Λουκᾶς οὗτος, ἃ καὶ *Εὐαγγέλια* οἱ πιστοὶ μετὰ ταῦτα ἐδικαίωσαν καλεῖν, ὡς τὸ ὄντως εὐαγγέλιον, τουτέστι, τὴν τοῦ Χριστοῦ διδασκαλίαν, περιέχοντα. Τὸ δὲ, *Περὶ πάντων*, εἰπεῖν, δοκεῖ ἐναντιοῦσθαι τῷ εὐαγγελιστῇ Ἰωάννῃ, εἴγε ὁ μὲν φησιν, οὐκ εἶναι δυνατὸν πάντα γράψαι· μηδὲ γὰρ χωρῆσαι τὰ γραφόμενα βιβλία τὸν κόσμον (α)· ὁ δὲ περὶ πάντων φησὶ τὸν λόγον πεποιῆσθαι ἀπ' ἀρχῆς μέχρι τῆς ἀναλήψεως. Τί οὖν φαμέν; Ὅτι *περὶ πάντων* οὗτος φησι, τῶν συνεχόντων καὶ κατεπειγόντων μηδὲν παραλιπεῖν, ἐξ ὧν ἡ τοῦ κηρύγματος θειότης καὶ ἀλήθεια καταλαμβάνεται. Καὶ γὰρ αὐτὸς ὁ Ἰωάννης περὶ πάντων τούτων διέλαβεν. Οὐ γὰρ ἐνέλιπόν τι, δι' ὧν ἥ τε κατὰ σάρκα τοῦ λόγου οἰκονομία πιστεύεταί τε καὶ ἐπιγινώσκεται, καὶ ἡ κατὰ τὴν θεότητα αὐτοῦ μεγαλειότης διαλάμπει τε καὶ ἐμφανίζεται.—*Ὦ Θεόφιλε.*] Ἡγεμὼν ἦν οὗτος ὁ Θεόφιλος. Μὴ θαυμάσῃς δὲ, εἰ ἕνεκεν ἀνδρὸς ἑνὸς τοσαύτην φροντίδα κατελάβετο, ὡς δύο αὐτῷ γράψαι πραγματείας ὁλοκλήρους· καὶ γὰρ φύλαξ ἦν τῆς δεσποτικῆς φωνῆς τῆς λεγούσης· *Οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων* (β).— *Ποιεῖν τε καὶ διδάσκειν.*] Τὸν παθόντα λέγει καὶ τὰ θαύματα πεποιηκέναι. Ἢ, ὅτι δι' ὧν ἔπραττε παρήνει. *Ἄχρι ἧς ἡμέρας.*] Τὸ ἑξῆς· *Ἄχρι ἧς ἡμέρας ἀνελήφθη*· τὰ δὲ λοιπὰ, διὰ μέσου. Τὸ δὲ, *Ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου*, ἢ ὅτι πνευματικὰ τὰ

(α) Ἰωαν. ΚΑ', 25. (β) Ματθ. ΙΗ', 14.

ἐντάλματα δηλοῖ, οὐδὲν κοσμικὸν ἐπιφαίνοντα· ἢ, ἵνα καὶ τὸ πνεῦμα σύμφυτον ἑαυτῷ παραδείξῃ, ὡς οὐδὲν ὢν ὑπὸ θεοῦ τελεῖται ἐλλεῖπον ἔχοντι τῆς ἁγιαστικῆς ὑποστάσεως. Τί δὲ τὰ ἐντάλματα; *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος* (α). *Ἀνελήφθη* δὲ εἶπεν, οὐκ, Ἀνέβη· ἔτι γὰρ ὡς περὶ ἀνθρώπου διαλέγεται.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα, μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις.

Ἀνελήφθη εἰπὼν, ἵνα μή τις νομίσῃ ἑτέρου δυνάμει τοῦτο γενέσθαι, ἐπήνεγκεν εὐθὺς καὶ τὸ ἀπὸ τῆς οἰκείας αὐθεντίας· *Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα.* Τὸν αὐτὸν δὲ δεικνὺς καὶ πεπονθότα καὶ ἀναστάντα, συνῆψε τῷ λόγῳ, *Μετὰ τὸ παθεῖν αὐτόν.*

3 Δι' ἡμερῶν τεσσαράκοντα.

Δι' ἡμερῶν δὲ εἶπε *τεσσαράκοντα*, οὐκ, Ἐν ἡμέραις· οὐ γὰρ συνεχῆ τὴν μετ' αὐτῶν διατριβὴν ἐποιεῖτο, ὡς καὶ πρὸ τοῦ πάθους, ἀλλὰ διεσταλμένως, ἅμα μὲν καὶ ποθεινοτέραν αὐτοῖς τὴν ἑαυτοῦ ἐμφάνειαν παρασκευάζων, ἅμα δὲ τὸ ὑψηλότερον καὶ θεοπρεπὲς αὐτοῦ ἐμφανίζων.

3 Ὀπτανόμενος αὐτοῖς.

Τίνος ἕνεκεν οὐ πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἀποστόλοις ἐφάνη; Ὅτι φάντασμα ἔδοξεν ἂν τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόῤῥητον τοῦ μυστηρίου. Εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν, καὶ ἐθορυβοῦντο, τί τοὺς πολλοὺς εἰκὸς ἦν παθεῖν; Διά τοι τοῦτο ἐκ τῶν σημείων, ὧν ἔλαβον χάριν ποιεῖν οἱ ἀπόστολοι, ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν καὶ κοινήν· ὥστε μὴ τοῖς τότε μόνον, ὅπερ ἐκ τῆς ὄψεως ἔμελλε γίνεσθαι, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν.

(α) Ματθ. ΚΗ', 19. 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ.

Ἐντεῦθεν μανθάνομεν, ὡς καὶ μετὰ τὴν ἀνάστασιν ἐδίδασκε τοὺς μαθητάς.

4 Καὶ συναλιζόμενος.

Συνεσθίων καὶ πίνων, τουτέστι, κοινωνῶν ἁλῶν, κοινωνῶν τραπέζης.

4 Παρήγγειλεν αὐτοῖς, ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός.

Ἀπὸ Ἱεροσολύμων μὴ ἀφίστασθαι παρηγγύα, βουλόμενος τῇ προσεδρίᾳ βεβαιότερον τὸν τῆς ἀναστάσεως αὐτοῖς καταστήσασθαι λόγον διὰ τῶν θαυμάτων, ἃ δι' ἐπικλήσεως ἐγίνετο τοῦ σταυρωθέντος, διὰ τῶν θλίψεων, ὧν ἔπασχον μὲν ὑπὸ τῶν Ἰουδαίων, οὐκ ἀφίσταντο δὲ τῆς τοῦ σταυρωθέντος καὶ ἀναστάντος φιλίας, ἀλλ' ὑπεραπέθνησκον τούτου. Εἰ γὰρ εὐθὺς ἐχωρίσθησαν ἀπὸ Ἱεροσολύμων, καὶ τούτων οὐδὲν ἐπηκολούθησεν, ὕποπτος ἂν ἡ ἀνάστασις ὑπῆρξεν. Ἄλλως τε καὶ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι. Ἅμα δὲ καὶ ἔδει περιμένειν αὐτοὺς, ἵνα μή τινες λέγωσιν, ὅτι τοὺς γνωρίμους ἀφέντες, παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι. Ἅμα δὲ καὶ, μήπω τῆς τοῦ πνεύματος θωρακισθέντες δυνάμει, ἄχρηστοι καθίσταντο ἂν πρὸς τὰς τῶν ἀντιπάλων συμπλοκάς. *Τὴν ἐπαγγελίαν τοῦ πατρός.*] Καὶ ποῦ τοῦτο ὁ πατὴρ ἐπηγγείλατο; Φαμὲν οὖν, ὅτι ἤτοι ἐλλειπτικῶς τῆς, *Ἀπὸ*, προθέσεως δεῖ τὸ ῥητὸν ἐκλαμβάνειν, ἵνα ᾖ, *Περιμένειν ἀπὸ τοῦ πατρὸς τὴν ἐπαγγελίαν*, ἣν ὑμῖν ἐποιησάμην τοῦ ἁγίου Πνεύματος· ἢ καὶ ὅτι, ὡς αὐτός φησιν, ἃ παρὰ τοῦ πατρὸς ἀκήκοα, ταῦτα ἀπαγγέλλω ὑμῖν. Καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐπαγγελία, εἰ καὶ δι' αὐτοῦ γέγονεν, ἀλλὰ καὶ παρὰ τοῦ πατρὸς ὑπῆρξεν. Εἰ δὲ καὶ παρ' αὐτοῦ ζητεῖς τοῦ πνεύματος, ὁ Ἰωὴλ ἐχέγγυος πιστώσασθαι τὸν λόγον, «Ἐκ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χεῶ, φάσκων, ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα (α).»

4 Ἣν ἠκούσατέ μου.

Πότε δὲ ἤκουσαν; Ὅτε ἔλεγε· *Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς* (β)· καὶ πάλιν· *Ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν* (γ). Ἀτὰρ εἰ μηδέπω παρεγένετο τὸ πνεῦμα, πῶς ἔλεγε; *Λάβετε Πνεῦμα ἅγιον* (δ); Ἢ ὅτι τοῦτο ἔλεγε, δεκτικοὺς αὐτοὺς καὶ ἐπιτηδείους ποιῶν εἰς τὴν ὑποδοχὴν τοῦ πνεύματος· ἔλαβον δέ, ὅτε κατῆλθεν· ἢ ὅτι τὸ μέλλον ὡς ἤδη παρὸν εἴρηκεν· ἢ ὅτι τοῦ πνεύματος ἡ δόσις, ἡ μὲν, καθαρτικὴ, ἡ δὲ, τελειωτική. Ἡ οὖν τελεία καὶ τελειοποιὸς, ὥστε καὶ ἑτέρους τελειοποιεῖν, τοῦ πνεύματος τοῖς ἀποστόλοις ἐπιφοίτησις, κατὰ τὸν καιρὸν τῆς πεντηκοστῆς γέγονεν· οὐκ ἦλθε δὲ παρόντος αὐτοῦ· ὅτι, εἰ ὁ μὲν ἀπῆλθε, τὸ δὲ ἔμεινεν, οὐκ ἦν τοσοῦτον τὸ τῆς παραμυθίας· σφόδρα γὰρ αὐτοῦ δυσαποσπάστως εἶχον. Οὐ κατῆλθε δὲ τὸ πνῦμα εὐθέως, ἀλλὰ μετὰ ὀκτὼ τυχὸν ἢ ἐννέα ἡμέρας, ἵνα καὶ μικρὸν ἀθυμήσαντες, καὶ ἐν ἐπιθυμίᾳ καὶ χρείᾳ τῆς ἐπαγγελίας καταστάντες, καθαρὰν καὶ ἀπηρτισμένην δέξωνται τὴν ἐπὶ τῇ παρουσίᾳ ἡδονήν. Ἄλλως δὲ ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν, καὶ τὰς καταλλαγὰς γενέσθαι ἀπηρτισμένας, καὶ τότε ἐλθεῖν τὸ πνεῦμα. Σκόπει δὲ, ἵνα πάλιν μετὰ τὴν ἀνάληψιν μὴ φύγωσι, πῶς τῇ προσδοκίᾳ ταύτῃ, καθάπερ τινὶ δεσμῷ, κατέχει πάντας αὐτοὺς ἐκεῖ.

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι.

Παρὰ τὴν ἀρχὴν οἱ ἀπόστολοι ὕδατι ἐβαπτίσθησαν· μετὰ ταῦτα δὲ καὶ ἁγίῳ Πνεύματι. Ἐνταῦθα φανερῶς ἤδη τὸ πρὸς Ἰωάννην αὐτοῦ ὑπερβάλλον παριστᾷ, οὐχ ὡς ὅτε ἔλεγεν· *Ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων Ἰωάννου ἐστὶν* (ε).

(α) Ἰωήλ. Β', 28. (β) Ἰωαν. ΙϚ', 7. (γ) Ἰωαν. ΙΔ', 16.
(δ) Ἰωαν. Κ', 22. (ε) Ματθ. ΙΑ, 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

Βαπτισθήσεσθε, εἶπεν, ἀλλ' οὐ, Βαπτίσω, τὸ ἀκόμπαστον μεταδιώκων. Ἄλλως τε καὶ Ἰωάννου τοῦτο προδιδάξαντος, ἐν τῷ εἰπεῖν· *Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί* (α)· περιττὴ ἡ Δι' ἑαυτοῦ προσθήκη. Χωρὶς δὲ ὕδατος οὐ βαπτίζει ἐν τῷ ὑπερῴῳ χάριτι; Πάντως· καὶ γὰρ τὸ κυριώτερον τὸ πνεῦμα ἐστὶ, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς, χριστὸς ἄνευ ἐλαίου γέγονε.

6 Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

Σκόπει ἐνταῦθα. Ἐπεὶ πρὸ τοῦ πάθους ἠρώτησαν τὰ περὶ συντελείας τοῦ κόσμου, οὐκέτι περὶ τούτου ἐπερωτῶσιν, ἀλλὰ περὶ βασιλείας κοσμικῆς· ἔτι γὰρ ἀτελέστερον διέκειντο. Ὁμοῦ δὲ συνελθόντες ἠρώτων, ἵνα τῷ πλήθει δυσωπήσωσιν. Ἀκούσαντες δὲ πρὸ τοῦ πάθους, ὅτι οὐδεὶς οἶδε τὴν ἡμέραν (β), ὅμως καὶ νῦν πάλιν ἐρωτῶσιν. Ἐπεὶ γὰρ ἤκουσαν, ὅτι μέλλουσι λαμβάνειν τὸ πνεῦμα, ὡς ἄξιοι λοιπὸν ἤθελον μαθεῖν, καὶ ἀπαλλαγῆναι τῶν δυσχερῶν ἐπεθύμουν. Οὐκ εἶπον δὲ, *Πότε*, ἀλλ', *Εἰ ἐν τῷ χρόνῳ τούτῳ*; εἰ νῦν, φασίν. Οὕτως ἐπεθύμουν τὴν ἡμέραν! Ἐμοὶ δὲ δοκεῖ, οὐδὲ τετρανῶσθαί πως αὐτοῖς, τί ποτ' ἦν ἡ βασιλεία. Οὔπω γὰρ ἦν διδάξαν τὸ πνεῦμα. Εἶπον δὲ τὸ, *ἀποκαθιστάνεις*· ὅτι μείζονα λοιπὸν περὶ αὐτοῦ ἐφαντάζοντο. Διὸ καὶ αὐτὸς ἀνειμένως αὐτοῖς διελέγετο. Οὐ γὰρ εἶπεν, Οὐδὲ ὁ υἱὸς οἶδεν· ἀλλ', Οὐχ ὑμῶν ἐστί. Καὶ ἵνα μὴ ἀθυμήσωσιν, ἐπήγαγεν· *Ἀλλὰ λήψεσθε δύναμιν*, καὶ τὰ ἑξῆς. Καὶ ἐκεῖνοι μὲν οὐ περὶ τῆς συντελείας ἠρώτησαν, αὐτὸς δὲ ἃ οὐκ ἠρώτησαν διδάσκει· ὅτι ἀρίστου διδασκάλου ἐστὶ, μὴ ἃ βούλονται οἱ μαθηταὶ, ἀλλ' ἃ συμ-

(α) Ματθ. Γ', 11. (β) Μαρκ. ΙΓ', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέρει μαθεῖν, διδάσκειν. Διά τοι τοῦτο οὐ πρὸς τὴν ἐρώτησιν ἀπήντησεν, ὡς μηδὲν ἔχουσαν χρηστόν· ἀλλὰ τὸ κατεπεῖγον ἐδίδασκε· τοῦ πνεύματος γὰρ ἦν χρεία μάλιστα αὐτοῖς τότε.

7 Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστὶ γνῶναι χρόνους ἢ καιρούς.

Πανταχοῦ τῆς τῶν μελλόντων αὐτοὺς ἀποτειχίζει γνώσεως, οὐχ ὡς ἀγνοῶν, ἀλλ' ὡς μηδὲν αὐτοὺς ἐκ τούτου κερδαίνειν τῶν εἰς ψυχικὴν ὠφελίαν εἰδώς· ἐντεῦθεν καὶ ἀνωτέρω ἀορίστως φησὶ πρὸς αὐτούς· *Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.* Εἰ δὲ ζητεῖς, Διὰ τί μὴ παρευθὺ τὸ πνεῦμα καταπέμπει, ἢ μὴ καὶ τὴν προθεσμίαν ἐσήμανε; Μάνθανε, ὅτι παραυτίκα μὲν τῆς ἀνόδου τὸ πνεῦμα οὐ παραγίνεται, ἵνα ποθεινοτέραν αὐτοῦ καταστήσῃ τὴν ὑποδοχήν· οὐχὶ εἰς ῥητὴν δὲ ἡμέραν, ἐναγωνίους αὐτοὺς καὶ πρὸς τὴν παρουσίαν εὐπρεπεστέρους ποιῶν.

7 Οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Προσεκτέον, εἴ τινα ῥοπὴν δίδωσι τοῦτο τοῖς βουλομένους τὸν ὅρον τῶν ἀνθρωπίνων πραγμάτων ἀναιρεῖν, ἤτοι τὴν εἱμαρμένην. Τῷ γὰρ εἰπεῖν, *Οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ*, ἀναιρεῖ τὸ εἱμαρμένον. Ἀλλ' εἰ ὁ πατὴρ ἔθετο, δῆλον ὅτι καὶ ὁ υἱός· πάντα γὰρ τὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ εἰσὶ (α).

8 Ἀλλὰ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Ἐπειδὴ πρὸ τούτου παρήγγειλεν· *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε*, καὶ τὰ ἑξῆς (β)· μόνοις γὰρ ἀπεστάλθαι τοῖς ἐξ Ἰσραὴλ νῦν μετὰ τούτων, καὶ Σαμαρεῦσι καὶ τοῖς λοιποῖς ἔθνεσι τὸ κήρυγμα κατακαινοῖ. Ἅμα δὲ καὶ προκαταγγέλει τὸ μέχρι

(α) Ἰωαν ΙΖ', 10. (β) Ματθ. Ι, 5.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πάσης τῆς οἰκουμένης τὸν τῆς εὐσεβείας λόγον χεθῆναι. Τὸ γάρ, *Ἕως ἐσχάτου τῆς γῆς*, τί ἂν ἄλλο ἢ τοῦτο σημαίνῃ;

9 Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν, ἐπήρθη· Ἀπάγων αὐτοὺς ἄλλης ἐρεσχελίας, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθὺς ἤρξατο τῆς εἰς οὐρανοὺς ἀνόδου. Προστίθησι δὲ τὸ, *βλεπόντων αὐτῶν*· ἐπειδὴ ἐνταῦθα τὸ πᾶν τῆς πίστεως καὶ τῆς χρείας αὐτῶν ἡ ἀρχὴ ἴσχυσε τοῦ πράγματος, τὸ δὲ τέλος οὐκέτι. Διὰ τοῦτο δὲ καὶ παρέστησαν οἱ διδάσκοντες ἄνδρες, ὅτι εἰς τὸν οὐρανὸν καταπαύει· οὐδὲ γὰρ ἡ ὅρασις ἐξικνεῖτο πρὸς τὸ τέλος. Ἐπὶ δὲ τῆς ἀναστάσεως, τοὐναντίον· ἡ μὲν ἀρχὴ οὐχ ὡράθη· παρέλκον γὰρ ἦν, αὐτοῦ τοῦ ἀναστάντος φαινομένου ζῶντος, καὶ τοῦ μνήματος κενοῦ· τὸ δὲ τέλος δῆλον· ζῶν γὰρ αὐτοῖς ἐνεφανίζετο.

9 Καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Νεφέλη μὲν ὑπέλαβε τὸν Κύριον, ἵνα τὸ πρὸς τὸν πατέρα ὁμότιμον παραστήσῃ· νεφέλη γὰρ καὶ γνόφος κύκλῳ αὐτοῦ (α), περὶ τοῦ πατρὸς εἴρηται. Καὶ ὁ μὲν σαρκωθεὶς θεὸς, νεφέλῃ ὀχήματι κέχρηται· Κύριος γάρ· ὁ δὲ Ἠλίας, πυρί (β). Ὁ μὲν γὰρ, ἅτε δεσπότης τοῦ παντὸς, καὶ οἰκείᾳ δυνάμει ἀνιὼν, γεωδές τι καὶ κατωφερὲς πρὸς τὴν ἄνοδον παραλαμβάνει, οὐ μᾶλλον ἀγόμενος ἢ ἀνάγων τὸ ὄχημα· δοῦλος δὲ ὁ Ἠλίας, καὶ διὰ τοῦτο ἀνωφεροῦς δίφρου δεόμενος, καὶ ἵππων, τὸ τάχος αὐτῷ καπανυόντων τῆς ἄνω πορείας. Διὸ καὶ ἐπ' ἐκείνου μὲν εἴρηται· *Ἀνέβη Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν*· ἐπὶ δὲ τοῦ Κυρίου τὸ, *Πορευομένου αὐτοῦ εἰς τὸν οὐρανόν*. Δύο δὲ ἄνδρες λευχείμονες πιστοῦνται τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν τοῦ Κυρίου, διὰ τὸ, Ἐπὶ δύο ἢ τριῶν μαρτύρων τὸν λόγον καθίστασθαι βέβαιον (γ).

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, πορευο-

(α) Ψαλμ. ϙζ', 2. (β) Δ' Βασιλ. Β', 11. (γ) Δευτερ. ΙΘ', 15. Ματθ. ΙΗ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένου αὐτοῦ, καὶ, ἰδοὺ, ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ·

Ἄνδρες διὰ τὴν ἐνέργειαν οἱ ἄγγελοι φαινόμενοι χρηματίζουσι, κατὰ τὸ συγγενὲς τοῦ �ράματος, ἵνα μὴ τέλεον ἐκπλήξωσι τοὺς ἤδη τῷ ξένῳ τῆς ἀναλήψεως ἐκπεπληγμένους.

11 Οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε, ἐμβλέποντες εἰς τὸν οὐρανόν;

Ἄνδρες ἀνδράσιν ἐλάλουν, καὶ ὅμως οὐκ ἦσαν ὁμοούσιοι ἀλλήλοις.

11 Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

Ἵνα μὴ θορυβῶνται οἱ μαθηταὶ, καὶ, ὡς οἰχομένου τοῦ διδασκάλου, καὶ τοῦ σώματος αὐτῷ διαῤῥυέντος, ἀνέλπιστοι λοιπὸν ὦσι τῆς ἐπ' αὐτῷ προσδοκίας, καὶ διὰ τοῦτο ἄλλος ἀλλαχοῦ διασκεδασθῶσι δειλίᾳ καὶ φόβῳ· τούτου χάριν ἐφίστανται οἱ ἄνδρες, καὶ τὴν εἰς οὐρανὸν ἄνοδον αὐτοῖς δηλοῦντες, καὶ τὴν τοῦ προσειλημμένου σώματος διαμονήν τε καὶ σωτηρίαν, δι' ὧν φασίν· Οὗτος ὁ Ἰησοῦς, οὕτως ἐλεύσεται πάλιν. Διὰ δὲ τοῦ εἰπεῖν· *Τί ἑστήκατε;* ὑπαγορεύουσιν αὐτοῖς, τῆς περὶ τοῦτο ἀφεμένους ἀσχολίας, πρὸς τὴν Ἱερουσαλὴμ παραγενέσθαι κατὰ τὸ τοῦ Κυρίου παράγγελμα, τὸ, *Ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι.* Διὸ καὶ παραγενόμενοι, ἔτι ὑπότρομοι ὄντες διὰ τὴν τοῦ διδασκάλου ἀπουσίαν, οὐκ εἰς τὴν πόλιν ἀνεστρέφοντο, ἀλλ' εἰς τὸ ὑπερῷον ἀνέβησαν, ὡς εἰς ἀσφαλέστερον καὶ κρύφιον τόπον. Λέγει γὰρ ὁ Χρυσόστομος (1), ὡς ἐν ἡμέρᾳ σαββάτου γέγονεν ἡ ἀνάληψις· διὸ καὶ ἐπισημαίνεται τὸ, *Σαββάτου ἔχον ὁδὸν*, ἵνα μὴ δόξωσιν ὡς ἐν σαββάτῳ πλείονι τῆς διατάξεως τῆς ἀπὸ τοῦ νόμου χρησάμενοι πεζοπορίᾳ.

12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους, τοῦ

(1) Τομ. Θ'. Σελ. 22. Ε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, σαββάτου ἔχον ὁδόν.

Μίλιον ἕν. Ἡ τοῦ σαββάτου ὁδὸς, ὡς φησιν Ὠριγένης ἐν τῷ πέμπτῳ Στρωματεῖ, δισχιλίων πηχῶν ὑπῆρχε· καὶ μᾶλλον ἡ ἁγία σκηνὴ καὶ κιβωτὸς τοσοῦτον διάστημα προελάμβανον τὴν παρεμβολὴν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐσκήνουν· ὃ διάστημα ἐξῆν τοῖς προσκυνοῦσι τὴν ἁγίαν σκηνὴν βαδίζειν ἐν σαββάτῳ.

13 Καί ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, οὗ ἦσαν καταμένοντες ὅ,τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἁλφαίου καὶ
14 Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου. Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ, καὶ Μαρίᾳ, τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

Καταλέγει τοὺς μαθητὰς ὀνομαστὶ, ἵνα δείξῃ, ὡς σφαλέντες περὶ τὸ πάθος, Ἰούδας μὲν πάντῃ ἑαυτὸν ἔξωσε τοῦ χοροῦ τῶν ἀποστόλων· ὁ δὲ Πέτρος καὶ συνῆν, καὶ πρὸς τοῦ διδασκάλου διὰ τοῦ τρισσοῦ τῆς ἐρωτήσεως ἀνακέκληται. Εἰ δὲ τὴν τοῦ Χριστοῦ μητέρα λαβεῖν τὸν Ἰωάννην ἀναγέγραπται εἰς τὰ ἴδια (α), ἀλλ' οὖν, παρόντος Ἰωάννου τοῖς ἀποστόλοις, καὶ αὐτὴ συμπαρῆν. — ΑΔΔΩΣ. Οὐ μάτην τὸν κατάλογον ποιεῖται τῶν μαθητῶν, ἀλλὰ βουλόμενος παραστῆσαι καὶ τῶν παθόντων μέν τι, μὴ ἐναπομεινάντων δὲ τῷ πτώματι. Ὁ μὲν γὰρ ἀρνησάμενος Πέτρος, πικρῷ δακρύῳ τὴν ἄρνησιν ἀπελύσατο, ὡς δῆλον, ἀφ' ὧν μικρὸν ὕστερον τὸ λογικὸν πιστεύεται ποίμνιον· ὁ δὲ ἀπιστήσας Θωμᾶς, ἰάθη τὴν ἀπιστίαν τῇ ψηλαφήσει τῶν χειρῶν τῶν τραυμάτων καὶ τῆς πλευρᾶς. Ὥστε πάντων συνόντων τῶν ἄλλων, μόνος ἀπελείπετο Ἰούδας. Καὶ Μαρία δὲ ἡ Θεοτόκος παρῆν· ἐπεὶ καὶ ὁ

(α) Ιωαν. ιθ', 27.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτην παραλαβὼν εἰς τὰ ἴδια Ἰωάννης, καὶ οἱ ἀδελφοὶ παρῆσαν. Εἰ δὲ καὶ Ἰωσὴφ ὁ μνηστὴρ ἔζη, παρῆν ἂν καὶ αὐτὸς· καὶ μάλιστα οὗτος ὁ μηδέποτε, ὥσπερ οἱ ἐξ αὐτοῦ, περὶ τὴν οἰκονομίαν ἐνδοιάσας. Ἀλλὰ δῆλον, ὅτι πάλαι ἐτεθνήκει· ἐπεὶ μηδὲ, ὅτε διδάσκοντα τὸν Ἰησοῦν ἠξίουν οἱ συγγενεῖς θεάσασθαι, καὶ αὐτὸς παρῆν. Τί γάρ φησιν; Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε ἔξω (α), ἀλλ' οὐχὶ, καὶ ὁ πατήρ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πέτρου διάλογος πρὸς τοὺς μαθητευθέντας περὶ θανάτου καὶ ἀποβολῆς Ἰούδα τοῦ προδότου, ἐν ᾧ καὶ περὶ ἀντεισαγωγῆς Ματθίου, κληρωθέντος χάριτι θεοῦ διὰ προσευχῆς.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν· (ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν·)

Ἀνίσταται ὁ Πέτρος, οὐχ ὁ Ἰάκωβος, καὶ ὡς θερμότερος, καὶ ὡς τὴν προστασίαν τῶν μαθητῶν ἐγκεχειρισμένος. Ἄλλως τε καὶ ἐπιεικὴς ἦν ὁ Ἰάκωβος, καὶ μᾶλλον τῇ προσευχῇ καὶ τῇ ἡσυχίᾳ ὠφέλιμος, τῶν ἄλλων δηλονότι μεταχειριζόντων τὸ πρᾶγμα. Διὸ καὶ τῆς ἐν Ἱεροσολύμοις αὐτῷ καθέδρας παραχωροῦσιν. Ὅρα δὲ πάντα μετὰ κοινῆς αὐτὸν γνώμης ποιοῦντα, καὶ οὐκ ἀρχικῶς, οὐδὲ μετ' ἐξουσίας. Ἑκατὸν δὲ εἴκοσι συμπαρῆσαν ἀπὸ τῶν πιστευσάντων τῷ Κυρίῳ. Ἦσαν γὰρ καὶ ἑβδομήκοντα, καὶ πεντακόσιοι, οὓς καὶ ἀναςάντα λέγει Παῦλος θεά-

(α) Ματθ. ΙΒ'. 47.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σασθαι τὸν Κύριον (α). Ἀλλ' εἰκὸς τούτους τῶν ἐγκριτοτέρων εἶναι καὶ τῶν πρὸς τὸ παῤῥησιάζεσθαι θερμοτέρων.

16 Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ τοῖς συλ-
17 λαβοῦσι τὸν Ἰησοῦν· ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.
18 Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας· καὶ πρηνὴς γενόμενος, ἐλάκησε μέσος· καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ.

Παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προῤῥήσεως. Καὶ οὐ λέγει, Ἦν Δαυὶδ εἶπεν, ἀλλὰ, *Τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ*. Τί δὲ τοῦτο ἦν; Ὅσα ὁ ΡΗ' περιέχει ψαλμός· ὧν καὶ αὐτὸς μικρὸν ὄπισθεν μνημονεύσει. *Περὶ Ἰούδα* δὲ εἰπὼν, ἐπεικῶς ἅμα μεταχειρίζεται καὶ ἀφιλαπεχθημόνως τὸν λόγον. Οὐ γὰρ λέγει, τοῦ καταράτου, τοῦ μιαροῦ, ἀλλ' ἁπλῶς τὸ γεγενημένον δηλοῖ. Ἐπαγαγὼν δὲ τὸ, *Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ ὅτι Πρηνὴς γενόμενος, ἐλάκησεν*, ἤτοι, διεσχίσθη, τὸ μὲν, *κτήσασθαι*, οὐκ εἰς τὸν Ἰούδαν ἀναφέρων εἴρηκεν· οὐ γὰρ αὐτὸς ὠνήσατο τὸ χωρίον, ἀλλ' οἱ ἱερεῖς, ἀπὸ τῶν ῥιφέντων ὑπ' αὐτοῦ ἀργυρίων ἐν τῷ ναῷ· ἐπεὶ δὲ μισθὸς ταῦτα τῆς προδοσίας Ἰούδα, ἐκείνῳ καὶ ἡ κτῆσις λογίζεται. Καὶ πάλιν, ἐπεὶ εἰς ταφὴν τοῦτο ἀρώρισται (β), πεπλήρωται ἡ γραφή, τό· *Καὶ ἡ ἔπαυλις αὐτοῦ ἠρημωμένη* (γ). Τί γὰρ ἐρημότερον τάφων; Διὰ δὲ τοῦ εἰπεῖν, *Πρηνὴς γενόμενος, ἐλάκησε μέσος*, ἔδειξεν, ὅτι ἅμα τῷ προδοῦναι, ἐκ τῆς ἄγαν ὀλιγωρίας καὶ ῥαθυμίας ἐχρήσατο δι' ἀπογνώσεως τῷ τοιούτῳ τέλει. Ἀγχόνῃ δὲ χρησάμενον εἰπόντων τῶν ἱερῶν εὐαγγελίων (δ), εἰ οὗτος νῦν πρηνὴς γενέσθαι αὐτὸν, καὶ ὅσα ἑξῆς, ἀναγράφει, οὐδὲν εἰς διαφωνίαν· ἀμφότερον γὰρ γέγονε, διαῤ-

(α) Α Κορ. ΙΕ', 5. (β) Ματθ. ΚΖ', 7. (γ) Ψαλμ. ΞΗ', 26.
(δ) Ματ. ΚΖ', 5. 13. καὶ Εὐθύμιον αὐτόθι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῥαγέντος τοῦ καλωδίου, ὑφ' οὗ ἡ ἀγχόνη, καὶ οὕτω πρηνοῦς ἐπὶ γῆς κατενεχθέντος καὶ λελακηκότος. Ἐν ὅσῳ δὲ ταῦτα μετὰ τεσσαράκοντα ἡμέρας περὶ αὐτοῦ διεξηγεῖται, τὸ παραχρῆμα τῆς προδοσίας ταῦτα γενέσθαι πιστοῦται.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλήμ, ὥσε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμά, τουτέστι, Χωρίον αἵμα-
20 τος. Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν (α)· «Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔσω ὁ κατοικῶν ἐν αὐτῇ·» καί· «Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.»

Ὁ Ἰούδας οὐκ ἐναπέθανε τῇ ἀγχόνῃ, ἀλλ' ἐπεβίω, κατενεχθεὶς πρὸ τοῦ ἀποπνιγῆναι. Καὶ τοῦτο δηλοῦσιν αἱ τῶν ἀποστόλων Πράξεις, ὅτι *Πρηνὴς γενόμενος, ἐλάκησε μέσος*. Τοῦτο δὲ σαφέστερον ἱστορεῖ Παπίας ὁ Ἰωάννου τοῦ ἀποστόλου μαθητὴς, λέγων· «Μέγα ἀσεβείας ὑπόδειγμα ἐν τούτῳ τῷ κόσμῳ περιεπάτησεν Ἰούδας. Πρησθεὶς γὰρ ἐπὶ τοσοῦτον τὴν σάρκα, ὥστε μὴ δύνασθαι διελθεῖν, ἁμάξης ῥᾳδίως διερχομένης, ὑπὸ τῆς ἁμάξης ἐπιέσθη, ὥσε τὰ ἔγκατα αὐτοῦ ἐκκενωθῆναι.» Μνημονεύει δὲ ὁ Λουκᾶς ἐνταῦθα τοῦ πάθους τοῦ Ἰούδα τοῦ παραυτίκα· τῶν γὰρ ἀσθενεστέρων αἱ ψυχαὶ τοῖς παροῦσι μᾶλιστα σωφρονίζονται· ἤλεγξε δὲ οὐ τὴν ἁμαρτίαν, προδότην αὐτὸν ἀποκαλέσας, ἀλλὰ τὴν τιμωρίαν, ὅτι τόδε καὶ τόδε ἔπαθε διεξιών. *Ἀκελδαμὰ* δὲ τὸ χωρίον οὐχ ὑπὸ τοῦ Ἰούδα, ἀλλ' ὑπὸ τῶν Ἰουδαίων κεκλῆσθαι. Φησὶ γάρ, *Τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν*, ἤτοι μαρτυρούντων Ἰουδαίων τὸ παρανόμημα.

21 Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρό-
νῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰη-
22 σοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων.

(α) Ψαλμ. ΞΗ', 26. Ψαλμ. ΡΗ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ, τὸν καλούμενον Βαρσαβᾶν,
24 ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. Καὶ προσευξάμενοι εἶπον· Σὺ, Κύριε, καρδιογνῶστα πάντων, ἀνά-
25 δειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα, λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

Ἀνακοινοῦται αὐτοῖς, ἵνα μὴ τὸ πρᾶγμα περιμάχητον γένηται, καὶ εἰς φιλονεικίαν ἐμπέσωσι. Διὰ τοῦτο καὶ ἀρχόμενος· «Ἄνδρες ἀδελφοί, φησι, δεῖ ἐκλέξασθαι ἐξ ὑμῶν,» τῷ πλήθει τὴν κρίσιν ἐπιτρέπων, καὶ ἅμα καὶ τοὺς ἐκλεγομένους αἰδεσίμους ποιῶν, καὶ ἑαυτὸν ἀπαλλάσσων τῆς πρὸς τοὺς ἄλλους ἀπεχθείας. Καὶ ὅτι μὲν ἔδει γενέσθαι, καὶ τὸν προφήτην εἰσάγει λέγοντα· Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Ἐκ τίνων δὲ δεῖ; Ἐκ τῶν διὰ τῆς συνελεύσεως τῆς πρὸς αὐτοὺς τῷ χρόνῳ παρασχομένων τὸ δοκίμιον ἑαυτῶν. Διὸ οὐδὲ, Ἐκ τῶν ἐπιεικῶν, εἶπεν, ἵνα μὴ τοὺς ἄλλους λυπήσῃ, ὑβρίζειν δοκῶν. *Ἀρξάμενος* δὲ, προσέθηκεν, *ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου*· τὰ γὰρ πρὸ τούτου, αὐτῶν οὐδεὶς ἤδει μαθὼν καὶ παρὼν, εἰ μὴ μόνος ὁ ἐκλεξάμενος, ἀλλὰ πνεύματι ἐμάνθανον. *Τῆς ἀναστάσεως* δέ φησι *μάρτυρα*· τοῦτο γὰρ μάλιστα τῆς Ἰησοῦ θεότητος τὸ κεφάλαιον· ἐπεὶ καὶ τῶν θαυμάτων αὐτοῦ, τῶν πρὸ τοῦ πάθους, πολλοὶ ἦσαν μάρτυρες καὶ τῶν τεθεαμένων ἀπίστων. Ἀναπληροῦν δὲ τὸν ἀριθμὸν ἔσπευδον τῶν ἀποστόλων, ἵνα μὴ ἡ τῶν δεδασκάλων ἐκλογὴ ὥσπερ ἠκρωτηριασμένη ᾖ. Οὐχὶ πολλοὺς δὲ ἔστησαν, ἀλλὰ δύο μόνους, ἵνα μὴ μείζων ἡ ἀθυμία γένηται, πολλῶν ἀπεκλεγομένων. *Βαρσαβᾶς* δὲ καὶ *Ἰωσὴφ* καὶ *Ἰοῦστος*, ἢ διαστολῆς ὀνόματα ἢ σπουδῆς. Εὐκαίρως δὲ καρδιογνώστην καλοῦσι· καὶ οὐ λέγουσιν, Ἔκλεξαι, ἀλλὰ, Ἀνάδειξον τὸν ἐκλεγέντα· πάντα γὰρ ἔγνωσαι καὶ ὥρισται παρὰ τῷ θεῷ, καὶ πρὸ τῶν ἐνθυμήσεων ἡμῶν. *Κλῆρον* δὲ καλεῖ, τὸ πᾶν τῆς τοῦ θεοῦ φιλανθρωπίας δεικνὺς καὶ ἐκλογῆς, καὶ τῶν παλαιῶν ἀναμιμνήσκων, ὅτι καὶ τοὺς Λευΐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας οὕτως ἐκληρώσατο. Ὡρισμένως δὲ τῆς διακονίας ταύτης φησίν· ἦσαν γὰρ καὶ ἄλλαι. *Τόπον* δὲ *ἴδιον*, ἤτοι τὴν ἀγχόνην καλεῖ, τουτέστιν, ἧς ἄξιον ἑαυτὸν παρεσκεύασεν ὁ Ἰούδας διὰ τῆς προδοσίας, ἢ ὅτι, τοῦ Ἰούδα ἐξαπωσμένου, οὗτος ἴδιον τόπον σχοίη, τὴν ἐκείνου λαμβάνων ἐπισκοπήν.

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν· καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

Οὔπω τέλεον κατηρτισμένοι, κλήρῳ καὶ οὐ σημείῳ τὸν ἄξιον μανθάνουσιν. Οὐκ ἀδόκιμον δὲ τὸ τοῦ κλήρου· εἰ γὰρ ἐπὶ τοῦ Ἰωνᾶ ἴσχυσε (α), χυδαίων ἀνθρώπων κληρωσαμένων, τί ἂν ἐπὶ ἁγίων καὶ προσευχῇ τὸ πρᾶγμα ἐπιτρεψάντων; Εἰ γὰρ ἐκείνων ὀρθὴ γνώμη μόνη κατηύθυνε, πολλῷ μᾶλλον ἐνθέων ἀνδρῶν.

ΚΕΦΑΛΑΙΟΝ. Γ'.

Περὶ θείας τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως, ἐν ἡμέρᾳ πεντηκοστῆς γενομένης εἰς τοὺς πιστεύσαντας· ἐν ᾧ Πέτρου κατήχησις περὶ τούτου ἐκ τῶν προφητῶν· περὶ πάθους καὶ ἀναστάσεως καὶ ἀναλήψεως Χριστοῦ, δωρεᾶς τε τοῦ ἁγίου Πνεύματος· περὶ πίστεως τῶν παρόντων, καὶ τῆς διὰ τοῦ βαπτίσματος αὐτῶν σωτηρίας· περὶ ὁμονοίας κοινω-

(α) Ἰωνᾶ Α, 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φελοῦς, καὶ προσθήκης τῶν πιστευόντων.

ΚΕΦ. Β, 1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν
τῆς πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ
2 τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος
ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν
3 ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν
αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· ἐκά-
θισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν· καὶ ἐπλήσθησαν
4 ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέ-
ραις γλώσσαις.

Ἐν τῷ *συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς*, τουτέ-
στι, Πρὸς τῇ πεντηκοστῇ, περὶ αὐτὴν ἤδη τὴν ἑορτὴν, ὅτε
καιρὸς ὡρίμῳ τῷ πνευματικῷ θέρει τὸ δρέπανον ἐπαγαγεῖν·
ὅτε διά τὴν ἑορτὴν πολλοὶ παρῆσαν καὶ τῶν σταυρωσάντων
αὐτὸν, καὶ ἵνα λαμβάνωσι τῆς ἑαυτῶν μιαιφονίας τὸν ἔλεγχον.
Ἄφνω δὲ ἦχος καὶ οὐκ ἀνεπαισθήτως ἡ τοῦ πνεύματος ἐπι-
φοίτησις, καὶ ἐκ τοῦ οὐρανοῦ, ἵνα τῷ μὲν ἀθρόῳ καταπλήξῃ
καὶ διαναστήσῃ μᾶλλον, καὶ πάντας συνδραμεῖν παρασκευάσῃ·
τῷ δὲ μετ' αἰσθήσεως, ὡς ἂν ἀδιάβλητον τὸ θαῦμα κατα-
στήσῃ. Εἰ γὰρ, καὶ τούτου γενομένου, εἰς μέθην τὸ παράδοξον
ἐνδιέβαλλον, τί οὐκ ἂν εἶπον, μὴ οὕτως γενομένου; Ἐκ τοῦ οὐ-
ρανοῦ δὲ μετὰ πολλῆς τῆς ῥύμης· τοῦτο γὰρ διὰ τῆς βιαίας
πνοῆς βούλεται δηλοῦν· ἵνα δείξῃ, ὅτι τοῦ εἰς οὐρανοὺς ἀνα-
ληφθέντος τὸ ἔργον, καὶ τῆς θείκης δυνάμεως· ὡς καὶ ἐπὶ
τῆς Ἐρυθρᾶς θαλάσσης τὸ βίαιον πνεῦμα τοῦ νότου (α). Κα-
λῶς δὲ ἐπὶ πάντων τούτων τὰ κατὰ παραβολὴν, τό, *ὥσπερ*,
φημὶ, καὶ τὸ, *ὡσεὶ πυρὸς*, ἵνα μὴ αἰσθητόν τι περὶ τοῦ πνεύ-
ματος νομισθῇ. Ἐπλήρωσε δὲ τὸν οἶκον ὅλον ἡ πνοὴ, κο-
λυμβήθρας δίκην ἀναπληροῦσα· ἐπεὶ καὶ ἐπήγγελτο αὐτοῖς,
Ἐν πνεύματι βαπτισθήσεσθε καὶ πυρί (β)· καὶ τῆς δαψιλείας

(α) Ἐξοδ. ΙΔ', 21. (β) Ματθ. Γ', 11. Πραξ. Α, 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τοῦτο τεκμήριον, καὶ τῆς σφυδρότητος. Πῦρ δὲ οὐκ ἐπλήρωσε τὸν οἶκον, ἵνα μὴ πάντη ἑκστήσῃ, καὶ φυγεῖν τοὺς ὁρῶντας παρασκευάσῃ, μηδὲν ἔχοντας μαρτυρεῖν τῶν μετὰ ταῦτα γενομένων· μερίζεται δὲ τὸ πνεῦμα εἰς γλώσσας πυρὸς, καὶ ἐπικάθηται ἑφ' ἕνα ἕκαστον, τῶν ἑκατὸν εἴκοσι δηλονότι, οἳ καὶ τῷ οἴκῳ προσήδρευον· ἐκ μιᾶς γὰρ ἦν ῥίζης ἡ χάρις τοῦ παρακλήτου, εἰς διάφορα χαρίσματα μεριζομένη· καὶ γλώσσης ἕδει τρανούσης τὰ μεγαλεῖα τοῦ θεοῦ, πυρὸς δίκην ἀναλισκούσης πᾶν τὸ ἀντίθετον. Πυρὸς δὲ ἐν εἴδει, ὅτι καὶ τὸ πνεῦμα θεός· (καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ κατανάλισκον (α)·) καὶ ἵνα καὶ διὰ τούτου τὸ ὁμοφυὲς πρὸς τὸν πατέρα παραστήσῃ, ὃς οὕτω τῷ Μωϋσῇ ἐπὶ τῆς βάτου ὀπτάνεται (β). Ἑφ' ἕνα δὲ ἕκαστον κάθηται, τὸ ἑδραῖον καὶ μόνιμον δηλοῦν· τὸ γὰρ, ἐκάθισε, τὸ παρέμεινε καὶ ἐπανεπαύσατο σημαίνει. Σκόπει δὲ ὅτι, ἐπὶ μὲν Ἰωάννου, ἐνὶ μέλλον ἀνθρώπῳ γνωσθῆναι, ὡσεὶ περιστερὰ βλέπεται, τῇ κεφαλῇ τοῦ Χριστοῦ ἐπιόν (γ)· ὅτε δὲ πλῆθος ὅλον ἐπιστραφῆναι ἔδει, ὡς πῦρ. Καὶ ὃ εἶχον ἐκ παλαιοῦ Ἑβραῖοι περὶ θεοῦ διανοεῖσθαι, ὅτι πῦρ ἐστὶ καταναλίσκον (δ). Ἀλλὰ καὶ ὅτε τῇ προσευχῇ προσεκαρτέρουν οἱ μαθηταὶ καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ, τότε αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον παραγίνεται.

4 Καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.

Ἀποφθέγματα γὰρ ἦσαν, ἃ ταῖς γλώσσαις ταῖς διαφόροις προέφερον.

5 Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

Ὅτι εὐλαβεῖς, δείκνυσι τὸ, τὰς πατρίδας καταλιπόντας, καὶ κτήσεις ἀφέντας καὶ οἰκίας, τὴν Ἱερουσαλὴμ ἐλέσθαι κατοικεῖν, ἵνα ἔχωσι κατὰ τὸν πάτριον νόμον τρὶς τοῦ ἐνιαυτοῦ ὀπτάνεσθαι θεῷ.

(α) Ἑβρ. ΙΒ', 29. (β) Ἐξδ. Γ. 2—6. Πραξ. Ζ', 30—35.
(γ) Ματθ. Γ', 16. Ἰωαν. Α, 32. (δ) Δευτερ. Δ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆ-
θος, καὶ συνεχύθη· ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ
7 διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες
καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ
8 πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ
πῶς ἡμεῖς ἀκούομεν, ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ
9 ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν; Πάρθοι, καὶ Μῆδοι, καὶ
Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν,
Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν
10 Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ
τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ
ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσή-
11 λυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων
αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ
12 θεοῦ; Ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος
πρὸς ἄλλον λέγοντες· Τί ἂν θέλοι τοῦτο εἶναι;

Συνεχύθη τὸ πλῆθος, ἤτοι ἐταράχθη, καὶ εἰκότως· ἐνόμιζον γὰρ παρέχειν αὐτοῖς πράγματα, διὰ τὰ κατὰ τοῦ Χριστοῦ τολμηθέντα, καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχάς. Καὶ οἱ μὲν μιαφόνοι οὕτως· οἱ δὲ εὐλαβεῖς ἐθαύμαζον, Γαλιλαίους μὲν ἐπιγινώσκοντες αὐτοὺς, ταῖς δὲ πατρίοις γλώσσαις αὐτῶν λαλοῦντας. Ἀλλ' οἱ μὲν ἀπόστολοι ᾔδεσαν ἃ λέγουσιν, ὅτι τὰ μεγαλεῖα τοῦ θεοῦ· ποίαις δὲ γλώσσαις, οὐκ ᾔδεσαν, εἰ μὴ οἱ ἀκούοντες ἄνδρες εὐλαβεῖς, οἷον ὁ Σκύθης τυχὸν, ἢ ὁ Ἰνδὸς, ὅτι Σκυθιστὶ, ἢ διαλέκτῳ Ἰνδῶν οἱ ἀπόστολοι φθέγγονται.

13 Ἕτεροι δὲ χλευάζοντες ἔλεγον· Ὅτι γλεύκους
μεμεστωμένοι εἰσί.

Ἦσαν δέ καί τινες τῶν συνιέντων, χυδαιότεροι ἴσως, ἀπὸ μέθης τὰ τελούμενα εἶναι χλευάζοντες. Εἰ γὰρ μὴ συνίεσαν, οὐδ' ἂν εἰς μέθην τὸ πρᾶγμα διέβαλλον. Εἰ δὲ λαλούντων αὐτῶν συνίεσαν, ἐρεῖς, πῶς ἂν χλευάζειν ἐτόλμησαν; Ἀλλ' ἡ κακία ἐξ ὑπερβαλλούσης πονηρίας, οὐδενός ἐστιν ἄλλου ἢ μόνης τῆς διαστροφῆς αὐτῆς, ὅπως, ὁ,τιδήποτε ἀνευροῦσα, τὸ παρὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διακρούσηται. Ὁποῖον καὶ τοῦ Χριστοῦ θαυματουργοῦντος, οὐκ εἶχον μὲν ἀμφιβάλλειν πρὸς τὴν ἐνέργειαν, τῷ δὲ Βεελζεβοὺλ μεμηνότες ἐπεγράφοντο τὸ πρᾶγμα (α). Ἐθνῶν δὲ μέμνηται πολεμίων τοῖς Ἰουδαίοις, Κρητῶν, Ἀράβων, καὶ τῶν ἄλλων, ὧν ταῖς γλώσσαις λαλοῦντες, σύμβολον τοῦτο παρείχοντο, ὡς πάντων τούτων τῇ πίστει κρατήσουσι. Πανταχοῦ δὲ μετὰ τῆς ἀρετῆς ἡ μοχθηρία· οἱ μὲν εὐλαβεῖς ἐθαύμαζον, οἱ δὲ, ἐχλεύαζον. Ὅρα δὲ τὴν ἄνοιαν τῶν χλευαζόντων! *Γλεύκους*, φασὶ, *μεμεστωμένοι εἰσί*· καίτοι οὐ τούτου καιρὸς ἦν· πεντηκοστὴ γὰρ ἦν, ὅτε γλεῦκος οὐκ ἔστι. *Γλεῦκος* γὰρ κυρίως ὁ ἀπ' αὐτῆς τῆς ληνοῦ γλυκὺς ῥέων οἶνος. Ἀλλὰ καὶ ἡ ὥρα τρίτη ἦν, ἐν ᾗ ἀπίθανον μεθύειν, καὶ μάλιστα ἀνθρώπους ἐν κινδύνοις καὶ φόβοις ὄντας. Λοιπὸν οὖν τῇ ποιότητι τὸ πᾶν ἐπιγράφουσι, γλεύκους, λέγοντες, μεμεστωμένοι εἰσίν. Ἡ γὰρ ἰταμότης ἓν ζητεῖ μόνον, εἰπεῖν ὁτιδήποτε, οὐχ ὅπως τι λόγου ἐχόμενον εἴποι. Τὸ δὲ δεινότερον, ὅτι ἐκείνων θαυμαζόντων καὶ ὁμολογούντων, Ἰουδαίων ὄντων, Ῥωμαίων, προσηλύτων, τῶν σταυρωσάντων ἴσως, ἐθνῶν σχεδὸν ἁπάντων τοῦτο κηρυττόντων, ὅτι ταῖς γλώσσαις αὐτῶν λαλοῦσιν, εὑρέθησαν ὅμως τινὲς χλευάζοντες. — ΑΛΛΩΣ. Τὸ γλεύκους μεμεστωμένους φάσκειν τοὺς ἀποστόλους εἶναι, τῶν ἀπὸ τῆς ποιότητος διαβαλλόντων ἐστί. Γλεῦκος γὰρ ὁ γλυκὺς ἐστιν οἶνος, ὃς καὶ μᾶλλον εἰς μέθην ἐπίφορος, τῇ γλισχρότητι τῆς γλυκύτητος ἀθρουστέραν τὴν πρὸς τὰ κοῖλα τοῦ ἐγκεφάλου πλήρωσιν τῆς ἀναθυμιάσεως ἐμποιῶν. Πότερον δὲ; συνίεσαν οἱ χλευάζοντες τῶν λεγομένων, ἢ οὔ; Εἰ μὲν γὰρ οὐ συνίεσαν, οὐδὲ ἡ χλεύη αὐτῶν εἶχε λόγον. Τί γάρ τινα περιλυπεῖ φλυαρία τις ἄσημος εἰκῇ προφερομένη; Ἀλλὰ δῆλον, ὅτι συνίεσαν μὲν καὶ αὐτοὶ, καὶ ταῦτα δὲ παρὰ πόδας ἔχοντες τοὺς εἰς θαῦμα καταλογιζομένους τὸ πρᾶγμα· αὐτοὶ δὲ κακούργως αὐτὸ ἐνδιέβαλλον, ὅπως

(α) Ματθ. ΙΒ', 24. Λουκ. ΙΑ', 15.

Δημόσιο Κεντρική Βιβλιοθήκη Θέρμου

ἔθος τοῖς κακούργοις. —ΑΛΛΩΣ. Συνίεσαν μὲν, οὐκ ἠρέσκοντο δὲ τοῖς λεγομένοις· τὰ γὰρ μεγαλεῖα ἔλεγον τοῦ θεοῦ. Ἔθος γὰρ τοῖς πολλοῖς, ἂν μὴ ἀρέσκωνται τοῖς λεγομένοις, δαιμονᾶν ἢ παραπαίειν ἡγεῖσθαι τὸν λέγοντα. Ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ, συνίεσαν μὲν τῶν θαυμάτων, δέον δὲ ὑμνεῖν, ὡς ἐν Βεελζεβοὺλ γινόμενα διέσυρον.

14 Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

Ἄνω μὲν τὴν κηδεμονίαν ἐνδείκνυται, ἐν οἷς τῷ πλήθει ἐπιτρέπει τὴν ἐκλογὴν τοῦ μέλλοντος τοῖς ἕνδεκα συντάττεσθαι· ἐνταῦθα δὲ τὴν παῤῥησίαν, καίτοι μηδὲ εὐγνώμονας ἔχων τοὺς ἀκροατὰς, ἀλλὰ καὶ γελῶντας, καὶ μυκτηρίζοντας, καὶ φονῶντας, καὶ ἰδιώτης ὢν καὶ ἀγράμματος. Πῶς οὖν οὐχὶ ὑπὲρ ἄνθρωπον τὸ πραττόμενον; τὸ ῥῆξαι φωνὴν δηλαδή. *Σὺν τοῖς ἕνδεκα* δὲ λέγει, δηλῶν, ὅτι κοινῇ γνώμῃ καὶ φωνῇ πάντων αὐτὸς ἦν στόμα· μάρτυρες δὲ παρειστήκεισαν οἱ ἕνδεκα τοῖς λεγομένοις. *Ἐπῆρε δὲ τὴν φωνὴν*, τουτέστι, μετὰ πολλῆς παῤῥησίας, ἵνα εὐθέως ἀρχομένου, μάθωσι τὴν χάριν τοῦ πνεύματος. Ὁ γὰρ πρὸ τούτου μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς (α), οὗτος ἐν μέσῳ δήμων, φονώντων ἁπάντων, οὕτως ἀνυποστόλως δημηγορεῖ, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως γενέσθαι τοῦτο τεκμήριον.

15 Οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· Οὐκεῖπεν, *Ὡς ὑμεῖς μεθύετε, ἀλλ'*, *Ὡς ὑπολαμβάνετε*, ἐπιεικέστερον μεταχειριζόμενος τὸν λόγον· καὶ οὐκ ἄντικρυς ἀπὸ κακουργίας βουλόμενος αὐτοὺς δεῖξαι τοῦτο λέγοντας, προοδοποιῶν αὐτοῖς τὴν ἐπιστροφὴν καὶ μεταμέλειαν. Ἔστι γάρ, φησιν, *ὥρα*

(α) Ματθ. ΚΣ', 69. Μαρκ. ΙΔ', 66. Λουκ. ΚΒ', 56.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τρίτη τῆς ἡμέρας. Καὶ τί τοῦτο; Οὐκ ἔστιν ἐν ὥρᾳ τρίτῃ μεθύειν; Ἀλλ' οὐκ ἔστι πρὸς τοῦτο· οὐδὲ γὰρ ἐκεῖνοι οὕτως εἶχον περὶ αὐτῶν, ἀλλὰ χλευάζοντες καὶ διασύροντες οὕτως ἔλεγον.

16 Ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ τοῦτό ἐστι
17 τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτε-
18 ροι ὑμῶν ἐνυπνίοις ἐνυπνιασθήσονται· καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ
19 προφητεύσουσι. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτ-
20 μίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυ-
21 ρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται, πᾶς, ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται (α).»

Τοῦτο προσεκτικωτέρους αὐτοὺς τέως ἐποίησε. Τὸ δὲ ἐν τρίτῃ ὥρᾳ ταῦτα γεγενῆσθαι, οὐχ ἁπλῶς· τότε γὰρ τὸ λαμπρὸν τοῦ πυρὸς δείκνυται, ὅτε οὔτε πρὸς ἔργα ἔχουσιν οἱ ἄνθρωποι, οὔτε πρὸς ἄριστον, ὅτε λαμπρὰ ἡ ἡμέρα, ὅτε πάντες εἰσὶν ἐπ' ἀγορᾶς. Εἶτα τὴν προφητείαν παρήγαγε τοῦ Ἰωήλ, οὐδαμοῦ τοῦ Χριστοῦ μνημονεύσας ἐνταῦθα, καὶ τῶν σημείων, ὧν ἦσαν αὐτόπται, καὶ ὅτι αὐτοῦ τοῦτο ἐπαγγελία· εἰ γὰρ τοῦτο εἶπε, πάντα ἀνέτρεψεν ἄν, καὶ καταλευσθῆναι αὐτοὺς ἐποίησεν· ἀλλὰ τὸν πατέρα τέως εἰσάγει διὰ τοῦ προφήτου ταῦτα αὐτοῖς ἐπαγγειλάμενον, καὶ τὸν φθόνον ὑποτεμνόμενον. Οὐ τοῖς ἀποστόλοις μόνον φησίν, ἀλλὰ πάσῃ σαρκὶ, δηλονότι εἰλικρινῶς πιστευούσῃ, καὶ μετὰ διαθέσεως. Οὐ γὰρ ὁ λέγων μοι, φησὶ, Κύριε, Κύριε (β)· ἀλλ' ὁ μετὰ βίου ἀρίστου τοῦτο ποιῶν· οὐ προστίθησι δὲ τοῦτο, ἀνεπαχθέστερον τὸν λό-

(α) Ἰωὴλ Β', 28—32. (β) Ματθ. Ζ' 21.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γον τῆς ἐπαγγελίας καὶ κοῦφον ποιῶν, ὅτι μόνη ἡ ἐπίκλησις ἀρκεῖ πρὸς σωτηρίαν. Τὸ δὲ, *Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος*, καὶ τὸ πρὸ τούτου, *Αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ*, ταῦτα περὶ τῆς μελλούσης, φησὶ, κρίσεως. Οἰκειότερον δὲ καὶ περὶ τῶν Ἱεροσολύμων καὶ τῆς τότε αἰχμαλωσίας εἴρηται, ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων. Ἄλλως τε καὶ κατὰ τὸν Ἰώσηπον, πολλὰ τοιαῦτα ἐπροοιμιάσατο τὴν τῶν Ἱεροσολύμων καταστροφήν (α). Τὸ δὲ τὴν σελήνην μεταστραφῆναι εἰς αἷμα φάσκειν, τῆς σφαγῆς δηλοῖ τὴν ὑπερβολὴν, ὡς προσγειοτέραν τε οὖσαν, καὶ δυναμένην ἀπὸ τῆς τοῦ αἵματος ἀναθυμιάσεως τοῦτο πάσχειν. Τὸ μέντοι, *Πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ*, φοβοῦντός ἐστι καὶ κατασείοντος αὐτοὺς τοῖς ἐλπιζομένοις δεινοῖς· Μὴ γὰρ ἐπειδὴ, φησιν, ἀτιμωρητὶ νῦν ἁμαρτάνετε, θαῤῥεῖτε· ἀλλὰ προεισόδια ταῦτα ἴστε μεγάλης ἡμέρας καὶ χαλεπῆς εἰς ἀνταπόδοσιν. Ἀλλὰ ταῖς ἀπειλαῖς ἐπάγει τινὰ καὶ χρηστότητα, προσθεὶς τὸ, *Καὶ πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται*. Καὶ τοῦτο μὲν Παῦλος (β), περὶ τοῦ Χριστοῦ εἰρῆσθαί φησι· νῦν μέντοι, τούτου καιρὸν οὐκ ἔχοντος, οἰκονομῶν τὸν λόγον ὁ Πέτρος παρῆκεν αὐτό.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, (οἷς ἐποίησε δι' αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν,
23 καθὼς καὶ αὐτοὶ οἴδατε,) τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον λαβόντες, διὰ
24 χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. Ὃν ὁ θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι
25 οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Δαυὶδ γὰρ λέγει εἰς αὐτόν· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα

(α) Ἰωσηπ. Περὶ τοῦ Ἰουδ. πολέμου Βιβλ. Ϛ. Κεφ. Ε. §. γ'.
(β) Ῥωμ. Ι, 13.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

26 μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ
ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου
27 κατασκηνώσει ἐπ' ἐλπίδι, ὅτι οὐκ ἐγκαταλείψεις
τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου
28 ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πλη-
ρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου (α).»

Ἐπειδὴ καθήψατο αὐτῶν ἀνωτέρω σφοδρῶς, νῦν ἀνίησιν αὐ-
τοὺς, οὐ κολακεύων, ἀλλὰ διαναπαύων καὶ ἀνέσεως ἀξιῶν. Διὸ
καὶ προοιμιάζεται, καὶ τοῦ προπάτορος Δαυὶδ μνημονεύει, ἵνα
μὴ θορυβήσῃ, ἐπειδὴ τὸν Ἰησοῦν προήνεγκε τῷ λόγῳ· τοῦ γὰρ
προφήτου παρὰ πόδας ἀκούσαντες ἐπέσχον· εἰ δὲ μόνον τὸ ὄνο-
μα τοῦ Ἰησοῦ προήχθη φονῶσιν ἀνθρώποις, εὐθέως ἂν προσέσχη
αὐτοῖς. Διὰ τοῦτο, οὐδὲ, *πείσθητε*, εἶπεν, ἀλλ', *ἀκούσατε*,
ὅπως ἀνεπαχθέστερον ἦν. Διὰ τοῦτο καὶ περὶ τοῦ Ἰησοῦ ταπει-
νότερον φθέγγεται· *Ἰησοῦν* γάρ, φησι, *τὸν Ναζωραῖον*, ἀπὸ
τῆς εὐτελοῦς πατρίδος ὀνομάζων. Εἶτα, *ἀποδεδειγμένον*, οἷον
οὐκ ἀμφισβητούμενον, ἀλλ' ἀποδεδειγμένον διὰ τῶν ἔργων,
ὧν ἐποίησε δι' αὐτοῦ ὁ θεὸς, ὅτι ἀπὸ θεοῦ ἦν. Τέως γὰρ εἰ
καὶ ὁ θεὸς ἐποίησεν, ἀλλὰ δι' αὐτοῦ, καὶ *ἐν μέσῳ ὑμῶν*, οὐ λά-
θρα, οὐδὲ ἐν γωνίᾳ, ἀλλὰ μαρτυρούντων ὑμῶν. Ἐπειδὴ δὲ εἰς
τὸ διὰ τοῦ σταυροῦ τόλμημα αὐτῶν προῦβη, πειρᾶται αὐτοὺς·
καὶ ἀπαλλάσσειν διὰ τοῦ εἰπεῖν, *Τῇ προωρισμένῃ βουλῇ καὶ*
προγνώσει τοῦ θεοῦ, ἅμα μὲν δεικνὺς τὸ τοῦ πάθους αὐτοῦ
ἑκούσιον, καὶ ὅτι τοῖς προωρισμένοις ὑπούργησεν.

Ἀλλὰ καὶ ἀπαλλάσσων, οὐκ ἀφίησιν αὐτοὺς πάντῃ τοῦ ἐγκλή-
ματος· ἐπάγει γὰρ, ὅτι *Διὰ χειρῶν ἀνόμων ἀνείλετε*. Διὰ χει-
ρῶν μὲν γὰρ ἀνόμων, ἤτοι τοῦ Ἰούδα καὶ τῶν στρατιωτῶν, ὅμως
ἀνείλετε. Εἰ γὰρ οἱ προσπήξαντες ἄνομοι, καὶ οἱ ἀνελόντες δῆλον.
Οὕτω καθαψάμενος αὐτῶν ἠρέμα, καὶ λοιπῶν τολμῶν καὶ
ἐμφαντικωτέρων ἅπτεται, φήσας· *Ὃν ὁ θεὸς ἀνέστησε, λύ-*

(α) Ψαλμ. ΙΕ', 8—11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σας τὰς ὠδῖνας τοῦ θανάτου· τουτέστιν, ὅτι καὶ ὁ θάνατος ὤδινε κατέχων αὐτὸν, καὶ οἱονεὶ δεινὰ ἔπασχεν. Ὠδῖνας γὰρ ἡ Παλαιὰ, τοὺς κινδύνους φησὶ, καὶ τὰς συμφοράς· ὡς ἐπὶ τοῦ· Ὠδῖνες ᾅδου περιεκύκλωσάν με (α). Διὰ δὲ τοῦ· Καθότι οὐκ ἦν δυνατὸν αὐτὸν κρατεῖσθαι, τὸ μεγαλεῖον αὐτοῦ παρίστησι, καὶ ὅτι οὐκέτι ἀποθνήσκει. Ἐπὶ τούτοις παράγει καὶ τὸν προφήτην Δαυὶδ λέγοντα, ὡς προείρηται, οὐκ εἰς ἑαυτὸν, ἀλλ' εἰς αὐτὸν, τουτέστι, τὸν Χριστόν. Κάνταῦθα δὲ ἀπὸ τῶν ταπεινοτέρων, καὶ κατὰ τὸ ταπεινότερον προῦθηκε τὴν προφητείαν, ἅτε εἰσαγωγικωτέρων λόγων δεομένοις. Καθότι οὐκ ἦν δυνατόν· αὐτὸς γὰρ ἔφη, ὅτι « Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ ἀπ' ἐμαυτοῦ τίθημι αὐτὴν, καὶ ἐγὼ πάλιν λαμβάνω αὐτήν (β). »

29 Ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς
ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυὶδ, ὅτι καὶ ἐτελεύ-
τησε, καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν ἄχρι
30 τῆς ἡμέρας ταύτης. Προφήτης οὖν ὑπάρχων, καὶ εἰ-
δὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς, ἐκ καρποῦ τῆς
ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χρι-
31 στὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ (γ)· προϊδὼν ἐλά-
λησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὐκ
ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σάρξ
32 αὐτοῦ εἶδε διαφθοράν. Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν
ὁ θεὸς, οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες.

Τὴν προφητείαν πληρώσας, ἄλλων πάλιν ἀπάρχεται προοιμίων. Ἄνδρες, φησὶν, ἀδελφοί. Ὅταν γὰρ μέγα τι μέλλῃ ἐρεῖν, οἰκειωτικῷ κέχρηται προοιμίῳ, ἀδελφοὺς καλῶν, ὡς καὶ ὁ Στέφανος· Ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε (δ). Εἶτά φησιν· Ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας περὶ τοῦ πατριάρχου Δαυίδ. Ἔνθα οὐδὲν

(α) Ψαλμ. ΙΖ', 5. (β) Ἰωαν. Ι', 18. (γ) Ψαλμ. ΡΜΑ', 11. — Παῤ ἄλλοις λείπει τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν. (δ) Πραξ. Ζ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βλάπτει, πολλῇ κέχρηται μετριοφροσύνῃ. Εἰ γὰρ εἶπεν οὕτως ἁπλῶς, ὅτι Ταῦτα οὐκ εἴρηται περὶ τοῦ Δαυὶδ, ἀλλὰ περὶ τοῦ Χριστοῦ, τραχὺς ἂν ἔδοξε, καὶ ὀργὴν αὐτοῖς ἐνεποίει μᾶλλον, ἢ πειθηνίους παρείχετο. Ἀλλὰ πολλῇ περὶ τὸν μακάριον Δαυὶδ τιμῇ χρησάμενος, εὐπαράδεκτον κατασκευάζει, ὅτι περὶ τοῦ Χριστοῦ ἡ μαρτυρία, καὶ πᾶς οὗτος ὁ λόγος οὕτως ὠκονόμηται. Τῇ γὰρ τοῦ Δαυὶδ τελευτῇ καὶ ταφῇ οὐ προσέθηκεν, ὅτι Οὐκ ἀνέςη, ἀλλ' ὅτι καὶ τὸ μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν, ὅπερ ἴσον τῷ, Οὐκ ἀνέστη. Καὶ οὐδὲ οὕτως ἦλθεν εἰς τὸν Χριστὸν· ἀλλὰ πάλιν ἐγκωμιάζεται ὁ Δαυὶδ, διὰ τοῦ, *Προφήτης οὖν ὑπάρχων*, ἵνα διὰ τὴν πρὸς ἐκεῖνον τιμὴν καὶ τὸ γένος τὸ ἀπ' ἐκείνου, τοῦ Χριστοῦ δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον. Καὶ οὐκ εἶπεν, ὅτι Ἐπηγγείλατο αὐτῷ ὁ θεὸς, ἀλλ', ϑ μεῖζον καὶ ἀπαράβατον ἦν, τὸ, *Ὤμοσε*. *Τὸ δὲ, κατὰ σάρκα, κρύπτοντός ἐστιν*, ὡς καὶ θεὸς ὁ Χριστὸς, καὶ σύνεςιν ἀεὶ τῷ πατρί. Πάντα δὲ τῷ πατρὶ ἀνατίθησιν, ἵνα τέως παραδέξωνται τὰ λεγόμενα. Ἀλλὰ πῶς ἐκάθισεν ἐπὶ θρόνου Δαυίδ; Ὅτι βασιλεύει πάντων, Ἰουδαίων τε καὶ ἐθνῶν, σαγηνευθέντων εἰς τὴν ἐκείνου πίστιν τε καὶ λατρείαν. Τὸ δὲ, *Οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν*, οὐχ ἧττον τὸ τῆς ἀναστάσεως ἐμφαίνει ἔργον.

33 Τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν
τοῦ ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς, ἐξέ-
34 χεε τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Οὐ γὰρ
Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς·

Καὶ πάλιν τῷ πατρὶ ἀνατίθησι τὸ γεγονός· οἶδε γὰρ οὕτω τοὺς ἀκροατὰς ἐπισπώμενος. Εἰπὼν δὲ τὸ, *ὑψωθείς*, καὶ περὶ τῆς ἀναλήψεως ἠνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστίν· οὐμέντοι φανερῶς εἶπεν, ὅτι ἐν τοῖς οὐρανοῖς ἐστίν. Ἐπεὶ οὖν ἐνταῦθα προέβη, καὶ τῶν σημείων αὐτοῦ ἐμνήσθη καὶ τῆς ἀναστάσεως, λοιπὸν ἐπάγει τὸ, *ἐξέχεεν*. Κατ' ἀρχὰς μὲν γὰρ τὸν πατέρα ἔλεγεν, οὐ τὸν Χριστὸν, ἐπαγγείλασθαι τοῦτο διὰ Ἰωὴλ τοῦ προφήτου· ἐπεὶ δὲ τῶν κατὰ Χριστὸν ἐμνήσθη πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ραδόξων, θαρρῶν ἤδη, αὐτὸν φησὶν ἐκχέαι. Ὥστε οὐ περὶ τοῦ πατρὸς ἔλεγεν Ἰωὴλ τὸ, *ἐκχεῶ*, ἀλλὰ περὶ τοῦ Χριστοῦ. *Τὴν ἐπαγγελίαν δὲ λαβών*, φησι, *παρὰ τοῦ πατρὸς*, ἣ ἦν αὐτὸς ἡμῖν τοῖς μαθηταῖς ἐπηγγείλατο, τὸ· *Καὶ ἄλλον παράκλητον πέμψω ὑμῖν* (α)· ἣ ἦν ὁ πατὴρ πρὸ τοῦ πάθους αὐτῷ ἐπηγγείλατο, διὰ τοῦ· *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω*(β). Τῷ πατρὶ δὲ ἀνατίθησι τὴν ἐπαγγελίαν, συσκιάζων τὸν λόγον πρὸς τὸ εὐπαράδεκτον τῶν ἀκροατῶν. Ὅσα γὰρ ἂν εἴπῃ τις, εἰ μὴ πρὸς τὸ συμφέρον τελευτήσει, εἰκῆ καὶ μάτην λέγει. Δείκνυσιν οὖν, ὅτι ὁ σταυρὸς οὐ μόνον αὐτὸν οὐκ ἠλάττωσεν, ἀλλὰ καὶ λαμπρότερον εἰργάσατο. Ὃ γὰρ καὶ διὰ τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ πρὸ τοῦ σταυροῦ ἐπηγγείλατο ὁ πατὴρ, τὸ· *Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ* (γ)· τοῦτο μετὰ τὸν σταυρὸν ἔδωκεν.

34 Λέγει δὲ αὐτός· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·
35 Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
36 ὑποπόδιον τῶν ποδῶν σου (δ).» Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.

Οὐκέτι μεθ' ὑποστολῆς λέγει· ἔχει γὰρ ἀπὸ τῶν εἰρημένων θάρσος. Ἀλλὰ τί φησιν; Ὅτι Δαυὶδ λέγει· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*· καὶ τοῦ Δαυὶδ ὑψηλότερον αὐτὸν ἀποφαίνει. Εἰ δὲ Δαυὶδ Κύριον αὐτὸν καλεῖ, πολλῷ μᾶλλον αὐτοὶ οὐκ ἀπαξιώσουσι. Καὶ φόβον δὲ ἐφίησιν αὐτοῖς, διὰ τοῦ· *Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου*. Καὶ ἵνα μὴ ἀπιστῆται, τῷ πατρὶ τὴν ὑπόταξιν ἀνατίθησιν. Ἀλλὰ τὰ μεγάλα ταῦτα πάλιν ἐπὶ τὸ ταπεινότερον κατάγει, *Ἀκριβῶς οὖν*, εἰπὼν, *γινωσκέτω πᾶς Ἰσραὴλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν ὁ θεὸς αὐτὸν ἐποίησε*· τὸ, *ἐποίησεν*, ἀντὶ τοῦ, κατέταξε καὶ κατέστησε, φήσας, ἀλλ' οὐχὶ τοῦ, οὐσίωσεν.

(α) Ἰωαν. ΙΔ', 26. ΙΣ', 7. (β) Ἰωαν. ΙΒ', 28.
(γ) Ματθ. Γ, 11. (δ) Ψαλμ. ΡΘ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑψηλότερον δέ πως ἂν εἶπε περὶ Χριστοῦ, καὶ τοῖς προκειμένοις ἀκόλουθον· Ἀκριβῶς οὖν γινωσκέτω πᾶς Ἰσραὴλ, ὅτι ἐκ δεξιῶν τοῦ πατρὸς κάθηται.

37 Ἀκούσαντες δὲ, κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

Τὸ μετ' ἐπιεικείας μεταχειρίσασθαι τὴν δημηγορίαν, εἰς κατάνυξιν αὐτοὺς ἤγαγε. Τὸ δὲ, *κατενύγησαν*, ἀντὶ τοῦ, ἐπλήγησαν, ἔπαθον τὴν ψυχὴν, ἑαυτῶν κατέγνωσαν. Διὸ καὶ ζητοῦσι τοῦ κακοῦ λύσιν, καὶ οἰκειωτικῶς αὐτοὺς ἀδελφοὺς καλοῦσιν, οὓς πρώην ἐχλεύαζον. Οὐκ ἐξ ἰσότητος δὲ τὸ, *Ἀδελφοί*, εἶπον, ὡς παρισαζόμενοι αὐτοῖς διὰ τῆς τοιαύτης κλήσεως, ἀλλ' ὅσον πρὸς αὐτοὺς ᾠκειώθησαν ἐνδεικνύμενοι· καὶ ἐπειδὴ καὶ Πέτρος, ἀρχόμενος τοῦ λόγου, οὕτως αὐτοὺς ἐκάλεσεν, ἐκεῖθεν εἶχον καὶ αὐτοὶ τοῦ οὕτω καλεῖν αὐτοὺς ἀφορμήν.

38 Πέτρος δὲ ἔφη πρὸς αὐτούς· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δω-
39 ρεὰν τοῦ ἁγίου Πνεύματος. Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν.
40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο, καὶ παρεκάλει, λέγων· Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκο-
41 λιᾶς ταύτης. Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ
42 ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς.

Ὡς πάντων στόμα τῶν ἀποστόλων προβεβλημένος, φησί· *Μετανοήσατε, και βαπτισθήτω*· οὐ Πιστεύσατε, ἀλλὰ Βαπτισθήτω· τοῦτο γὰρ ὁ θεμέλιος τῶν εἰς Χριστὸν πιστευόντων. Τοῦτο οὖν πρῶτον ἀξιοῖ, καὶ μετὰ τοῦτο ἐπάγει τὸ πρὸς τῷ θεμελίῳ τέλος, *τὴν δωρεὰν*, λέγων, *τοῦ ἁγίου Πνεύματος*, ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ μέσου τούτου τῆς πίστεως ἀναφαινομένης. Τῷ δὲ εἰπεῖν· *Ὑμῖν γὰρ ἡ ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν*, ἐμφαίνει τὸ μεῖζον τῆς δωρεᾶς, ὡς οὐ μόνον αὐτοῖς ἐπαρκούσης, ἀλλὰ καὶ τοῖς τέκνοις· καὶ πρὸς τὰ ἔθνη δὲ ἐπιδαψιλεύεται· τοῦτο γὰρ ἡνίξατο διὰ τοῦ, *τοῖς εἰς μακράν*. Ἀλλ' εἰ τοῖς εἰς μακρὰν, πολλῷ δήπου μᾶλλον ὑμῖν τοῖς ἐγγύς. Σκόπει δὲ ὅτι, τότε τὴν τῶν ἐθνῶν ἡνίξατο πίστιν, ὅτε κατανενυγμένους εὗρε καὶ κατεγνωκότας ἑαυτῶν. Ψυχὴ γὰρ ὅταν ἑαυτὴν καταδικάσῃ, οὐκέτι ῥθονεῖν δύναται.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλά τε τέρατα
44 καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. Πάντες
δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον
45 ἅπαντα κοινά. Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις
ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις
46 χρείαν εἶχε. Καθ' ἡμέραν τε προσκαρτεροῦντες
ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ,

Οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν· ἀλλ' ἐπειδὴ πολὺς ἦν ὁ Πέτρος ἄνωθεν ῥέων, καὶ τὰ μέλλοντα διὰ τῶν ἐπαγγελιῶν δεικνύων, εἰκότως ἐφοβοῦντο· ἐμαρτύρει γὰρ τῷ λόγῳ τὰ ἔργα. Καθάπερ γὰρ καὶ ἐπὶ τοῦ Χριστοῦ πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα, οὕτω καὶ νῦν. Τὸ δὲ τὰς κτήσεις πωλεῖν καὶ διαμερίζειν, καθότι ἄν τις χρείαν εἶχε, οὐχ ἁπλῶς φησὶν, ἀλλ' οἰκονομικῶς· διεμέριζον γὰρ κατ' ἀξίαν. Τὸ δὲ, *ὁμοθυμαδὸν προσκαρτεροῦντες*, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, ἀλλὰ *καθ' ἡμέραν*, καὶ ἐν μιᾷ ψυχῇ. Τῷ δὲ ἱερῷ προσήδρευον οἱ πιστεύοντες, ἅτε σπουδαιότεροι γεγενημένοι, καὶ περὶ μηδὲν ἕτερον ἔχοντες σπουδάζειν ἐξ εὐλαβείας τῆς περὶ τὸν τόπον, ἢ περὶ τὸ ἱερόν.

46 Κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς
47 ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, αἰνοῦντες
τὸν θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

Οἶκον, τὸ ἱερὸν νῦν λέγει· ἐν αὐτῷ γὰρ ἤσθιον. Τὸ δὲ, *κλῶντες ἄρτον*, εἶπεν, ἵνα τὸ εὐτελὲς καὶ αὐτόσκευον ὑπεμφήνῃ αὐτῶν τῆς διαίτης. Ἄρτον γὰρ κλῶντες μετελάμβανον τροφῆς, ἀλλ' οὐκ ἐτρύφων. Οὕτω καὶ τὸν βίον ἀπὸ τῆς πίστεως μετερρύθμιζον, καὶ φιλαλλήλως εἶχον πρὸς τὸν λαὸν ὅλον. Εἰ γὰρ καὶ οἱ ἀρχιερεῖς ὑπὸ φθόνου ἐπανέστησαν αὐτοῖς, ἀλλὰ πρὸς τὸν λαὸν χάριν εἶχον. Ἐδείκνυτο δὲ τοῦτο διὰ τῆς ἐλεημοσύνης καὶ καθαρᾶς ἀναστροφῆς. Τὸ δὲ, ἐν *ἀφελότητι καρδίας*, ἀντὶ τοῦ, ἐν ταπεινώσει καὶ εὐτελείᾳ, μηδὲν ὑψηλὸν φρονοῦντες ἐφ' αἷς ἔπραττον ἀγαθοεργίαις καὶ ἐλεημοσύναις, ὅπερ μάλιστα ἦν ἰουδαϊκὸν, ὡς ἀπὸ τοῦ καυχωμένου Φαρισαίου δῆλον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἐν Χριστῷ θεραπείας τοῦ ἐκ γενετῆς χωλοῦ, Πέτρου τε κατηχήσεως ἐλεγκτικῆς, συμπαθητικῆς, συμβουλευτικῆς πρὸς σωτηρίαν αὐτῶν· ἐν ᾧ ἐπιστασία τῶν ἀρχιερέων ζήλῳ τοῦ γεγονότος, καὶ κρίσις τοῦ θαύματος.

ΚΕΦ. III, 1. Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, τὴν ἐννάτην.

Πολλὴ ἡ τῶν δύο τούτων ὁμόνοια καὶ φιλία. Τούτῳ γὰρ νεύει ὁ Πέτρος ἐν τῷ Κυρίου πάθει, πυθέσθαι τοῦ διδασκάλου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(α)· καὶ ἐπὶ τὸν τάφον δὲ πάλιν ὁμοῦ τρέχουσι (β)· καὶ περὶ αὐτοῦ πάλιν φησὶν ὁ Πέτρος τῷ Χριστῷ· Οὗτος δὲ τί (γ); Ἀνέβαινον δὲ ἐν τῷ ἱερῷ, οὐχ ὡς ἔτι ἰουδαΐζοντες, ἀλλὰ χρησίμως καὶ συγκαταβατικῶς τοῦτο ποιοῦντες· καὶ ἵνα, θεραπευθέντος τοῦ χωλοῦ ἐν τῷ ἱερῷ, πάντας ἔχοιεν τοὺς ἑωρακότας μάρτυρας· πολλοὶ γὰρ συνήεσαν ἐκεῖ, διὰ τὸ σεβάσμιον τοῦ τόπου. Διὰ δὲ τοῦ ἐπισημήνασθαι τὴν ὥραν, διδάσκει, ὡς ἀεὶ ταῖς εὐχαῖς ἐνέκειντο. Μέμνηται δὲ καὶ τοῦ ἱεροῦ, δι' ἀμφοτέρων, φημὶ τοῦ χρόνου καὶ τοῦ τόπου, πιστούμενος ἃ γράφει. Πολλῶν δὲ θαυμάτων ἐπιτελουμένων ὑπὸ τῶν ἀποστόλων, ὡς καὶ ἀνωτέρω ἐμνήσθη ὁ ταῦτα γράφων Λουκᾶς, οὐδενὸς ἐκείνων ὀνομαστὶ μνημονεύει· ἀλλ' ἐκεῖνο γράφει μόνον, ἀφ' οὗ πάντες ἐκινήθησαν. Ἐκεῖνα γὰρ ἴσως καὶ παρεωρῶντο διὰ τὸ σμικρὰ δοκεῖν. Ἤ καὶ ὅτι οὐ κόμπου χάριν ἡ συγγραφὴ αὐτῷ αὕτη ἐσπουδάσθη.

2 Καί τις ἀνὴρ, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ
ὑπάρχων, ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς
τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην Ὡραίαν, τοῦ
αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς
3 τὸ ἱερόν. Ὃς, ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας
εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.
4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ,
5 εἶπε· Βλέψον εἰς ἡμᾶς. Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.

Πῶς οὐ λέγει τὸ ὄνομα τοῦ χωλοῦ; Ὅτι οὐδὲ οἱ ἀπόστολοι ἤδεσαν αὐτό· παντελῶς γὰρ ὁ ἄνθρωπος ἄγνωστος ἦν αὐτοῖς· καὶ τοῦτο, ἵνα μήτε χαριζόμενοι φαίνωνται, καὶ κατὰ προσπάθειαν ποιούμενοι τὰς ἰάσεις, μήτε τις ὑπόνοια ὑποκρίσεως μηδὲ παρὰ τῶν ἀνισχυροτάτων ὑπολαμβάνηται, ὅτι πρὸς χάριν τῶν ἀποστόλων τινὲς τῶν αὐτοῖς γνωρίμων τὰς περὶ αὐτοὺς ἰάσεις ὑποκρίνοιντο. Πῶς οὖν οὐκ ἔμαθον μετὰ

(α) Ἰωαν. Γ', 24. (β) Ἰωαν. Κ', 4. (γ) Ἰωαν. ΚΑ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ἴασιν τὸ ὄνομα; Ὅτι οὐκ ἦν αὐτοῖς σχολὴ περὶ τὰ μηδὲν λυσιτελοῦντα κατασχολεῖσθαι. Πῶς δὲ αὐτὸν οὐ προσήγαγον ἰαθῆναι τῷ Χριστῷ; Ἴσως τινὲς ἦσαν ἄπιστοι οἱ προσεδρεύοντες τῷ ἱερῷ, ὅπουγε οὐδὲ τοῖς ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας καὶ θαύματα πεποιηκότας τοιαῦτα. Ὅτι χωλὸς ἦν ἐκ κοιλίας μητρὸς, τοῦτο πάντες οἱ ἐν τῷ ἱερῷ ᾔδεσαν. Διὸ καὶ ὡς περιφανοῦς ὄντος, ὅτι τοῦτο ἦν, οὐδὲ τοῦ ὀνόματος αὐτοῦ τοῦ κυρίου ἐφρόντιζον πρὸς τὸ τοῦτο αὐτὸν καλεῖν· ἀλλ' ἐνίκα τὸ τοῦ πάθους καὶ αὐτὴν τὴν προσηγορίαν αὐτοῦ· καὶ ὄνομα αὐτῷ εἰς γνώρισμα κατεξαίρετον τὸ σῖνος ἐγίνετο. Πολλῶν δὲ θαυμάτων, ὡς εἴπομεν, ὑπὸ τῶν ἀποστόλων γινομένων, οὐ προσῆγον αὐτὸν τούτοις οἱ Ἰουδαῖοι, ὡς τῷ Χριστῷ ἤτοι φθονοῦντες, ἢ καὶ δι' ἀπιστίαν. Οὕπω γὰρ ἐνόμιζον τοσοῦτον αὐτοὺς ἰσχύειν θαυματουργεῖν.

6 Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι·

Τοῦτο τὴν παντελῆ τοῦ χρυσοῦ αὐτῶν ἀκτησίαν ἐμφαίνει. Οὐ γὰρ ὡς πολλάκις ἡμεῖς φαμὲν ὅτι, Ὧδε οὐκ ἔχω, οὕτω καὶ αὐτὸς· ἀλλ', *οὐχ ὑπάρχει μοι*, φησὶ, τὸ πάντῃ μὴ ὑπεῖναι αὐτῷ χρυσίον δηλῶν.

6 Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου
7 ἔγειραι καὶ περιπάτει. Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς, ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν
8 αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά. Καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει· καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ ἁλλόμενος, καὶ αἰνῶν τὸν
9 θεόν. Καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς περιπατοῦντα
10 καὶ αἰνοῦντα τὸν θεόν· ἐπεγίνωσκόν τε αὐτὸν, ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

Ὅπερ ὁ Χριστὸς πολλάκις ἐπὶ τῶν ἀτελέστερον διακειμένων

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ λόγῳ μόνον θεραπεύων, ἀλλὰ καὶ ἁπτόμενος, τοῦτο καὶ νῦν ὁ Πέτρος ποιεῖ· ἅμα δὲ καὶ διὰ τοῦ ἐγεῖραι, τὸ τῆς ἀναστάσεως πιστοῦται μυστήριον· καὶ ἵνα μὴ δόξῃ ἀπὸ ταυτομάτου ἢ αὐτοσχεδιάζοντος τὸ γενόμενον. Ἤλατο δὲ ἀναστὰς, ἢ ἀπιστῶν τὸ γινόμενον, καὶ πειράζων εἰς ἀσφαλέστερον καὶ ἑδραιότερον τὴν βάσιν, ἢ οὐδὲ περιπατεῖν ᾔδει. Τὸ δὲ, *ἐπεγίνωσκον αὐτὸν*, πρόσκειται, ὡς καὶ ἀγνοούμενον λοιπὸν ἀπὸ τοῦ θαύματος· ὃ καὶ ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ (α). Εἰώθαμεν δὲ καὶ ἡμεῖς ταύτῃ κεχρῆσθαι τῇ λέξει ἐπὶ τῶν μόλις γνωριζομένων. *Περιπατῶν καὶ ἁλλόμενος*· ὡς ἀγνοούμενον σχεδὸν τὸ λοιπὸν ἀπὸ τοῦ ἄλλεσθαι τὸν πρὸ τούτου ἀργὸν καὶ τῆς ἑτέρων δεόμενον βοηθείας πρὸς μετάβασιν.

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ, τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι.

Ἐκράτει τοὺς ἀποστόλους μετὰ τὴν ἴασιν, ἢ ἀπὸ εὐνοίας, ὥσπερ εὐφημίαν αὐτοῖς πλέκων, καὶ ἐπιδεικνὺς ἅπασι τοὺς σωτῆρας, ἢ ὑπονοῶν ὡς, εἰ ἀπολειφθείη αὐτῶν, πάλιν ὑπὸ τοῦ πάθους καταληφθείη. Ἐνόμιζε γὰρ μέχρι τούτου ἀπηλλάχθαι τοῦ πάθους, μέχρις ἂν κατέχῃ αὐτούς, καὶ ἐφάπτηται αὐτῶν· μάλιστα ὅτι καὶ ὁ Πέτρος κρατήσας αὐτὸν οὕτως ἰάσατο· *Ἐπὶ τῇ στοᾷ, τῇ καλουμένῃ.*] Αὕτη μόνη ἡ στοὰ ἔστατο ἀπὸ τῆς κατασκευῆς Σολομῶντος. Ἐνέπρησε γὰρ τὸ ἱερὸν Ναβουχοδονόσωρ (1), καὶ ᾠκοδόμησε Κῦρος ὁ Πέρσης (2).

12 Ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ; ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

Ἡ τοῦ *Ἰσραὴλ* προσηγορία διττὴν ὑποβάλλει τὴν ἔκπληξιν· ἐπαίνου, ἀπὸ τοῦ Ἰακώβ, ᾧ θεοπειθείας χάριν ἡ τοῦ Ἰσραὴλ

(α) Ἰωαν. Θ'. (1) Δ' Βασιλ. ΚΕ', 9. (2) Β' Παραλ. ΑϚ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσηρμόσθη προσηγορία, ἀπὸ τῶν κάτω συρομένων ἐπὶ τὰ οὐράνια καὶ θεῖα καὶ νοητὰ διαπορθμευθεῖσα ὕψη· μέμψεως, ἀπὸ τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου τοῦ σπέρματος αὐτοῦ, δυσαγώγου καὶ ἀπειθοῦς, καὶ παραπικρασμοῦ μεστοῦ. Ἐξ ἑκατέρου τοίνυν τὸ Ἰσραὴλ ὄνομα αὐτοῖς παρέχει, αἰσχύνην, μὴ θεοπειθοῦσιν ὡς ὁ προπάτωρ· ἀπώλειαν, ὡς οἱ ἐξ Αἰγύπτου μὴ τῇ ἐπηγγελμένῃ ἀνασωθέντες κληροδοσίᾳ. Ὧν ἑκατέρων ὑπόμνησις διὰ τοῦ ὀνόματος ἐγγινομένη, τοῦ μὲν ζῆλον παρέξει, τῶν δὲ τὴν μίμησιν διὰ τὸν ὅμοιον ὄλεθρον ἐκφυγεῖν, ἐκ προσοχῆς τῶν λεχθησομένων. Πλείονος δὲ καὶ αὖτη γέμει τῆς παῤῥησίας ἡ δημηγορία, οὐχ ὅτι ἐν τῇ προτέρᾳ (1) ἐφοβεῖτο, ἀλλ' ἐπειδὴ, χαλεποὶ ὄντες καὶ ἰταμοὶ, οὐκ ἂν ἤνεγκαν ἐκεῖνοι. Ἐκ τούτου ἐκείνης μὲν ἀρχόμενος, ἐπιστροφὴν αὐτοῖς ἐργάζεται διὰ τοῦ προοιμίου· *Τοῦτο ὑμῖν γνωστὸν, λέγων, ἔσω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου·* ἐνταῦθα δὲ οὐ δεῖται τῆς τοιαύτης κατασκευῆς· οὐ γὰρ ἐῤῥαθύμουν, ἀλλὰ τὸ σημεῖον τοῦ χωλοῦ ἐπέστρεψεν αὐτοὺς ἅπαντας, καὶ δέους καὶ ἐκπλήξεως ἐποίησε μεστούς. Ὅρα δὲ, πῶς διὰ τοῦ παρακρούεσθαι τὴν περὶ αὐτῶν δόξαν τὴν διὰ τῶν σημείων, οὐδὲν περὶ ἑαυτῶν φθέγγεται μέγα, ἅτε τοῦ ἐπὶ μεγάλοις τοῖς ἑαυτῶν κατορθωμένοις ταπεινοφρονοῦντος, πλέον ἐφελκομένου τὸν ἀκροατήν. Διόπερ καὶ αὐτοὶ καταφρονήσαντες τῆς ἀνθρωπίνης δόξης, μᾶλλον ἐδόξασαν ἑαυτούς, οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον τὸ γεγονὸς δείξαντες. Ὡς *ἰδίᾳ δυνάμει.*] Πρόσεχε τῷ εἰρημένῳ, ὅτι οὐ δυνάμει ἀνθρωπίνῃ λέγει αὐτὸν ἰαθῆναι, ἀλλὰ θείᾳ. Θεὸς οὖν ὁ Ναζωραῖος, οὗ τὸ ὄνομα ἐθεράπευσεν αὐτόν.

13 Ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, ἐδόξασε τὸν παῖδα αὐτοῦ, Ἰησοῦν, ὃν ὑμεῖς μὲν παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπο-
14 λύειν. Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε,

(1) Πραξ. Β', 14. καὶ ἑξῆς.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

15 καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν· τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν.

Ἔτι τῶν ταπεινοτέρων ἔχεται, τῶν περὶ αὐτοὺς καὶ Χριστοῦ· περὶ ἑαυτοὺς, διὰ τοῦ εἰπεῖν, οὐχὶ ἰδίᾳ δυνάμει θαυματουργῆσαι· περὶ Χριστοῦ δὲ, τῷ προσθεῖναι Ἐδόξασε τὸν παῖδα. Οὐ γὰρ τὸ αὐτοδόξαστον ἕνι προσθήκην δόξης λαβεῖν. Ταπεινώσας οὖν τὸ καθ' ἑαυτοὺς καὶ Χριστοῦ, ἐπαίρει τὸ τῶν Ἰουδαίων κατὰ Χριστοῦ τόλμημα, καὶ οὐ συσκιάζων, ὡς τὸ πρότερον. Τοῦτο δὲ ποιεῖ, μᾶλλον αὐτοὺς ἐπαγαγέσθαι βουλόμενος. Ὅσον γὰρ ἐδείκνυ αὐτοὺς ὑπευθύνους, τοσούτῳ μᾶλλον τοῦτο ἐγίνετο. Διὰ δὲ τοῦ, *Ὃν ὑμεῖς παρεδώκατε καὶ ἠρνήσασθε*, δύο τὰ ἐγκλήματα. Πιλάτῳ τε γὰρ παρέδωκαν εἰς φόνον, εἰπόντες· Ἡμῖν οὐδένα ἔξεστιν ἀποκτεῖναι (α)· ἠρνήσαντο δὲ, κράζοντες· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα (β). Ἀλλά γε δὴ καὶ Πιλάτου, Ἕλληνος ὄντος, καὶ μήτε σημεῖον πρὸς Χριστοῦ ἑωρακότος, μήτε προφητῶν ἀκηκοότος περὶ Χριστοῦ, καὶ βουλομένου αὐτὸν ἀπολύειν, αὐτοὶ καὶ θαυματουργοῦντα Χριστὸν τεθεαμένοι, καὶ προφητῶν ἐν γνώσει τῶν περὶ αὐτοῦ αὐτοῖς εἰρημένων καταστάντες, οὐκ ἠνέσχοντο. Διὰ δὲ τοῦ εἰπεῖν, *Φονέα ᾐτήσασθε*, δεινῶς κατεσκεύασεν, ὅτι ἐδύναντο τὸν Χριστὸν ἀπολύειν. Εἰ γὰρ τὸν φονέα ἀπολυθῆναι ἐποίησαν, τὸν μᾶλλον ὑπαίτιον, οὐ πολλῷ δή που τὸν ἀνεύθυνον; Νῦν δὲ ἀπεναντίας, τὸν μὲν ὑπεύθυνον ἐξείλοντο, τὸν δὲ ἀνεύθυνον ἀποκτανθῆναι παρέδωκαν. Εἰπὼν δὲ, *τὸν ἀρχηγὸν τῆς ζωῆς*, δείκνυσιν, ὡς αὐτὸς ἑαυτὸν ἀνέστησεν ὁ Χριστός. Τὴν ἀνάστασιν δὲ οὐ προφητῶν ἐμπεδοῖ μαρτυρίαις, ἀλλὰ, ἐπειδὴ ἀξιόπιστος αὐτοῖς ἦν, τῇ τοῦ χοροῦ τῶν ἀποστόλων. Ἐπεὶ δὲ μετεωρίσας τὸ ἔγκλημα, ἐλύπει σφοδρῶς, πάλιν ἀνίησιν, ἐπὶ μετάνοιαν αὐτοὺς συνωθῶν, ὅτι τε ἐξ ἀγνοίας τὸ ἔγκλημα καὶ

(α) Ἰωαν. ΙΗ', 32. (β) Ἰωαν. ΙΘ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνοίας, καὶ ὅτι τὸ ἐξ ἀρχῆς τεταγμένον καὶ λόγῳ προφητῶν κεχρησμῳδημένον οὐκ ἦν παρελθεῖν. Ἐπεὶ δὲ μέχρι τούτου προέβη, ἤδη καὶ ῥητῶς τὴν μετάνοιαν εἰσηγεῖται κατηναγκασμένως ἀναλαβεῖν, πρός τε ἐξάλειψιν τῶν ἡμαρτημένων, καὶ πρὸς τρυφὴν καὶ ἀπόλαυσιν τῶν διὰ μετανοίας καὶ ἀγαθοεργίας εὐμοιρησάντων ἀτελευτήτων ἀγαθῶν.

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ·

Τουτέστι, Τί λέγω, ὅτι πιστεύσας ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐσερεώθη; Καὶ πρὶν ἢ πιστεῦσαι, τὸ ὄνομα μόνον ἐπικληθὲν ἐσερέωσεν αὐτόν. Τοσαύτην πηγάζει τὸ ὄνομα τὴν χάριν! Οὔπω γὰρ ἦν πιστεύσας, ἀλλὰ μόνη ἡ ἐπίκλησις τοῦ ὀνόματος τὸ πᾶν εἰργάσατο.

16 Καὶ ἡ πίστις, ἡ δι' αὐτοῦ, ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

Τίς δὲ ἡ πίστις, ἡ δι' αὐτοῦ κηρυχθεῖσα, αὐτὸς ἑρμηνεύει· Ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ἔξῆς (α). Ἵνα γὰρ μή τις εἴπῃ· Οὐκοῦν κἂν ἄπιστος ἐπικαλέσηται τὸ ὄνομα αὐτοῦ, κἂν ἐπὶ θεραπείᾳ ἀπίστου, οὐδὲν ἧττον ἡ ἴασις προχωρήσει, εἴπερ ἡ ἐπίκλησις μόνη τοῦ ὀνόματος ἐστερέωσεν· ἵν' οὖν μή τις τοῦτο εἴπῃ, ἐπήγαγε, *Καὶ ἡ πίστις, ἡ δι' αὐτοῦ*· τουτέστι, Μέγα μὲν ἐστὶ τὸ ὄνομα, καὶ βρύει ἰάσεις, ἀλλὰ δεῖται καὶ ψυχῶν δυναμένων ἀξιωθῆναι τῆς χάριτος· ὑπὸ γὰρ ἀπίστων τὸ ὄνομα ἐπικαλούμενον, καὶ ἀπίστου μέλλοντος μένειν τοῦ τῆς ἰάσεως δεομένου, οὐκ ἂν τὸ οἰκεῖον ἐνεργήσειεν. Τὸ μὲν οὖν εἰπεῖν, *Τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτὸν*, ὑψηλὸν καὶ τέλειον, καὶ ἐτράχυνεν ἂν τοὺς Ἰουδαίους· τὸ δὲ, *ἡ πίστις, ἡ δι' αὐτοῦ*, ταπεινόν. Ὁ δὲ, τὰ μὲν τῇ φύσει νέμων τοῦ πράγματος, τὰ δὲ, τῇ διαθέσει καὶ τῇ δυνάμει τῶν ἀκροατῶν, μίγνυσι ταπεινὰ ὑψηλοῖς διὰ τὸ εὐπαράδεκτον.

(α) Ἰωαν. ΙΖ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 Καὶ νῦν, ἀδελφοί, οἶδα, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε,
ὥςπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Ὁ δὲ θεὸς, ἃ προκα-
τήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐ-
19 τοῦ, παθεῖν τὸν Χριστὸν, ἐπλήρωσεν οὕτω. Μετα-
νοήσατε οὖν καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι
ὑμῶν τὰς ἁμαρτίας· ὅπως ἂν ἔλθωσι καιροὶ ἀνα-
ψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου,

Ἔγνων, φησὶ, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ἐξ ὧν ὁρῶ πολλοὺς ὑμῶν ἐπιστρέφοντας καὶ σωζομένους. Οἶδε μὲν γὰρ, ὅτι οὐ κατὰ ἄγνοιαν, ἀλλ' οὕτως ἔφη, θύραν αὐτοῖς ἀνοίγων μετανοίας. Διὸ λέγει, *Μετανοήσατε*, οὐ περὶ τῶν ἐν τῷ ταυρῷ τετολμημένων· (ἔρθη γὰρ εἰπὼν περὶ ἐκείνων, ὅτι ἐν ἀγνοίᾳ·) ἀλλὰ περὶ τῶν ἄλλων ἁμαρτιῶν. Εἰπὼν δὲ, *καιροὶ ἀναψύξεως*, δείκνυσι, ταλαιπωρίαις πολλαῖς μέλλοντας αὐτοὺς περιπίπτειν, καὶ κατεργασθησομένους πολέμοις· πρὸς γὰρ τὸν καυσούμενον καὶ παραμυθίας ἐπιθυμοῦντα οὕτος ἂν ὁ λόγος ἁρμόσειεν. *Ὅπως ἂν ἔλθωσι*, φησι, *καιροὶ ἀναψύξεως.*] Κατὰ τοὺς τῆς ἀναψύξεως καιροὺς δηλαδὴ, οὓς *ἀπὸ προσώπου τοῦ Κυρίου*, εἴτουν τῆς θείας καὶ πατρικῆς οὐσίας, πρυτανευθῆναί, φησιν. Οὐδὲ γὰρ εἰκὸς, τοὺς εἰς τὸν υἱὸν ἐνυβρίσαντας διὰ τοῦ πάθους, μὴ τὴν ἀνταμοιβὴν εὑρεῖν, ἣν καὶ ἀνεῦρον ὑπὸ τῶν Ῥωμαϊκῶν στρατοπέδων διὰ Οὐεσπεσιανοῦ καὶ Τίτου οἱ τῇ Ἰουδαϊκῇ κατὰ Χριστοῦ ἐγκαρτερήσαντες λύσσῃ. Καὶ οὐ μόνον τοῦ καθ' ἑαυτοὺς πολιτεύειν ἐστέρηνται, ἀλλὰ καὶ μετὰ τὴν τῆς μητροπόλεως αὐτῶν καὶ τοῦ ναοῦ κατασκαφὴν, καὶ βίον ἄγουσι πλάνον κατὰ παντὸς διασπαρέντες, καὶ μέχρι τῆς τοῦδε τοῦ φθαρτοῦ βίου συντελείας διατηροῦντες, οὐ μή ποτε τύχοιεν ἀναψύξεως. Κατὰ γὰρ αὐτὴν τὴν τοῦ Χριστοῦ ἀπ' οὐρανοῦ παρουσίαν, ἑκάστῳ τῶν κατὰ ἀξίαν πόνων βραβεύσει τὰ ἔπαθλα. Τούτων δὲ τῶν τηνικαῦτα ἐσομένων γνῶσιν νῦν ἐντίθησιν Ἰουδαίοις, ὡς ἂν τῷ φόβῳ τούτων γενικώτερον τὴν μετάνοιαν ἐπισπάσωνται.

20 Καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

21 στὸν· ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος.

Ὁρα, πῶς ὁδῷ προβαίνει! Ἐν μὲν τῇ πρώτῃ δημηγορίᾳ, τὴν ἀνάςασιν καὶ τὴν εἰς οὐρανοὺς ἡνίξατο κάθισιν· ἐνταῦθα δὲ καὶ τὴν ἐμφανῆ παρουσίαν, ἣν καιρὸν φησὶν ἀναψύξεως, ἐν ᾧ τοὺς τῆς ἀναςάσεως δηλοῖ καιρούς, οὓς καὶ Παῦλος ἐπιζητεῖ, λέγων· Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ ςενάζομεν βαρούμενοι (α). Εἰδέ τις καὶ τοὺς μετὰ τὴν ἅλωσιν λέγει *καιροὺς ἀναψύξεως*, οὐδὲν καλύει. Καὶ γὰρ τοὺς τῆς κακώσεως αὐτῶν καὶ αἰχμαλωσίας διὰ τοὺς ἐκλεκτοὺς ἐκολόβωσεν ὁ Χριστὸς (β), ἵνα οἱ πιστεύσαντες εὕρωσιν ἀνάψυξιν, καὶ διασωθῶσιν ἀπὸ τῆς σφοδρᾶς ἐκείνης ταλαιπωρίας καὶ ἀνάγκης. Εἰπὼν δὲ ἀνωτέρω, *Ὁ δὲ θεὸς ἃ προκατήγγειλεν*, οὐ τίθησι μαρτυρίαν γραφικὴν περὶ τῆς ςαυρώσεως· ὅτι ἑκάςη αὐτῶν μετὰ πολλῶν ἐγκλημάτων καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἴρηται, καὶ οὐκ ἐβούλετο τέως λυπῆσαι. Ἀφελέςερον δὲ κέχρηται τοῖς περὶ Χριςὸν, τῇ ταπεινώσει τῶν ἀκροατῶν οἰκονομῶν τὸν λόγον. Πρὸς γὰρ τὸ ὁρώμενον τοῦ Κυρίου, εἴτουν τὸ ἀνθρώπινον, ἡ ἀπ' οὐρανοῦ αὐτοῦ ἀποςολὴ παρηνέχθη· ἐπὶ τὸ μέλλον δὲ, ἡ πρὸς οὐρανὸν αὐτοῦ ὑποδοχή. *Ὃν γάρ*, φησι, *δεῖ οὐρανὸν ὑποδέξασθαι.*] Καίτοιγε ὑπεδέδεκτο ἤδη κατὰ τὸν καιρὸν τῆς ἀναλήψεως. Ἀλλὰ τούτῳ ἢ ἰδιωτικώτερον κέχρηται τῷ λόγῳ, συνήθως τῇ ἑαυτοῦ ἐπιστολῇ, ἐν ᾗ φησι περὶ Χριστοῦ· Λαβὼν γὰρ ἐξουσίαν παρὰ θεοῦ πατρὸς, φωνῆς αὐτῷ ἀπ' οὐρανοῦ ἐνεχθείσης (γ). Καὶ γὰρ τὸ, *λαβὼν*, ἀντὶ τοῦ, *ἔλαβεν*, ἡ σύνταξις τοῦ λόγου ἀπαιτεῖ, πρὸς τὸ τὸ νόημα διαρθρωθῆναι. Ὥςε κἀνταῦθα τὸ, *Ὃν δεῖ ὑποδέξασθαι*, τὸ, *Δεῖ*, ἀντὶ τοῦ, Ἔδει, εἰλῆφθαι. Ἢ, ἐπεὶ μὴ πᾶσιν ἡ εἰς οὐρανοὺς αὐτοῦ ἀνάληψις καὶ αὐτοψία ὡράθη, τέως αὐτοὺς τῇ ἑαυτῶν ὑπολήψει χρῆσθαι ἐᾷ. Ὅμως *οὐρανὸν* εἰπὼν

(α) Β' Κορ. Ε, 4. (β) Ματθ. ΚΔ', 23. (γ) Β' Πετρ. Α, 17.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ὑποδοχὴν τοῦ ἀπεσταλμένου ἡτοιμᾶσθαι, ἐνέφηνε τοῖς ζωτικωτέροις διὰ τοῦ, *Ὃν δεῖ οὐρανὸν ὑποδέξασθαι*, υἱὸν ὄντα καὶ συναΐδιον τῷ πατρὶ, καὶ ὑπὸ τοῦ πατρὸς ἀποσταλέντα, ἀφ' οὗ διηγᾶτο ὁμέστιος τῷ πατρὶ, ὡς υἱὸς καὶ μονογενὴς, καὶ ἀναντιῤῥήτως εἰς οὐρανὸν ἀνερχόμενον, ὡς ἐξ οὐρανοῦ κατιόντα, καὶ πάλιν εἰς τὴν πατρῴαν ἀπαραιτήτως εἰσδεχόμενον ἑστίαν· καὶ ἀφ' οὗ κατὰ τὴν οἰκονομίαν κατῆλθεν, ἐκεῖ πάλιν ἐνθρονιζόμενον, ὡς τὸ υἱὸς καὶ οὐράνιος ἐμπεδώσηται, καὶ ἀποφαίνηται τὸν αὐτὸν πάλιν προσδόκιμον ἐλεύσεσθαι ἀπ' οὐρανοῦ. Καὶ ἵνα ταῦτα γνωσθῇ τηλαυγέστερον, ἐπὶ Μωσέα παραπέμπει καὶ τοὺς προφήτας· Μωσέα μὲν, *Προφήτην ὑμῖν*, λέγοντα, *ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν ὡς ἐμέ* (α). Καὶ Δαυὶδ δὲ, ὡς ὑετὸν ἀπεικάζοντα τὴν ἐξ οὐρανοῦ αὐτοῦ ὡς ἐπὶ πόκον κατάβασιν (β). Καὶ ἁπλῶς ἐπὶ τοὺς προφήτας αὐτοὺς παραπέμψας, πάλιν αὐτοὺς ψυχαγωγεῖ, ὡς υἱοὺς γενησομένους, κατηκόους τῶν προφητῶν καταστάντας· εἰ καὶ μὴ φύσει, ἀλλὰ χάριτι διὰ τὴν μεγαλοδωρεὰν τοῦ παρέχοντος. Ἔχει γὰρ καὶ φύσει υἱόν· πολὺ δὲ τὸ διάφορον τοῦ φύσει πρὸς τοὺς θέσει· οἱ μὲν γὰρ διὰ τῆς τῶν προφητῶν πνευματικῆς υἱοθετήθησαν παιδείας· ὁ δὲ φυσικῇ σχέσει κατευμεγεθεῖ τὴν υἱότητα. —ΑΛΛΩΣ. Τὸ, *Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι*, τέθειται ἀντὶ τοῦ, Ἀνάγκη ἐςὶ δέξασθαι αὐτὸν, ἅτε δὴ θεὸν ὑπάρχοντα. Πῶς οὖν οὐκ εἶπεν, *Ὃν οὐρανὸς ἐδέξατο;* Τοῦτο ὡς περὶ τῶν ἄνω χρόνων διαλεγόμενός φησι. Διὰ δὲ τοῦ, *Ἄχρι χρόνων ἀποκαταστάσεως*, τὴν αἰτίαν δηλοῖ, διὰ τί νῦν οὐκέτι ἔρχεται. Ἀποκαταςῆναι δεῖ, φησι, καὶ εἰς πέρας ἐλθεῖν ἅπαντα, καὶ τότε ἐλεύσεται.

22 Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν· «Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ

(α) Δευτερ. ΙΗ', 15. 18. (β) Ψαλμ. ΟΑ', 6.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

23 πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. Ἔσται δὲ, πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ (α).»

Τί ἐστι τὸ, ὡς ἐμέ; Γεννᾶται ἐν Βηθλεὲμ ὁ Χριστὸς, ὡς ὁ Μωϋσῆς ἐν Αἰγύπτῳ· Ἰσραηλίτης ἐκεῖνος, ὡς οὗτος τὸ κατὰ σάρκα· ἐκ γένους ἱερατικοῦ ἐκεῖνος, ὡς οὗτος ἐκ Δαυὶδ διὰ τὴν Παρθένον· Φαραὼ ἐπ ἐκείνου, Ἡρώδης ἐπὶ τούτου· βρέφη φονεύει ἐκεῖνος, βρέφη δὲ οὗτος ἀναιρεῖ· ἀρρενικὰ ἐκεῖνος, ἀρρενικὰ κα οὗτος· διὰ μητρὸς σώζεται ἐκεῖνος, διὰ μητρὸς ἐσώθη καὶ μετὰ μητρὸς καὶ οὗτος· ἐν λάρνακι ἐκεῖνος καὶ παρὰ ποταμὸν, ἐν Λύκῳ καὶ οὗτος, τῇ παρὰ τὸν αὐτὸν ποταμὸν Αἰγυπτίᾳ πόλει· ὑπὸ ἀλλοφύλου ἐκεῖνος τῆς Φαραωνίτιδος ἐτρέφετο, ὑπὸ πόλεως καὶ οὗτος Φαραωνίτιδος ἀλλοφύλου ἐτρέφετο. Ταῦτα δὲ οὐ συγκρίνων λέγω τὸν δεσπότην τῷ δούλῳ, ἀλλὰ καιρὸν καὶ τρόπον συγκρίνων, καὶ ἀλήθειαν ἐν σκιᾷ διαγράφων.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας.

Προσυπακουστέον κἀνταῦθα τὸ, Πρὸς τοὺς πατέρας ἡμῶν· ἵνα ᾖ· Καὶ πάντες δὲ, ὅσοι ἐλάλησαν πρὸς τοὺς πατέρας ἡμῶν.

25 Ὑμεῖς ἐστὲ υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· «Καὶ ἐν τῷ σπέρματί σου εὐλογη-
26 θήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς (β).» Ὑμῖν πρῶτον ὁ Θεὸς, ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν αὐτὸν, εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

Ὑμεῖς ἐστὲ υἱοὶ τῶν προφητῶν, ἀντὶ τοῦ, Μὴ πτοεῖσθε, μηδὲ νομίζετε ἠλλοτριῶσθαι ἑαυτοὺς τῶν ἐπαγγελιῶν· ὑμεῖς

(α) Δευτερ. ΙΗ', 15. 18. 19. (β) Γενεσ. ΙΒ', 3. ΙΗ', 18. ΚΒ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστὲ υἱοὶ τῶν προφητῶν· ὥςτε ὑμῖν ἔλεγον, καὶ δι' ὑμᾶς ταῦτα γέγονεν. Ὑμεῖς μέν, φησιν, ἐστὲ υἱοὶ τῶν προφητῶν, οὗτος δὲ υἱὸς ἐστὶ τοῦ θεοῦ, ἐπιμερίσας κατὰ τὴν οὐσίαν πατέρα, ἐκείνοις δὲ καὶ ἑαυτόν. *Ὑμεῖς ἐστὲ υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης.*] *Υἱοί*, ἀντὶ τοῦ, κληρονόμοι· εἰ γὰρ υἱὸς, καὶ κληρονόμος· κληρονόμοι δὲ, οὐ προσφάτως ἐγγραφέντες, ἀλλ' ὡς υἱοί. Καὶ ἵνα δείξῃ, ὅτι ὅσον ἀπὸ τῆς υἱοθεσίας, εἰ ἄρα καὶ αὐτοὶ βούλονται, κληρονόμοι εἰσὶ καὶ αὐτοὶ ὡς υἱοί· διὸ καὶ ὡς υἱοῖς υἱὸν ἀπέστειλεν· ἀπέστειλε μὲν καὶ ἑτέροις, ἀλλ' ὑμῖν πρῶτον· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ πρῶτον καὶ οἱονεὶ προηγουμένως ὑμῖν τοῖς σταυρώσασι καὶ ἀποκτείνασι. Καὶ πότε; Οὐ νῦν μόνον, ἀλλὰ καὶ πρὸ τοῦ σταυροῦ, καὶ πρὸ τοῦ τοσούτου τολμήματος, καὶ μετὰ τὴν ἀνάςασιν. Διὸ καὶ φησίν· *Ὑμῖν πρῶτον, ἀναστήσας αὐτόν.* Τί ποιῆσαι; Εὐλογῆσαι καὶ σῶσαι ὑμᾶς, εἰ ἄρα καὶ αὐτοὶ ἔλοισθε ἐπιστρέψαι ἀπὸ τῶν κακιῶν ὑμῶν.

ΚΕΦ. IV, 1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς, καὶ ὁ στρατηγὸς τοῦ 2 ἱεροῦ, καὶ οἱ Σαδδουκαῖοι, διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν, καὶ καταγγέλλειν ἐν 3 τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν. Καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν 4 εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη. Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν·

Ὅρα, πῶς οἰκονομεῖται τὰ πράγματα! Πρῶτον ἐχλευάσθησαν πάντες ὁμοῦ· εἶτα εὐδοκιμήσαντες ἐν ταῖς δημηγορίαις, καὶ θαῦμα ἐργασάμενοι μετὰ ταῦτα μέγα, οὕτω δὴ λοιπὸν μετὰ τὸ θαῤῥῆσαι, θεοῦ συγχωρήσαντος, εἰς κινδύνους ἐμβαίνουσι, καὶ τῶν ἀγώνων ἅπτονται. Θέα δὲ τὴν εἰς ἰταμότητα προκοπὴν τῶν Ἰουδαίων· ὅτι ἐπὶ τοῦ Χριστοῦ τὸν παραδώσοντα ζητοῦντες, νῦν αὐτοὶ τὰς χεῖρας ἐπιβάλλουσι, θρασύτεροι γεγονότες μετὰ τὸν σταυρόν. Εἶχον γὰρ καὶ τὸν στρατηγὸν, ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γεγενημένοις, καὶ μὴ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἰδιωτικὸν ἐκδικῶσιν· ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν. Ἐνώπιον δὲ τοῦ πλήθους τῶν ἀποστόλων ἐδέσμευσαν, ἵνα καὶ αὐτοὺς ὁρῶντας δειλοτέρους ἐργάσωνται. Ἀλλὰ τοὐναντίον ἐγένετο. Πολλοὶ γὰρ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν. Ὁρᾷς θείαν ἐνέργειαν φανεράν; Καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας ἀσθενεστέρους ἔδει γενέσθαι· ἀλλ' ἡ Πέτρου δημηγορία, πνεύματι θείῳ συγκροτουμένη, αὐτῆς αὐτῶν τῆς ψυχῆς ἥψατο. Κατ' ἰδίαν δὲ αὐτοὺς ἐξετάζουσιν, ἵνα μὴ ἀπὸ τῆς παῤῥησίας αὐτῶν οἱ ἀκούοντες κερδήσωσιν.

4 Καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες
5 πέντε. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐ-
τῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμμα-
6 τεῖς εἰς Ἰερουσαλήμ· καὶ Ἄνναν, τὸν ἀρχιερέα, καὶ
Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι
7 ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. Καὶ στήσαντες αὐ-
τοὺς ἐν μέσῳ, ἐπυνθάνοντο·

Χιλιάδες πέντε.] Διὰ γὰρ τοῦτο προέλεγεν ὁ Κύριος ἐπὶ τῶν πεντακισχιλίων· *Δότε αὐτοῖς ὑμεῖς φαγεῖν* (α)· τοὐτέστι, Πεντακισχιλίους κορέσετε πίστεως καὶ ὑμεῖς μετὰ ταῦτα.

7 Ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦ-
το ὑμεῖς;

Καὶ μὴν ἤδεισαν· διαπονούμενοι γὰρ ἐν τῷ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν, κατεῖχον αὐτούς· ἐρωτῶσι δὲ, προσδοκῶντες αὐτοὺς, τὸ δικαστήριον καὶ τὸ πλῆθος φοβηθέντας, ἐξάρνους γενέσθαι, καὶ τὸ πᾶν διὰ τούτου κατωρθωκέναι νομίζοντες. Ὅρα δὲ, πῶς κακούργως ἐρωτῶσιν! Ἐβούλοντο γὰρ τοὺς ἀποστόλους μᾶλλον ἑαυτῶν εἶναι τὸ ἔργον ὁμολογεῖν, ἢ τῆς δυνάμεως τοῦ Χριστοῦ. Ὅρα δὲ, πῶς οὐδὲ ὀνομάσαι ἤθελον τὴν θεραπείαν τοῦ χωλοῦ· οὐ γὰρ λέγουσι ποῖον, ἀλλ', *ἐποιήσατε τοῦτο*; Οἱ δὲ ὠνόμασαν μὲν αὐτοὺς μετὰ τιμῆς,

(α) Ματθ. ΙΔ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπόντες· *Ἄρχοντες τοῦ λαοῦ* ἐπειδὴ δὲ ἤλθον εἰς τὸ πρᾶγμα, οὐκ ἀφίσανται τοῦ πρέποντος ἐλέγχου. Φασὶ γὰρ, Ὅτι μάλιστα μὲν ἐχρῆν στεφανοῦσθαι ἡμᾶς ἐπὶ τούτοις, ὡς εὐεργέτας· ἐπειδὴ δὲ κρινόμεθα, γνωσὸν ἔστω παντὶ τῷ λαῷ. Τοῦτο γὰρ πλέον αὐτοὺς ἐλύπει.

8 Τότε Πέτρος, πλησθεὶς Πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς· Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ
9 Ἰσραὴλ· εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται·
10 γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον
11 ὑμῶν ὑγιής. Οὗτος ἐστιν ὁ λίθος, ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κε-
12 φαλὴν γωνίας. Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σω-
13 θῆναι ἡμᾶς. Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν·
14 τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.

Ἄρχοντες τοῦ λαοῦ, κατὰ τὸ ἀξίωμα τοῦ χυδαίου ὄχλου. *Πρεσβύτεροι τοῦ Ἰσραὴλ*, κατὰ τὸ διδασκαλικὸν καὶ συνετικὸν τοῦ ἀπὸ τῶν γηΐνων πρὸς τὰ θειότερα ἀναγομένου λαοῦ. Εἰς δύο γὰρ διεῖλε τῶν ἀκροατῶν τὸν ἐσμὸν, ὡς ἂν τούτων ἐξ ἴσου τῶν λεγομένων μὴ ἐχόντων τὸ συνιέναι, ἀλλὰ τῶν μὲν, ἀκροθιγῶς πως τῶν λεγομένων ἀκρωμένων, τῶν δὲ, δραστικώτερον καὶ βαθύτερον τῇ ψυχῇ παραπεμπόντων τὸ ἀγγελλόμενον. Ἐπεὶ τοίνυν ὡς ἐπιμελησόμενοι τῆς πρὸς ἣν προεκρίθητε τάξεως, ἡμᾶς σήμερον ἀνακρίνειν εἵλεσθε, τοὺς ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς ὑπουργηκότας, καὶ οὐχὶ ἀπ'

Δημόσιος Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ τοῦ ἔργου μετὰ τοῦ θαυμάζειν καὶ τὸ σεβάσμιον ἐκείνῳ προσνέμετε, οὗ τῷ ὀνόματι τὸ τοιοῦτον ἐνήργηται ἀγαθόν· εἰ ἐπὶ τοσοῦτον τὸ πλημμελὲς ὑμῖν περιγέγονε, τί τὸ ἀπὸ τοῦδε, ἢ ἡμᾶς ὑμᾶς ἔδει ὡς ἐκ κάρου βαθέος ἐξανιστᾶν, λέγοντας καὶ ὑμῖν καὶ τῷ ὄχλῳ, ὡς ἐν τῷ ὀνόματι τούτῳ; *Ὄνομα* νῦν τὴν ὑπόληψιν λέγει καὶ τὴν δόξαν, ὡς καὶ ὁ ψαλμῳδὸς, ἡνίκα λέγει· *Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ* (α)· ἥτις ὑπόληψις τοσοῦτον παρ' ὑμῖν κεχυδαίωται, ὡς μὴ μόνον μὴ σεβάσμιον δόξαι, ἀλλὰ καὶ αὐτόν, ᾧ τὸ ὄνομα πρόσεστι, τῷ τῶν κακούργων θανάτῳ ὑποβαλεῖν. *Ναζωραῖον* δὲ ἀπὸ τοῦ τόπου καλεῖ, ἀφ' οὗ γενέσθαι αὐτὸν ὑπόληψις, τοῖς ταπεινοτέροις κάνταῦθα περὶ Χριστοῦ ἐνδιατρίβων, ὡς ἂν ἐναργὲς παράσχοι, ὡς οὐδὲ ἡ κατὰ ἀνθρώπους εὐτέλεια τῇ ἀληθεῖ δόξῃ λυμανεῖται, ἂν μόνον ὀξυδερκὴς ὁ διαβλέπων ᾖ. Διὸ καὶ πρὸς αἰσχύνην αὐτῶν, πρὸς οὓς ὁ λόγος, φάσκων τὸ, *ἐσταυρώσατε*, προσνέμει παρευθὺς τὸ, *ἤγειρεν ἐκ νεκρῶν*. Τίς ἤγειρεν. Ὁ θεός. Ἐπεὶ γὰρ ὑμῖν διαφθονουμένοις, ἔδοξε τῷ τῶν κακούργων θανάτῳ ἀχρειοῦν τὴν ἀπὸ τῶν θαυμάτων δόξαν αὐτοῦ, (διὸ καὶ ἔλεγον (β)· Τί *ποιοῦμεν; ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ*), τῷ σταυρῷ μὲν ὑμῶν ἀντέθηκε τὴν ἀνάστασιν. Τίς; Ὁ θεὸς, ἀναστήσας αὐτόν. Τῷ πατρὶ γὰρ προσνέμει τὴν ἀνάστασιν· ἐπεὶ καὶ κοινὸν ἔργον πᾶν ἁ θεοπρεπὲς, πλὴν τῶν ὑποστατικῶν χαρακτηρισμῶν τῆς ζωαρχικῆς Τριάδος· καὶ ἵνα δείξῃ αὐτοὺς κἀντεῦθεν θεομαχοῦντας· τὸ γὰρ οἰκεῖᾳ δυνάμει ἀναστῆναι οὐκ ἐνεχώρει τέως εἰπεῖν οὕτω γυμνὸν, καὶ πρὸς ἀνθρώπους ὀργῶντας τὰ ἑαυτῶν συστῆσαι, ἀφ' οὗ καὶ τῇ τοῦ θεοῦ δικαιοσύνῃ οὐχ ὑπετάγησαν (γ). *Ἐν τούτῳ οὖν τῷ ὀνόματι*, ὁ Πέτρος φησὶν, *οὗτος περέστηκεν ὑγιὴς*· διὰ τοῦ, *περέστηκε*, δὲ, τὸ, ἀνώρθωται, ὑπεσήμανε. Καὶ τὸ, *Οὗτός ἐστιν ὁ λίθος*, τὴν ἀναφορὰν οὐ πρὸς τὸν χωλὸν ἔχει,

(α) Ψαλμ. Η', 2. (β) Ἰωαν. ΙΑ', 47. (γ) Ρωμ. Θ', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ πρὸς τὸν Ἰησοῦν Χριστὸν, οὗ τῷ ὀνόματι ἔρρωται ὁ χωλός. Ὃς λίθος ὑφ' ὑμῶν μὲν, τῶν τὴν οἰκοδομὴν τεταγμένων, ἐξουθενοῦται· εἰς κεφαλὴν δὲ γωνίας τοῦ τῆς πίστεως γέγονεν οἴκου, ἀμφοτέρους συνάπτων τοὺς τοίχους, τὸν ἐξ Ἰουδαίων λαὸν, καὶ τὸν ἐξ ἐθνῶν, εἰς μιᾶς πίστεως συμφωνίαν. Σκόπει δὲ, ὅτι καὶ τὸ, *Ἐν ἄλλῳ οὐκ ἔστιν ἡ σωτηρία*, τὸ ψαλμικόν ἐστιν ἐξαπλοῦν λόγιον, τό· *Παρὰ Κυρίου ἐγένετο αὕτη* (α)· οἱονεί ἡ συνοχὴ καὶ ὁ σύνδεσμος ὁ σωτήριος, τοῦτο λέγον, ὅτι πᾶς ἄνθρωπος οὐκ ἐξ οὐδενὸς ἄλλου ἢ παρὰ μόνου γέγονε τοῦ ἀκρογωνιαίου λίθου. *Ὅτι μηδὲ ἕτερόν τι ὄνομά ἐστι*· τοὐτέστι, δόξα σεβάσμιος, εἰ μὴ μόνη αὕτη ἡ ἐπὶ Χριστὸν, τὸν ἀκρογωνιαῖον λίθον, πίστις, τὰς ἄλλας παρευδοκιμεῖν ἔχουσα πίστεις, ὡς ἐπ' αὐτῇ τὸ σωτήριον δεδομένον μόνῃ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἀπειλῆς τῶν ἀρχιερέων, προσαττόντων, ὡς οὐ δεῖ παῤῥησιάζεσθαι ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, καὶ ἀνέσεως τῶν ἀποστόλων· εὐχαριστία ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ τῆς τῶν ἀποστόλων πιστῆς καρτερίας· περὶ ὁμοψύχου καὶ καθολικῆς κοινωνίας τῶν πιστευσάντων· ἐν ᾧ περὶ Ἀνανίου καὶ Σαπφείρας, καὶ πικρᾶς αὐτῶν τελευτῆς.

15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν,
16 συνέβαλον πρὸς ἀλλήλους, λέγοντες· Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἰε-

(α) Ψαλμ. ΡΙΖ', 22. 23

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρουσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι·
17 ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπει-
λῇ ἀπειλησώμεθα αὐτοῖς, μηκέτι λαλεῖν ἐπὶ τῷ
18 ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. Καὶ καλέσαντες
αὐτοὺς, παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγ-
γεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ.
19 Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐ-
τοὺς, εἶπον· Εἰ δίκαιόν ἐστι ἐνώπιον τοῦ θεοῦ, ὑμῶν
20 ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε. Οὐ δυνάμεθα
21 γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν. Οἱ
δὲ, προσαπειλησάμενοι, ἀπέλυσαν αὐτοὺς, μηδὲν εὑ-
ρίσκοντες τὸ, πῶς κολάσωνται αὐτοὺς, διὰ τὸν λα-
όν· ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι.
22 Ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος,
ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

Οὕπω τῶν προτέρων ἀναπνευσάντων τῶν ἀποστόλων πειρα-
σμῶν, εἰς ἑτέρους ἐνέβαινον οἰκονομικῶς. Πρῶτον μὲν γὰρ ἐ-
γλευάσθησαν εἰς μέθην πάντες, ὑποπτευθέντες τὴν τῶν ἀγνώσων
αὐτοῖς γλωσσῶν ἐνέργειαν. Δεύτερον, εἰς κινδύνους ἐμβαίνουσιν.
Οὐκ ἐφεξῆς δὲ ταῦτα· ἀλλὰ πρῶτον ταῖς δημηγορίαις εὐδο-
κιμήσαντες, καὶ οἱονεὶ ἐγγυμνασάμενοι πρὸς παῤῥησίαν διὰ τοῦ
θαύματος τοῦ χωλοῦ, μάλιστα θεοῦ συγχωρήσαντος, τὸ ἐντεῦ-
θεν τῶν ἀγώνων ἅπτονται.=Πρὸς Πιλάτον δὲ οὐκ ἄγουσι τοὺς
ἀποστόλους, ὡς τὸν Χριστὸν, ἀλλ' αὐτοὶ κρίνουσιν, αἰσχυ-
νόμενοι καὶ ἐρυθριάζοντες τὰ πρότερον, καὶ δεδοικότες, μὴ
ἀπὸ τούτων καὶ ὑπὲρ ἐκείνου ἐγκληθῶσιν·

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγ-
γειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρε-
24 σβύτεροι εἶπον. Οἱ δὲ, ἀκούσαντες, ὁμοθυμαδὸν
ἦραν φωνὴν πρὸς τὸν θεὸν, καὶ εἶπον·

Οὐχὶ φιλοτιμίας ἕνεκεν διηγοῦνται, ἀλλὰ τῆς τοῦ Χριστοῦ
χάριτος τὰ τεκμήρια ἐπιδεικνῦντες.

24 Δέσποτα, σὺ ὁ θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ὅρα, πῶς ἐστιν ἠκριβωμένη καὶ κατὰ καιροὺς ἡ τούτων εὐχή. Ὅτε μὲν γὰρ τὸν ἄξιον εἰς ἀποστολὴν ἠξίουν δειχθῆναι αὐτοῖς, Σὺ, εὔχονται, *Κύριε, καρδιογνῶστα πάντων*· προγνώσεως γὰρ ἦν ἐκεῖ χρεία· ἐπειδὴ δὲ ἐνταῦθα τοὺς ἀντικειμένους ἐπιστομισθῆναι ἐχρῆν, *Δέσποτα*, ἐπιβοῶνται. Καὶ ὥσπερ συνθήκας ἀπαιτοῦντες αὐτὸν, τὴν προφητείαν εἰς μέσον ἄγουσιν, ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι, ὅτι εἰκῆ κατ' αὐτῶν καὶ κενῶς μελετῶσιν οἱ ἐχθροί. Σκόπει δὲ καὶ ἐπιείκειαν! Οὐ γὰρ εὔχονται καταῤῥάξαι αὐτοὺς καὶ καταβαλεῖν, ἀλλ' *Ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου, μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σου, ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν*, τουτέστιν, ἐν τῷ τὴν ἄμαχόν σου δύναμιν περιέπειν ἡμᾶς· τοῦτο γὰρ ἐνταῦθα ἡ *χεὶρ*· τὴν ἄμαχον γὰρ δύναμιν δηλοῦν βούλεται, ὡς ἐπὶ τοῦ· *Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν* (α). Ἐπὶ δὲ τοῦ κατωτέρω τοῦ· *Ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισεν*, ἡ χεὶρ τὸ μετὰ λόγου καὶ δεόντως παρὰ θεοῦ τὰ πάντα διεξάγεσθαι δηλοῖ· ὅτι καὶ μόνη ἡ σύνθετος φύσις καὶ λογικὴ, ἥτις οὐκ ἄλλη ἢ ὁ ἄνθρωπος, χειρὶ ὡς ἐπίπαν τὰ χρειωδέστατα ἐκτελεῖν εἴωθεν.

25 Ὁ διὰ στόματος Δαυὶδ, τοῦ παιδός σου, εἰπών· « Ἵνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;
26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ Κυρίου καὶ κα-
27 κατὰ τοῦ Χριστοῦ αὐτοῦ (β).» Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης τε καὶ Πόντιος Πιλάτος,

Ποῖα ἔθνη ἐφρύαξαν κατὰ τοῦ Χριστοῦ; Τὰ τῶν Ἰουδαίων, δηλονότι. Εἰ γὰρ καὶ Ἰουδαῖοι ἦσαν πάντες, ἀλλ' οὖν ἐκ διαφόρων ἐθνῶν, ἐν οἷς ἦσαν διεσπαρμένοι.

(α) Ψαλμ. ΜΓ', 3. (β) Ψαλμ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 Σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ,

Ἐν Ἱερουσαλὴμ. Ἑβραῖοι μετὰ Καϊάφα καὶ Ἄννα, λαοὶ μετὰ Πιλάτου.

28 Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.

Ποιῆσαι ὅσα ἡ χείρ σου, τουτέστιν, Οὐκ αὐτοὶ ἴσχυσαν, ἀλλὰ σὺ εἶ ὁ τὸ πᾶν ἐπιτρέψας καὶ εἰς πέρας ἀγαγών, ὁ εὐμήχανος καὶ σοφός. Συνῆλθον μὲν γὰρ ἐκεῖνοι ὡς ἐχθροὶ, καὶ φονικῇ προαιρέσει, ἐποίουν δὲ ἃ σὺ ἐβούλου. Τὸ δὲ, ἡ χείρ καὶ ἡ βουλὴ, τὸ αὐτὸ βούλεται δηλοῦν. Ἀρκεῖ βουληθῆναι σε μόνον. Ὅσα οὖν διέταξας ἐξ ἀρχῆς, γέγονεν. Οὐ παραιτήσεως δὲ τῶν δυσχερῶν ἡ τῶν ἀποστόλων εὐχὴ, ἀλλ' ὑπὲρ εὐοδώσεως τοῦ εὐαγγελικοῦ κηρύγματος. Οὐ γὰρ εἶπον, Ἔξελοῦ, ἀλλὰ, Δὸς τοῖς δούλοις σου, μετὰ παῤῥησίας λαλεῖν.

29 Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου, μετὰ παῤῥησίας πάσης
30 λαλεῖν τὸν λόγον σου, ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ.
31 Καὶ δεηθέντων αὐτῶν, ἐσαλεύθη ὁ τόπος, ἐν ᾧ ἦσαν συνηγμένοι· καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ παῤῥησίας.

Σύμβολον τοῦ ἀκουσθῆναι τὴν δέησιν αὐτῶν ὁ σεισμός· ἔστι δὲ ὅτε καὶ ὀργῆς. Τὸ δὲ πλησθῆναι πνεύματος ἁγίου δηλοῖ τὸ, ὅλους τῆς ἐνεργείας τοῦ δοθέντος αὐτοῖς θείου πνεύματος γενέσθαι, μικρὸν ἀπὸ τῶνδε τῶν σαρκικῶν ἀποστρεφομένους· ἢ ὅτι ἀνεζωπυρήθησαν, καὶ ἀνεκαίετο ἐν αὐτοῖς τὸ χάρισμα, δι' ὅπερ ἐλάλουν μετὰ παῤῥησίας, ἀφειδοῦντες τῶν σωματικῶν κινδύνων, ἀφ' οὗ καὶ καρδία καὶ ψυχὴ, οἱονεὶ καὶ τοῖς νοεροῖς κινήμασι. Τοῦτο γὰρ νῦν ἡ καρδία βούλεται, ἅτε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πρώτη τῆς τοῦ ζώου ὑποστάσεως, ὑρισταμένη καὶ τοῖς ζωτικοῖς. Ταῦτα γὰρ ὑπαινίττεται διὰ τῆς καρδίας καὶ τῆς ψυχῆς πρὸς ἓν κατάλυμα τὴν ὁρμὴν ποιουμένων. Τὸ δὲ, *Ἤτ*, σημαίνει τὸ πρὸς εὐαρέσκησιν συντεῖνον θεοῦ. Τοῦ νοεροῦ γὰρ ἔλεγχος, τὸ ἀφειδεῖν τῶν κινδύνων· τοῦ ζωτικοῦ δὲ γνώρισμα, τὸ περὶ τὰ σωματικὰ τὴν διεξαγωγὴν ἐζηκριβῶσθαι, ὡς ὀλίγα μὲν, καὶ ὅσον ἀποζῆν, χορηγεῖσθαι τῷ κεκτημένῳ, τὸ πᾶν δὲ τοῖς βίου σπανίζουσι καρποφορεῖσθαι. Ἔτι περὶ τοῦ σαλευθῆναι τὸν τόπον καὶ τοῦτο νοῆσαι δεῖ· ὁ σεισμὸς ἐγένετο, ὡς φοβῶν μὲν τοὺς ἀπίστους καὶ ἀπειλοῦντας· εἰς θάρσος δὲ ἀνάγων τοὺς ἀποστόλους· ἐπειδὴ ἀρχὴ ἦν καὶ χρεία τῶν τοιούτων σημείων πρὸς τὸ αὐτοὺς στερεωθῆναι.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.

Τὸ φιλάλληλον καὶ ἐξ ἐγγύης προσῆν αὐτοῖς τοῦ διδασκάλου Χριστοῦ, δι' ὧν ἔλεγεν· *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις* (α). Διόπερ καὶ ἕκαστος, ὡς ἑαυτὸν ἡγούμενος τὸν πλησίον, οὐδὲν τῶν ὑπαρχόντων ἑαυτῷ ἐξιδιαζόμενος κατεῖχεν, ἀλλ' εἰς κοινοχρησίαν προσετίθει· ἐξ οὗ καὶ χάριν φησὶ μεγάλην αὐτοῖς ἐπελθεῖν ἀπὸ τῆς φιλαλληλίας· τῷ γὰρ μὴ ἐξιδιάζεσθαι, οὐδεὶς ἦν ἐνδεὴς ἐν αὐτοῖς· ὅπερ τοῦ, *Ἀνοίγεις σὸ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον* (β), μίμησις ἦν.

33 Καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ· χά-
34 ρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς. Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων,

Τὸ, *ἀπεδίδουν*, καθάπερ ἐγχειρισθέντας αὐτούς τι δείκνυσι,

(α) Ἰωαν. ΙΓ', 35. (β) Ψαλμ. ΡΜΔ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὡς περὶ ὀφλήματος λέγει αὐτό. Διὰ γὰρ τῶν θεοσημειῶν, θείαν δύναμιν ἐδείκνυον ὄντα τὸν ἐκ νεκρῶν ἀναστάντα.

35 Καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.

Τὸ παρὰ τοὺς πόδας τῶν ἀποστόλων τὰς τιμὰς τιθέναι, ἀλλὰ μὴ πρὸς τὰς χεῖρας, τὴν πολλὴν τιμὴν καὶ εὐλάβειαν τῶν προσαγόντων δηλοῖ. Ὅτι δὲ οὐκ εἰς τὰς χεῖρας ἑτόλμων δοῦναι, αὐτοὺς κυρίους ἦν ποιεῖν καὶ οἰκονόμους, ὡς ἐκ κοινῶν ἀναλίσκοντας ταμείων, καὶ μὴ ὡς ἐξ ἰδίων διὰ χειρῶν. Ἔτι τὸ, Παρὰ τοὺς πόδας, καὶ σέβας αὐτοῖς περιεποίει, καὶ ὀνείδους ἀφήρει τὴν ἔνδειαν τῶν τρεφομένων. Ἐδίδουν δὲ, ὡς ἐκ κοινῶν ταμείων χορηγουμένων.

36 Ἰωσῆς δὲ, ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, (ὅ ἐστι μεθερμηνευόμενον, Υἱὸς παρακλήσεως,)

37 Λευίτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

Πρῶτον μέμνηται τοῦ κατορθωκότος, ἤγουν τοῦ Ἰωσῆ, εἰς ἔλεγχον μείζονα Ἀνανίου, ὅτι τοσούτων ὄντων τῶν ταῦτα ποιούντων, καὶ τοσούτων σημείων, καὶ τοσαύτης χάριτος, ὑπ᾽ οὐδενὸς τούτων ἐπαιδεύθη. Τῷ δὲ Ἰωσῆ ἀπὸ τῶν ἀποστόλων ἡ κλῆσις ἐπρυτανεύθη, μαρτύριον ἀρετῆς φιλοικτίρμονος. Λευίτης δὲ ὢν, Κύπριος ἐχρημάτιζεν, ὅτι ὁ νόμος ἤδη ἐλύετο, καὶ μετῴκουν ἐξ Ἰουδαίας, ὅπου ἄν τις βούλοιτο. Τὸ δὲ, Βαρνάβας, ἐξ Ἰουδαίας γλώσσης εἰς Ἑλλάδα ἀναπτυσσόμενον, *Υἱὸν παρακλήσεως* παριᾷ, οἱονεὶ παραμυθίας καὶ οἰκτιρμοῦ. Προπαρασκευὴ δὲ τοῦτο τοῦ κατὰ Ἀνανίαν καὶ Σάπφειραν ὀλεθρίου διηγήματος. Μιμήσει γὰρ καὶ οὗτος τοῦ Ἰωσῆ τὸν ἀγρὸν ἀποδόμενος, μὴ καταλλήλως χρησάμενος τῇ ἀρχῇ καὶ τῷ τέλει, ἔλαθεν ἑαυτῷ ὄλεθρον διαθέμενος.

ΚΕΦ. V, 1 Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν Σαπ-
2 φείρῃ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα· καὶ ἐνο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σφισατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐνέγκας μέρος τι, παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν.

Ὁλοτελῶς γὰρ σατανικῆς μανίας μεστὸς, ὁ αὐθορμήτως, καὶ οὐκ ἐξ ἀνάγκης καὶ βίας, ἑλόμενος τὸ χρηστὸν, ἅμα δὲ τῇ ἀρχῇ τὴν περὶ τὸ ἀγαθὸν ζέσιν κατεψυγμένος, καὶ τὸ χρῆμα ὅλον ἀπολέσας. Τρία δὲ κατὰ ταὐτὸν τηνικαῦτα σημεῖα· λαθραίων γνῶσις· μελέτης διανοίας ἐκφόβησις· καὶ ἐπὶ τούτοις ἀναίρεσις ἐκ προσταγμάτων.

3 Εἶπε δὲ Πέτρος· Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ
4 χωρίου; Οὐχὶ μένον, σοὶ ἔμεινε, καὶ πραθὲν, ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ
5 θεῷ. Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξε. Καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάν-
6 τας τοὺς ἀκούοντας ταῦτα. Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν.

Ανανία, διὰ τί, καὶ τὰ ἑξῆς.] Μὴ γάρ, φησιν, ἄκοντας ὑμᾶς ἔλκομεν; Τὸ αὐθαιρέτως ὑμῖν δοκιμασθὲν εἰς θεοῦ καλλιέρημα αὖθις ὑμᾶς αὐτοὺς εἰς ἑαυτῶν χρείαν δαπανᾷν, ἱεροσυλία ἀναντίῤῥητος. Διὸ καὶ τῷ τῶν ἱεροσύλων καθυπεβλήθησαν προστίμῳ. Τίνι τούτῳ; Θανάτῳ. Τοῦτο γὰρ τὸ, *ἐξέψυξεν*, οἱονεὶ ἐξηράνθη, τουτέστι, τῆς ζωτικῆς νοτίδος ἐστέρηται. Διὸ καὶ *διερὸς* ὁ ζῶν παρὰ τοῖς παλαιοῖς εἴρηται, ἐν ἴσῳ τοῦ, *ὑγρός*.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ
8 αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονὸς, εἰσῆλθεν. Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι, εἰ τοσούτου τὸ χω-
9 ρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε· Ναὶ, τοσούτου. Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· Τί ὅτι συνεφωνήθη ὑμῖν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πειράσαι τὸ πνεῦμα Κυρίου; Ἰδοὺ, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.

Ὁρα, ὅτι οὐκ ἐκάλει αὐτὴν ὁ Πέτρος, ἀλλ' ἀναμένει, ὡς αὐτὴν εἰσελθεῖν, ὅτε βούλοιτο, διδοὺς αὐτῇ ἐξουσίαν καὶ τοῦ μεταμεληθῆναι, καὶ τοῦ μὴ ἀναιδῶς εἰσελθεῖν. Εἰσῆλθε δὲ τὰ κατὰ τὸν ἄνδρα μὴ εἰδυῖα, ὅτι μηδεὶς ἐτόλμα αὐτῇ ἐξειπεῖν, φόβῳ καὶ τιμῇ τοῦ διδασκάλου· καίτοι γε ὡρῶν τριῶν διάστημα ἱκανὸν ἦν, εἰς πολλοὺς διαδοθῆναι· ἀλλ' ὁ φόβος αὐτοὺς ἐγκρατεῖς ἐποίει. Τοῦτο γὰρ καὶ ὁ εὐαγγελιστὴς Λουκᾶς θαυμάζων, ἅμφω τέθηκε, καὶ τὸ τῶν ὡρῶν διάστημα, καὶ τὴν τῆς γυναικὸς ἄγνοιαν. Ἐρωτῶν δὲ, Πόσου τὸ χωρίον ἀπέδοντο, αὐτῇ παρεῖχε συγγνώμης ἀφορμὴν, ὡς οὐκ ἐπ' αὐτῇ, ἀλλὰ ἐπὶ τῷ ἀνδρὶ τῆς ἐξουσίας κειμένης τοῦ ἀποδόσθαι καὶ τοῦ νοσφίσασθαι· καὶ ἐπειδὴ σύμφωνον εὗρε τῇ δολιότητι τοῦ ἀνδρὸς, τῷ ὁμοίῳ καὶ αὐτὴν ὑποτιμᾶται κακῷ. Οἶδε γὰρ ἡ καταφρόνησις θείων καὶ τὸν ἀόργητον ἐκκαίειν πρὸς ὀργήν. Πίςις τῶν λόγων, καὶ ἡ τοῦ ἐν σαββάτῳ ξυλευομένου ὑπὸ Μωϋσέως τοῦ πραοτάτου πρὸς λιθολευστίαν ἔκδοσις (α). Καίτοι ἐκεῖ μὲν, ἐντολῆς περὶ τὰ καθήκοντα παράβασις ὡρᾶτο, ἐνταῦθα δὲ, ἱεροσυλία· τὰ γὰρ τῷ θεῷ ἀνατεθέντα πρὸς διατροφὴν τῶν ἀπόρων, αὐτοὶ εἰς περιττὰς αὐτῶν χρείας ἀνήλισκον. Ταῖς ἀνάγκαις γὰρ ἱκανὸν, τοῖς εἰς κοινὸν ταμεῖον ἀποσωρευθεῖσι τὸ ἐνδεὲς ἀναπληροῦν. Σκόπει δὲ καὶ τοῦτο, πῶς πρὸς τοὺς οἰκείους σφοδρῶς διατίθενται. Οὐ γὰρ βούλονται τοὺς ἅπαξ ἀξιωθέντας πνευματικῆς χάριτος, καὶ τῆς μετ' αὐτῶν συναναστροφῆς τυχόντας, κλέπτας καὶ ἱεροσύλους εἶναι. Ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τιμωρίᾳ, ἵνα μὴ δόξωσι καὶ μὴ θέλοντας τοὺς ἀνθρώπους, τῷ φόβῳ τῆς τιμωρίας ἐκβιάζεσθαι προσέρχεσθαι τῇ πίστει. Ἀλλ' εἴπερ ὁ σατανᾶς, πληρώσας τὴν

(α) Ἀριθ. ΙΓ', 32—36.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καρδίαν Ἀνανίου, τὸ πᾶν εἰργάσατο, τίς ἡ τοσαύτη καταδρομὴ ἐπὶ τὸν Ἀνανίαν; Ἀλλ' οὐχὶ μάτην, ἀλλ' ἐνδίκως, ἐπὶ τοσοῦτον τῷ σατανᾷ ἑαυτὸν χωρητικὸν καταστήσαντα.

10 Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι, εὗρον αὐ-
τὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄν-
11 δρα αὐτῆς. Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Πῶς παρὰ τοὺς πόδας αὐτοῦ; Ὅτι πλησίον αὐτοῦ εἱστήκει· πλησίον δὲ αὐτὴν ἔστησεν, ἵνα, εἰ βούλοιτο μετανοῆσαι καὶ ὁμολογῆσαι, μὴ αἰσχύνοιτο τοὺς ἄλλους ὡς ἀκούοντας. Οὐκ ἀπονοίας δέ ἐστιν ὁ κατὰ τῶν πταισάντων φόβος τοῦ σοφωτάτου Πέτρου, ἀλλὰ διδασκαλίας προγνωστικῆς, τὰ πολλὰ τῶν ἀνθρώπων προϊεμένης ἁμαρτήματα. Τότε γὰρ ἀρξάμενοι τὰ τοῦ εὐαγγελίου καταβάλλεσθαι σπέρματα, καὶ εὐθὺς παρανατείλαντα ἑωρακότες ζιζάνια, σοφῶς αὐτὰ παραχρῆμα ἐξέτιλον. Οὕτω καὶ Μωσῆς τὸν ἐν προοιμίοις τοῦ νόμου παραβάτην, καὶ ἐπὶ βραχεῖ ἁμαρτήματι καταλευσθῆναι προσέταξε, τὸν θεὸν φήσας ἀποφήνασθαι τοῦτο. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν πρωτοπλάστων, ἐπὶ ξύλου γεύσει οὕτω καταδικασθέντων (α). *Λοιμοῦ γὰρ μαστιγουμένου, πανουργότερος ἄρρων* γίνεται, κατὰ τὴν ἱερὰν παροιμίαν (ε). Ὥστε καὶ ἐπὶ τούτων ἡ τιμωρία εἰς κέρδος προὐχώρησε τοῖς παροῦσι καὶ ὁρῶσι τὰ δρώμενα. Καίτοιγε καὶ ἄλλων προβάντων σημείων, ἀλλ' οὐκ ἦν φόβος τοσοῦτος. Οὕτω γινώσκεται Κύριος κρίματα ποιῶν (γ)· ἐν γὰρ τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ τοῦ ἁμαρτωλοῦ, τῷ ἐπ' ἐκεῖνον δράματι ὁ σωτήριος τίκτεται τοῖς ἄλλοις φόβος. Ὥσπερ καὶ ἐπὶ τῆς τοῦ Ὀζᾶ τιμωρίας (δ). Ἡ γὰρ τούτου κόλασις φόβος ὑπῆρξε τοῖς πολλοῖς, ὡς τὰ τῷ θεῷ ἀνακείμενα ἀνέπαφα τοῖς ἀνιέροις διά-

(α) Γενεσ. Γ', 16.—19. (ε) Παροιμ. ΙΘ', 25. (γ) Ψαλμ. Θ', 17.
(δ) Β' Βασιλ. ς', ε. 7.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τηρεῖσθαι. Ἐπισημαντέον δὲ ἐντεῦθεν ἀπό γε τῆς ἐκφορᾶς τῶν νεκρῶν, Ἀνανίου καὶ τῆς γυναικὸς αὐτοῦ, διὰ τῶν αὐτῶν νεκροστόλων, καταφρονούμενον τὸν νόμον (α). Οὐδὲ γὰρ οἱ νεκροῦ ἁψάμενοι Ἀνανίου, ἀκάθαρτοι διέμειναν ἕως ἑσπέρας· ἀλλ' οἱ αὐτοὶ καὶ τῷ τῆς γυναικὸς ὑπούργησαν νεκρῷ.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν ὁμο-
13 θυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος· τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμε-
14 γάλυνεν αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυ-
15 ναικῶν· ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ
16 αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων· οἵτινες ἐθεραπεύοντο ἅπαντες.

Ὁρα δέ μοι, πῶς ὁ τῶν ἀποστόλων ὑφαίνετο βίος. Ἀθυμία πρώτη γέγονε διὰ τὴν ἀνάληψιν· εἶτα εὐθυμία διὰ τὴν τοῦ πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας· εἶτα εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ κατασχεθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας· πάλιν ἐνταῦθα ἀπὸ τῶν σημείων καὶ τῆς λαμπρότητος εὐθυμία, ἀπὸ δὲ τοῦ ἀρχιερέως καὶ τῶν συλλαβόντων ἀθυμία. Καὶ ἐπὶ τῶν παλαιῶν δὲ, ὅσοι κατὰ θεὸν ἔζησαν, τὸ αὐτὸ εὕροι τις ἄν. Μὴ θαυμάσῃς δέ, πῶς τῶν ἑαυτῶν οἰκιῶν ἀποστάντες, ἐν τῷ ἱερῷ διῆγον κατὰ τὴν στοὰν Σολομῶντος, καὶ πῶς συνεχωροῦντο· φοβεροὶ γὰρ ἦσαν ἅπασιν ἤδη τῷ πλήθει τῶν δι' αὐτῶν ἐνεργουμένων θαυμάτων. Τοῦτο γὰρ καὶ βούλεται δηλοῦν ἐν τῷ φάσκειν τὸ, *Διὰ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο*

(α) Ἀριθ. ΙΘ', 11.—22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σημεῖα καὶ τέρατα πολλὰ ἐν τῷ λαῷ, καὶ εὐθὺς ἐπιφέρειν, *Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς*, τουτέστιν, οὐδὲ προσεγγίζειν τις αὐτοῖς ἐτόλμα. Ἀλλ' ἔμελλε μεγαλύνειν αὐτοὺς ὁ λαός. Τίς; ὁ ἰουδαϊκός. Τίνας; Τοὺς ἀποστόλους. Καὶ τί τὸ μεγαλεῖον; Τὸ τῇ πίστει προστίθεσθαι τοῦ Χριστοῦ· ἔτι δὲ καὶ τοὺς ἀσθενεῖς αὐτῶν ἐκφέρειν κατὰ τὰς ῥύμας καὶ τὰς πλατείας τῆς πόλεως ἐπὶ κλινῶν καὶ κραββάτων, ὡς ἂν τῆς σκιᾶς Πέτρου, ῥωννύειν εὐμεγεθούστης, τυγχάνωσιν, ὅπερ ἐπὶ Χριστοῦ οὐκ ἐγένετο. Ἀλλὰ καὶ τοῦτο ἔργον τοῦ ἐπαγγειλαμένου καὶ εἰπόντος· *Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει* (α). Ὥστε καὶ ταῦτα ἀπὸ τοῦ ἐπαγγειλαμένου Χριστοῦ συνήντα τοῖς ἀποστόλοις, διὰ τῶν πιστευσάντων, διὰ τῶν θεραπευομένων, διὰ τῶν κολαζομένων, ὡς ὁ Ἀνανίας. Εἰ γὰρ καὶ αὐτοὶ οἱ ἀπόστολοι μετριοφρονοῦντες, τῷ διδασκάλῳ ἀνετίθεσαν τὰς θαυματουργίας, ἐν τῷ ὀνόματι αὐτοῦ ταύτας συμπεραινόμενοι, ἀλλὰ καὶ ὁ βίος αὐτῶν, καὶ ἡ ἀρετὴ, ἀποστολικὴ οὖσα, ἱκανὰ τὸ μεγαλεῖον βραβεῦσαι τοῖς οὕτω προαιρουμένοις βιοῦν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Οτι τοὺς ἀποστόλους, ἐμβληθέντας ἐν τῷ δεσμωτηρίῳ, ἄγγελος θεοῦ νύκτωρ ἐξέωσεν, ἐπιτρέψας ἀκωλύτως κηρύσσειν τὸν Ἰησοῦν· ἐν ᾧ, ὅτι τῇ ἑξῆς αὐτοὺς οἱ ἀρχιερεῖς πάλιν συλλαβόμενοι, ἐφ' ᾧ μηκέτι διδάσκειν μαστίξαντες ἀπέλυσαν. Γα-

(α) Ἰωαν. ΙΔ', 12.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μαλιήλου γνώμη πιστὴ περὶ τῶν ἀποστόλων μετὰ παραδειγμάτων τινῶν καὶ ἀποδείξεων.

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ,
ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζή-
18 λου· καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀπο-
στόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.
19 Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύ-
20 ρας τῆς φυλακῆς· ἐξαγαγών τε αὐτοὺς, εἶπε· Πο-
ρεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ
21 λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Ἀκού-
σαντες δὲ, εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν,
καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ
οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν
τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ· καὶ ἀπέστειλαν
22 εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς. Οἱ δὲ ὑπηρέ-
ται παραγενόμενοι, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλα-
23 κῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν, λέγοντες· Ὅτι
τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ
ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ
τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν.
24 Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ,τε ἱερεὺς
καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, δι-
25 πόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. Παρα-
γενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς· Ὅτι ἰδοὺ,
οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ
26 ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. Τότε
ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγα-
γεν αὐτοὺς, οὐ μετὰ βίας·

Τούτων τελουμένων ὑπὸ τῶν ἀποστόλων, δι' ἃ καὶ πλῆθος τῷ κηρύγματι προσεπορίζετο, καὶ τῶν πιστῶν τὸ πλῆθος πελάγει ἐναμιλλον ἤδη καθίστατο τῇ καθ' ἑκάστην ἐπιδόσει· *Ἀναστάς*, φησιν, *ὁ ἀρχιερεὺς*, τουτέστι, διεργεθεὶς, κινηθεὶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τοῖς γενομένοις, σφοδρότερον αὐτοῖς ἐπιτίθεται, μάλιστα τῶν Σαδδουκαίων αὐτὸν ἀπανθρωπότερον ἐκκαιάντων, ὁρώντων τῇ στυγουμένῃ αὐτοῖς ἀναστάσει τοὺς ἀποστόλους τὸ πᾶν κατορθοῦντας. Χριστὸν γὰρ ἀναστάντα κηρύσσοντες, ταύτης εἰς πίστιν τῷ τοῦ ἀναστάντος ὀνόματι θαυματουργοῦντες ἀπεφαίνοντο· οὐκ ἂν τοῦτο συνέβαινεν, εἴγε ψεῦδος τὸ πρᾶγμα ὑπέτρεχεν. Οὕτως οὖν ἐκτεθηριωμένοι, καὶ πρὸς φόνον τῶν ἀποστόλων παρασκευαζόμενοι, τέως μὲν φυλακῆς ἀσφαλείᾳ συνέχουσιν, οὐ παρευθὺς ἀγαγόντες εἰς κρίσιν· αὐτοὶ δὲ τῷ ἐνδοσίμῳ τὴν μετάγνωσιν αὐτοῖς διὰ τοῦ δέους τῆς εἱρκτῆς πανούργως μαιευόμενοι. Ἐκεῖνοι μὲν οὖν οὕτω. Θεὸς δὲ τῇ διὰ κακουργίαν ἀναβολῇ, τοὺς μὲν τῷ εἰς μάτην πεπονηρεῦσθαι κατήσχυνε, τοὺς ἀποστόλους δὲ τῇ διὰ θείου ἀγγέλου τῆς φυλακῆς ἐκβολῇ μᾶλλον ἐστερέωσε, καὶ ἃ χρὴ καὶ ὅποι προσκαρτεροῦντας ἐνεργεῖν, συνέτισεν. Ἀγνοίας δὲ τῆς ἀγγελικῆς ἀντιλήψεως τοὺς μιαιφόνους μεσολαβούσης, καθ' ὃν καιρὸν ἀνεβάλλοντο τὸ πρὸς κρίσιν τοὺς ἀποστόλους παραστῆσαι, οὐκ ἐλέει· (πῶς γὰρ οἱ πλεῖον ὄφεων πρὸς ὀργὴν ἀφωρμημένοι;) ἀλλ' ἵνα πρῶτον μὲν τοὺς οἰηθέντας τὸ ἑαυτῶν βούλημα διὰ τῆς κατοχῆς ἐκτελεῖν, καὶ τούτῳ φραξαμένους, εἶτα ἡστοχηκότας τῶν μελετηθέντων διὰ τῆς θείας ἐπισκοπῆς, ἡ ἀπορία τῶν βεβουλευμένων παιδεύσῃ θείαν εἶναι τὴν δύναμιν· ἡ γὰρ ὑπὸ τοῦ ἀγγέλου τῆς φυλακῆς ὑπεξαγωγὴ, τοῖς μὲν ἀποστόλοις εἰς παραμυθίαν, τοῖς Ἰουδαίοις δὲ εἰς ὠφέλειαν καθίστατο. Ἔλαθε δὲ τοὺς Ἰουδαίους, θείαν εἶναι τὴν δύναμιν, ἵνα πρῶτον, ὡς ἔφην, ἐν ἀπορίᾳ γενόμενοι, εἰ θέλοιεν, καταλήψωνται καὶ αὐτοὶ καὶ παιδευθῶσι· οἱ δὲ τοσοῦτον ἐπηρώθησαν, ὥστε οὐδὲ τοὺς ἐδελυκτοτάτους αὐτοῖς ἀποστόλους θαῤῥῆσαι μετὰ βίας τοῦ ἱεροῦ ἀφελκῦσαι. Ἀφ' οὗ καὶ δῆλον, ὡς συνετώτερος ὁ ἀγελαῖος ὄχλος τῶν ἰουδαϊκῶν ἀρχόντων, θᾶττον ἐκείνων τῶν ἀμαθῶν, τούτων τῶν νομικῶν, ταῖς θεοσημείαις τὸ σωτήριον ἐπισπαπαμένων. Διόπερ ἐρωτῶσιν οἱ νομικοὶ ἐπὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλῇ τῇ γνώσει τῶν θεοσημειῶν καὶ πληροφορίᾳ· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν; Καίτοι, εἰ παραγγελίᾳ μόνῃ, τίς ἡ φυλακὴ καὶ ἡ πολλὴ ἀσφάλεια; Πρὸς γὰρ τῇ καθείρξει καὶ φύλακες προσήδρευον, ὧν οὐ μνήμη νῦν, εἰς ἀποκρυβὴν τῆς ἀγγελικῆς θαυματουργίας. Πλὴν ἔστιν εἰπεῖν τοὺς ἀποστόλους· Εἰ τῇ παραγγελίᾳ ὑμῶν καὶ ἡ παρ' ἡμῶν πρὸς φυλακὴν συγκατάθεσις προσετέθη, εὔλογοι αἱ νῦν ἐπ' ἀθετήσει ἀνακρίσεις τε καὶ εὐθύναι· εἰ δὲ τούτων οὐδέν, ἀφρόνων αἱ νῦν ὡς ἐπὶ παραβάσει ἐπικλήσεις.

26 Ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν.

27 Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς, λέγων·

Ω τῆς ἐμβροντησίας τῶν ἐπ' ἀδήλῳ μὲν τῷ φόβῳ τοῦ ὄχλου τὸ σῶφρον ἐπεγνωκότων, τοῦ θεοῦ δὲ, τοῦ προδήλως ἀεὶ τῶν χειρῶν αὐτῶν, καθάπερ πτηνοὺς, τοὺς ἑαυτοῦ ἐξαρπάζοντος, μηδ' ἣν τινα ὥραν υἱοποιεῖσθαι προθυμουμένων!

28 Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ, πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν·

Ο ἀναίσχυντος καὶ ἰταμὸς καὶ μωρὸς ἠρώτησεν αὐτοὺς, *Οὐχὶ παραγγελίᾳ*, καὶ ἐξῆς. Ἡ μὲν παραγγελία ὅτι μεστὴ ἐμπληξίας, εἴρηται ἤδη, καὶ παρέλκον τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐπαναλαμβάνειν.

28 Καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.

Ετι αὐτοῖς ψιλὸς ἄνθρωπος ἐδόκει. Ἵνα δὲ δείξωσιν, ὅτι ἀναγκαία ἦν ἡ παραγγελία, καὶ φειδοῖ τῆς οἰκείας σωτηρίας, καὶ ἵνα τραχύνωσι κατ' αὐτῶν τὸ πλῆθος, ταῦτα ἔλεγον. Ἐκφανέστερον λοιπὸν ἡ κατὰ Χριστοῦ αὐτῶν λύσσα προήει ὡς οὐ δικαία, ἀλλὰ φθόνῳ, καὶ ἐπὶ ὅμοιον φόνον αὐτοὺς προάγουσα· διὸ καὶ φασί· *Βούλεσθε τὸ αἷμα τοῦ ἀνθρώπου τούτου ἐφ' ἡμᾶς ἀ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γαγεῖν; αἷμα τὸν φόνον λέγοντες, ὡς καὶ ὁ θεὸς πρὸς τὸν Κάϊν· *Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου* (α), ἀντὶ τοῦ, ὁ φόνος. Ταῦτα δὲ ἔφασκον Ἰουδαῖοι, φειδοῖ δῆθεν τῆς ἑαυτῶν σωτηρίας, τὸ δὲ πλῆθος κατὰ τῶν ἀποστόλων τραχύνοντες.

29 Ἀποκριθεὶς δὲ ὁ **Πέτρος** καὶ οἱ ἀπόστολοι, εἶπον·
30 Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώποις. Ὁ θεὸς
τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διε-
31 χειρίσασθε, κρεμάσαντες ἐπὶ ξύλου· τοῦτον ὁ θεὸς
ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ,

Σκόπει δὲ, ὅση ἡ ἐπιείκεια τῶν ἐξεταζομένων! Οὐ γὰρ θρασέως ἀποκρίνονται· διδάσκαλοι γὰρ ἦσαν, καὶ οὐκ ὠργίζοντο, ἀλλ' ἠλέουν αὐτοὺς, καὶ ἐσκόπουν, ὅπως αὐτοὺς ἀπαλλάξωσι τῆς πλάνης. Οὐ γὰρ ἐναμιλλοι αὐτοῖς, ἢ ἐπὶ τῇ δι' αὐτοὺς θεοσημείᾳ ἐπαιρόμενοι, ὑβριστικῶς αὐτοῖς κέχρηνται, μὴ πρὸς κέντρα λακτίζειν αὐτοὺς συνετίζοντες· ἀλλὰ πρῶτον μὲν τῷ θεῷ πειθήνιον προτιμότερον φάσκουσιν ἢ ἀνθρώποις ἀνατιθέναι, ἀπορρητότερον αὐτοὺς διελέγχοντες, ὡς καταφρονητὰς τῶν δι' αὐτοὺς θεόθεν ἐκτελουμένων. Εἶτα δὲ καὶ ὅτι, ὃν ἄνθρωπον ψιλὸν ἀπεκάλεσαν, τοῦτον εἶναι καὶ σωτῆρα, καὶ τῷ θεῷ μεμελημένον, ὡς καὶ ἐκ νεκρῶν αὐτὸν ἀναστῆσαι. Τὸ γὰρ οἰκείᾳ φάσκειν ἰσχύϊ, οὐκ ἀσφαλὲς τέως ἐρεῖν, ὡς ἂν μὴ ἀντίθεος τούτῳ νομίζοιτο. Τοῦτον δὲ, τὸν ὑπὸ θεοῦ ὑψωθέντα, αὐτοὺς διαχρήσασθαι θανάτῳ σταυροῦ, ὅσου τοῦ κατακρίματος ὑπόδικον, ὡς ἀπὸ κάρου βαθέος ἐξανιστῶν, προτρέπεται ἐννοεῖν.

31 Δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν.

Οὕτω μετεωρίσας τὸν περὶ τοῦ σταυροῦ λόγον, καὶ ὡς ἀσύγγνωστον κατάκριμα τοῖς τῇ αὐτῇ κατὰ Χριστοῦ λύσσῃ ἐναποκαθημένοις, ὥσπερ τοῦ τοσούτου ἄχθους ἀποφορτισμὸν αὐτοῖς μηχανώμενός, φησιν· Ἀλλ' οὗτος μὲν, ὑφ' ὑμῶν ἀτιμωθεὶς, ὑπὸ

(α) Γενεσ. Δ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ δὲ ὑψωθεὶς, ἔδωκε πνεῦμα μετανοίας τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν, οὐδὲν τῆς διὰ τὸν σταυρὸν εἰς αὐτὸν παροινίας εἰς ἀποστροφὴν δυναμένης ἄγειν· καθότι ὁ ὑπὸ θεοῦ ὑψωθεὶς ἀμνησικακεῖ πρὸς τοὺς διὰ πειθοῦς αὐτὸν ἐπεγνωκότας. Ὅρα δὲ, πῶς καὶ δι' ἔργων καὶ ῥημάτων παιδευόμενοι Ἰουδαῖοι, οὐ προσεῖχον· διὸ καὶ ἡ κατάκρισις αὐτῶν δικαία· δι' ἔργων μὲν, συγχωροῦντος τοῦ θεοῦ τοὺς ἀποστόλους εἰς δεσμωτήρια ἄγεσθαι μὲν, θαυμασίως δὲ λύεσθαι· διὰ ῥημάτων δὲ, ἵνα καὶ Ἰουδαῖοι διὰ τοῦ λόγου τῶν ἀποστόλων, καὶ πάντες παιδεύωνται. Ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀπόστολοι εἰς παῤῥησίαν ἀλείφονται.

32 Καὶ ἡμεῖς ἐσμὲν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων,

Ποίων; Ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἐπηγγείλατο· ἡ γὰρ ἀνάστασις ἦν λοιπὸν ἤδη ὡμολογημένη.

32 Καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

Ὅτι ἄφεσιν δίδωσι, καὶ ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ οὐκ ἂν ἐπῆλθεν, εἰ μὴ πρότερον αἱ ἁμαρτίαι ἐλέλυντο. Ταπεινοφροσύνης δὲ ὁ τοιοῦτος λόγος. Οὐ γὰρ, Ἡμῖν μόνοις, εἴρηται ἀποκληρωτικῶς, τοῖς ἀγαπῶσιν αὐτὸν, ἀλλὰ τῇ κοινοποιούσῃ προενήνεκται πάντων τῶν πειθαρχούντων αὐτῷ. Ὥστε, εἰ καὶ αὐτοὶ πείθοιντο, μὴ ἀμοιρήσειν τῆς αὐτοῦ δωρεᾶς τῇ διὰ τὸν σταυρὸν παρανομίᾳ.

33 Οἱ δὲ, ἀκούσαντες, διεπρίοντο, καὶ ἐβουλεύοντο
34 ἀνελεῖν αὐτούς. Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιὴλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀπο-
35 στόλους ποιῆσαι. Εἶπέ τε πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις
36 τούτοις, τί μέλλετε πράσσειν. Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτὸν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃς ἀνῃρέθη, καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν.

Οἱ μὲν οὖν ἄλλοι ἀκούοντες κατενύγησαν, καὶ τῇ πειθοῖ τῶν λόγων, κοινωνοὶ τῶν ἀποστόλων γεγόνασιν· ὁ ἀρχιερεὺς δὲ καὶ οἱ ἄρχοντες κατὰ τῶν ἀποστόλων διεπρίοντο, φονῶντες κατ' αὐτῶν. Οὗτος δὲ ὁ Γαμαλιὴλ, ὁ τοῦ Παύλου διδάσκαλος ἦν· καὶ θαυμάσαι ἄξιον, πῶς καὶ τὰς κατὰ νοῦν κρίσεις ἔχων, καὶ νομομαθὴς ὤν, οὐδέπω πιστεύει· ἐπεὶ οὐδέπω Παῦλος ἐπίστευσεν· οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύοντα δι' ὅλου· καὶ δῆλον ἀπὸ τῶν ῥημάτων αὐτοῦ, ἃ καὶ ὅτι συνέσει διέφερεν ἱκανὰ παρίςᾳν. Καὶ δῆλον καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων. Τὸ γὰρ κελεῦσαι, τοὺς ἀποστόλους ἐκβληθῆναι τοῦ συνεδρίου, πρὸς τῷ ἐμφόβους αὐτοὺς καταστῆσαι, ἔτι καὶ ἑαυτῷ τὸ ἀνύποπτον περιεποίει, τοῦ μὴ ὡς ὁμογνώμοσι χαριζόμενον τοὺς λόγους ποιεῖσθαι. Διόπερ οὐδὲ πολλῇ σφοδρότητι χρῆται, ἀλλ' ὡς ὑπὸ θυμοῦ μεθύουσιν οὕτω φησί· *Προσέχετε ἑαυτοῖς, τί μέλλετε πράττειν*· οἱονεὶ λέγων· Μὴ ὡς ἔτυχε φέρεσθε. Εἶτα καὶ παραδείγματα ἀσυνέτως ἐπὶ τοῖς τοιούτοις χρησαμένων καὶ ἀλυσιτελῶς ἑαυτοῖς προφέρει, Θευδᾶν καὶ Ἰούδαν τὸν Γαλιλαῖον, οἳ μὴ πρὸς αἴσιον ἑαυτοῖς ἐκβεβήκασι πέρας (1). Οὐ παλαιὰ δὲ τὰ παραδείγματα, ἀλλὰ νεαρὰ, καὶ ὧν αὐτόπται πολλοί· ὡς ἂν ἡ πεῖρα φυλάξηται τὸ μὴ πρὸς ὅμοιον καταντῆσαι πέρας τῶν παραδειγμάτων. Εἶτα, ὡς τούτοις ἐξομαλίσας τὸν λόγον, ἀποστῆναι πειρᾶται τοὺς ἀκροατὰς τῆς κατὰ τῶν ἀποστόλων ἐπιβουλῆς· μήπως, εἰ πρὸς ἀνεμπόδιστον ἀφώρμηνται τέλος ἅπερ ἔχει θεὸν συλλήπτορα, λάθοιμέν, φησιν, ἐπὶ θεομαχίαν ἀποτελευτῶντες, καὶ οὕτως οὐ κατ' ἐκείνων, ἀλλὰ καθ' ἑαυτῶν ὁπλιζόμενοι, πεφυκότος τοῦ κατὰ τοῦ τῷ θεῷ δοκοῦντος βάλλειν ἐπιχειροῦντος, εἰς τὸ καθ' ἑαυτοῦ καταντᾶν.

(1) Ἰδ. περὶ τοῦ Θευδᾶ Ἰωσηπ. Ἰουδ. ἀρχ. Βιβλ. Κ'. Κεφ. Ε', §, ά. Εὐσεβ. Ἐκκλ. ἱστ. Βιβλ. Β'. Κεφ. ΙΑ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ γὰρ ἀνθρωπίνης ὁρμῆς ἔχεται, περιττὴ ἡ κατ' αὐτῶν ἀγανάκτησις· τῇ γὰρ ἀρχῇ καὶ ὁ ἀφανισμὸς σύνδρομος, ὥσγε τὰ παραδείγματα ὑπαινίττεται. Οὐκ εἶπε δὲ προφανῶς τὸ τῶν ἀποστόλων ἔργον, ἐκ θεοῦ ἢ ἐξ ἀνθρώπων ὁρμῆς κεκινῆσθαι, ἀλλ' ἐνδοιαστικῶς. Εἰ μὲν γὰρ εἶπεν ὅτι ἐκ θεοῦ, ἀντέλεγον ἂν εὐθέως ἐκεῖνοι· εἰ δὲ, ἐξ ἀνθρώπων, προχείρους πάλιν ἐποίει αὐτοὺς κατὰ τῶν ἀποστόλων. Διὰ τοῦτο σοφῶς τὸν λόγον οἰκονομήσας, περιμεῖναι τὸ τέλος κελεύει, καὶ μὴ προπετῶς κατὰ πράγματος ἀγνοουμένου φέρεσθαι. Πρὸς γὰρ τὸ τῷ θεῷ δοκοῦν ὁ μαχόμενος, οὐκ ἐκεῖνο, ἀλλ' ἑαυτὸν καταλύει. Εἰ μὲν γὰρ ἀνθρώπινόν ἐστι, φησι, τί δεῖ πραγμάτων ὑμῖν; εἰ δὲ θεῖον, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε αὐτὸ καταλῦσαι, ὡς μὴ προπετῶς δόξαι κατὰ πραγμάτων ἀγνοουμένων χωρεῖν.

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν.

Εἰκασιν οἱ Γαλιλαῖοι κατὰ τοὺς χρόνους Πιλάτου ἐστασιακέναι, δόγμασιν ἑπόμενοι Ἰούδα τοῦ Γαλιλαίου. Ἦν δὲ τὸ δόγμα τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας ἔδειξε (1), φαντασίαν ἐξαποστέλλον πολλὴν δὲ εὐσεβείας εὐτονίαν. Κύριον γὰρ μηδὲ μέχρι στόματος ἔφασκε δεῖν τινὰ λέγειν, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην· οὕτω δὲ μηδὲ τὸν βασιλεύοντα. Καὶ πολλοί γε αὐτῶν, διὰ τὸ μὴ εἰπεῖν Καίσαρα Κύριον, χαλεπωτάτας αἰκίας ὑπέμειναν. Οἳ καὶ ἐδίδασκον, μὴ δεῖν, παρὰ τὰς διατεταγμένας ἐν τῷ νόμῳ Μωσέως θυσίας, ἑτέρας ἀναφέρεσθαι τῷ θεῷ. Διόπερ καὶ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδεδομένας γίνεσθαι ὑπὲρ τῆς σωτηρίας τοῦ βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους. Εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς

(α) Ἴδ. περὶ τοῦ Ἰούδα τούτου Ἰωσηπ. Ἰουδ. Ἀρχ. Βιβλ. Ἰή. Κεφ. Α'. §. ά. Ἰουδ. πολ. Βιβλ. Β'. Κεφ. Ἡ. §. ά. Εὐσεβ. Ἐκκλ. ἱστ. Βιβλ. Α'. Κεφ. Ε'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς Γαλιλαίους τὸν Πιλάτον, κελεῦσαι παρ' αὐταῖς, αἷς ἐδόκουν κατὰ τὸν νόμον προσφέρειν, θυσίαις αὐτοὺς ἀναιρεθῆναι· ὡς τότε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσαγόντων, καθὰ καὶ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ἐμφέρεται (α).

38 Καὶ τανῦν λέγω ὑμῖν· Ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι, ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·
39 εἰ δὲ ἐκ θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό,
40 μήποτε καὶ θεομάχοι εὑρεθῆτε. Ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν, μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ
41 Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆ-
42 ναι· πᾶσαν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν.

Οὐκ εἶπεν, ὅτι ἐκ θεοῦ ἐστίν, ἀλλ' οὐδ' ἀνθρώπινον τὸ ἔργον. Πρὸς γὰρ τὸ, ἐκ θεοῦ, εὐθὺς ἐκεῖνοι ἀντέλεγον ἄν· τὸ δὲ, ἐξ ἀνθρώπων, θασυτέρους ἐποίει κατὰ τῶν ἀποστόλων. Διόπερ ὅρα σύνεσιν ἀνθρώπου, σοφῶς τὸν λόγον οἰκονομοῦντος! Περιμεῖναι τὸ τέλος κελεύει. Οὐκ εἶπε δέ· Καὶ ἐὰν μὴ καταλύσητε αὐτό, γνῶτε ὅτι ἀπὸ θεοῦ ἐστιν, ἀλλ', Ἐὰν ἐκ θεοῦ ᾖ, οὐ καταλυθήσεται. Τὸ μὲν γὰρ, τῆς ἐκείνων λογισθείη ἀπηνείας, τὸ δὲ, τῆς θείας δυνάμεως. Ἐπείσθησαν δὲ, διὰ τὸ μὴ παρουσίᾳ τῶν ἀποστόλων ταῦτα ῥηθῆναι, ἀλλὰ χωρίς· ἔτι δὲ καὶ ὅτι συνεπιγνώμων αὐτοῖς νομισθείς, καὶ τὴν ἔκβασιν, ὡς ἂν καὶ γένοιτο, δεδοικώς, ταῦτα καὶ αὐτοῖς ὑπετίθει. Πρὸς δὲ καὶ ἡ γλυκύτης τῶν λόγων μετὰ τοῦ δικαίου συνεβάλετο αὐτῷ πρὸς τὸ πεῖσαι. Ἀλλ' εἰ ἐπείσθησαν, πῶς ἔδειραν; Ἐπείσθησαν, τῆς

(α) Λουκ. ΙΓ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σφαγῆς ἀποσχέσθαι· πρὸς τοῦτο γὰρ ὤργων μανιωδῶς· ἔδειραν δὲ, τῷ μὴ δόξαι ἀφρόνως ὀρμηθῆναι καὶ κατὰ ἀνεκδότων. Καὶ ἦν τῷ ὄντι, τὸ μὲν τὴν σφοδρότητα αὐτῶν καταλυθῆναι, τῆς ἀρετῆς τοῦ συμβούλου· τὸ δὲ μαστίζαι, τῆς τῶν συμβουλευθέντων δευσοποιοῦ μανίας. Ὅρα δὲ καὶ τῶν ἀποστόλων τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν. Καὶ δι' ὧν ἠλπίζοντο καταγωνίζεσθαι θλιβερῶν, μάλιστα διὰ τούτων ἐπαλειφομένους πρὸς ἐνεργεζέραν χωρεῖν καὶ ἀκαταπληκτοτέραν διδασκαλίαν, ὡς μὴ ἐν παραβύστῳ, ἀλλὰ καὶ αὖθις ἐν τῷ ἱερῷ, ἀφ' οὗ συνελήφθησαν, καὶ ὅποι δὴ ἀλλαχοῦ τὸν Χριστὸν εὐαγγελίζεσθαι, τὸ μάταιον τῶν ἐπηρεασάντων τοῖς ἀκροαταῖς ἐμπομπεύοντας.

ΚΕΦΑΛΑΙΟΝ. Ζ'.

Περὶ χειροτονίας τῶν ἑπτὰ διακόνων.

ΚΕΦ. VI, 1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν
2 τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ θεοῦ, διακονεῖν τραπέζαις.

Οὐκ ἐν ταῖς αὐταῖς ἐκείναις ἡμέραις, ἀλλ' ἔν τισι τῶν μετ' ἐκείνας. Τῷ γραφικῷ δὲ ἔθει, ἀρχὴν διηγήσεως καταβαλέσθαι μέλλων, οὕτω πρόεισι καὶ νῦν. *Ἑλληνιστὰς* δὲ οὐ τὴν θρησκείαν, ἀλλὰ τοὺς Ἑλληνιστὶ φθεγγομένους καλεῖ. Διὰ δὲ τοῦ γογγυσμοῦ, ἄλλου πειρασμοῦ εἶδος ἐξαγγέλλει, οὐκ ἀπὸ τῶν ἔξωθεν, ἀλλὰ ἀπὸ τῶν ἐντός. Τοῦτο γὰρ τὸ δόκιμον τῶν ἀποστόλων παρισᾷ, πανταχόθεν μὲν πολεμουμένων ἀπὸ τῶν ἐντὸς καὶ ἐκτὸς, πάντοθεν δὲ τὸ ἀριστεῖον ἀποφερομένων. Προσκαλεσάμενοι γὰρ οἱ δώδεκα τὸ πλῆθος, τοὺς καὶ ἀπολαύειν μέλλοντας τῆς προσασίας τῶν προχειριζομένων, αὐτοῖς ἐπιτρέπουσι τὴν ἐκλογὴν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναξίους κρίνοντες ἑαυτοὺς περὶ τραπεζοποιΐαν ἀπασχολεῖσθαι, τοῦ κατὰ θεὸν λόγου ὠλιγωρηκότας. Ὅθεν τοὺς ἐκλεγέντας εἰς διακόνους ἐχειροτόνησαν, οὐ κατὰ τὸν νῦν ἐν ταῖς ἐκκλησίαις βαθμὸν, ἀλλ' εἰς τὸ διανέμειν μετὰ ἀκριβείας καὶ ὀρφανοῖς καὶ χήραις τὰ πρὸς διατροφὴν καὶ μὴ κατημελημένως· μάλιστα δὲ χήραις καὶ ὀρφανοῖς, δι' οὓς μάλιστα ὁ γογγυσμός. *Διακονίαν* δὲ καλεῖ τὴν ἐλεημοσύνην, ὡς καὶ τοὺς ποιοῦντας θεραπεύουσαν, καὶ τοὺς εὐεργετουμένους σεμνύνουσαν. Οὐκ ἦν δὲ κακίας τὸ παροραθῆναι τὰς χήρας, ἀλλὰ ῥᾳθυμίας τῶν πολλῶν. Διὸ καὶ φροντίδος ἀξιωθὲν, ἐπαύσατο τὸ λυποῦν. Ἢ καὶ τὴν δημοσίαν ὑπηρεσίαν· τοῦτο γὰρ τὸ τῆς διακονίας ὄνομα δηλοῦν βούλεται. *Λήϊτον* γὰρ τὸ δημόσιον καλοῦσιν Ἕλληνες ταμεῖον, παρόσον εἰς αὐτὸ πᾶς τις κατεσπευσμένως ἴεται προσφέρειν, ἃ φιλοτίμως αὐτῷ εὐπόρηται, πρὸς χορηγίαν κοινήν.

3 Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρ-
τυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ
σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης·
4 ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου
5 προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον
παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον,
ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ
Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τί-
μωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον, προσήλυτον
6 Ἀντιοχέα· οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων·
καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.
7 Καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ
ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα· πολύς
τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

Πεπληρωμένους πνεύματος ἁγίου καὶ σοφίας εἶναι τοὺς ἐκλεχθησομένους ἡ τῶν ἀποστόλων ἐπίσκηψις βούλεται. Οὐ γὰρ τῶν τυχόντων, κακηγορίαν φέρειν ὀρφανῶν καὶ χηρῶν, ὡς οὐδὲ τῶν ἀναλισκόντων. Κἂν γὰρ μὴ κλέπτης ᾖ, ῥᾴθυμος δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παροράσει ἀπολλὺς πάντα, ἡ θρασὺς καὶ ἐπὶ τῷ τυχόντι παρακινούμενος, οὐδὲν ὄφελος τῆς προστασίας, εἰ μὴ μετὰ ἀνοχῆς τῶν ἐλυάρων. Τοῦτο μέγιστον δεῖγμα φιλοσοφίας. Ηὔξανε δὲ ὁ λόγος τοῦ θεοῦ ἐπὶ τῇ τοιαύτῃ καταβάσει, ὅση τῆς ἐλεημοσύνης δεικνὺς ἡ ἰσχὺς, ὡς καὶ τῶν ἱερέων τοῦ συστήματος μὴ ἀστοχῆσαι τῆς προσλήψεως.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἰουδαίων ἐπανάστασις καὶ συκοφαντία κατὰ Στεφάνου, αὐτοῦ τε δημηγορία περὶ τῆς πρὸς Ἀβραὰμ διαθήκης τοῦ θεοῦ, καὶ περὶ τῶν δώδεκα πατριαρχῶν· ἐν ᾧ περὶ τοῦ λιμοῦ καὶ τῆς πυρωνίας, καὶ τοῦ ἀναγνωρισμοῦ τῷ υἱῶν Ἰακὼβ, καὶ περὶ τῆς γενέσεως Μωσέως, καὶ τῆς πρὸς αὐτὸν γενομένης θεοφανείας ἐν ὄρει Σινᾷ· περὶ τῆς ἐξόδου καὶ μοσχοποιίας τοῦ Ἰσραὴλ ἄχρι χρόνων Σολομῶντος καὶ τῆς τοῦ ναοῦ κατασκευῆς· ὁμολογία τῆς ὑπερουρανίου δόξης Ἰησοῦ Χριστοῦ, ἀποκαλυφθείσης Στεφάνῳ, ἐφ' ᾗ λιθόλευστος γεγονὼς ὁ αὐτὸς Στέφανος εὐσεβῶς ἐκοιμήθη.

8 Στέφανος δὲ, πλήρης πίστεως καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

Κοινῆς οὔσης τῆς χειροτονίας τῶν ἑπτὰ, οὗτος τῷ ἐπιτηδειο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρῳ τῆς ἐκλογῆς πλείονα τὴν χάριν ἐπεσπάσατο. Ὁ γὰρ πρὸ τῆς χειροτονίας τέρατα μὴ ποιῶν, ἅτε μηδὲ διάδηλος ὤν, ὅτε διὰ τῆς χειροτονίας γνώριμος κατέστη, τότε καὶ τὸ ἐπὶ τῇ χειροτονίᾳ χάρισμα διεδείκνυτο, ἵνα φανερὸν ᾖ, ὅτι οὐκ ἀρκεῖ μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας εἰς χάριτος προσθήκην, κατὰ τὸ διάφορον τῶν δεχομένων ἐξ ἑτοιμότητος.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς
λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλε-
ξανδρέων, καὶ τῶν ἀπὸ τῆς Κιλικίας καὶ Ἀσίας,
10 συζητοῦντες τῷ Στεφάνῳ· καὶ οὐκ ἴσχυον ἀντιστῆ-
11 ναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Τότε
ὑπέβαλον ἄνδρας, λέγοντας· Ὅτι ἀκηκόαμεν αὐτοῦ
λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν
12 θεόν. Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυ-
τέρους καὶ τοὺς γραμματεῖς,

Ἀνάστασιν πάλιν τὸν παροξυσμὸν αὐτῶν φησὶ καὶ τὴν ὁρμὴν, οὐ μόνον ἀφ' ἑαυτῶν, ἀλλὰ καὶ ἐξ ἑτέρου πλήθους, τάχα συζητεῖν ἱκανοῦ καὶ σοφιστεύειν, Λιβερτίνων, καὶ Ἀλεξανδρέων, καὶ Κυρηναίων, καὶ Κιλίκων, καὶ Ἀσιανῶν. Καὶ ὥςπερ δι' ἑτέρου πλήθους ἡ συζήτησις, οὕτω καὶ δι' ἑτέρων ἡ κατηγορία, καὶ τὸ σχῆμα δολοπλόκων καὶ ἀπεγνωσμένων. Κωλυθέντες γὰρ ὑπὸ Γαμαλιὴλ, μηδὲν κατὰ τῶν ἀποστόλων ἐπιχειρεῖν, καὶ μηδὲν ἔχοντες κατ' ἐκείνων ἐγκαλεῖν, Στεφάνῳ τανῦν συκοφαντικῶς ἐπιτίθενται, ἀστοχήσαντες τῆς διὰ τῶν λογολεσχῶν συζητήσεως. Λιβερτίνους δὲ τοὺς Ῥωμαίους καλεῖσθαι τάχα φησὶν, ἀπὸ Λιβίας τοῦ Αὐγούστου γυναικὸς ἐπιφημίσαντας ἑαυτούς· καθότι καὶ περιφανὴς ἡ γυνὴ, καὶ δι' ἀρετὴν ςεργομένη διαφερόντως ὑπὸ Αὐγούστου· ᾧ δὴ καὶ αὐτὴ εἰς ἀντάμειψιν, τῷ τάφῳ τοῦ Αὐγούςου προσκαρτεροῦσα διέζησεν.—ΑΛΛΩΣ. Λιβερτίνων, καὶ Κυρηναίων, τῶν ἐπέκεινα Ἀλεξανδρείας, ἅτε περὶ σοφιστικὴν τὸ κράτος ἀποφερομένων παρ' Ἑβραίοις· ὧν καὶ διάφοροι συναγωγαὶ ἐν Ἱερουσαλὴμ, κατὰ ἔθνη ἐναυλι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζομένων. Διὸ καὶ συναγωγὰς εἶχον, τόπους ἀφωρισμένους ἐπ᾽ ἀναγνώσει τῶν Μωσέως νόμων. Πολλοὶ γὰρ τῶν ἐπιδημούντων προσκυνήσεως χάριν εἰς Ἱερουσαλὴμ, μάλιστα κατὰ τὸ πάσχα, ἃ οὐκ ἐξὴν ἔξω τελεῖν τῆς Ἱερουσαλὴμ, συνδιέτριβον ἐν αὐτῇ. Ὡς ἂν οὖν μὴ συνεχῶς ἀναγκάζωνται ἀπὸ πατρίδων ἀποδημεῖν, φοιτῶντες εἰς Ἱερουσαλὴμ προσήδρευον ἐκεῖ. Λιβερτίνους δὲ τοὺς Ῥωμαίων ἀπελευθέρους ἐκάλουν. Στεφάνου τοίνυν ἀπαξιοῦντος αὐτοῖς, ἅτε πεπωρωμένοις τῇ καρδίᾳ, προσομιλεῖν, αὐτοὶ τῇ ἑαυτῶν ματαιότητι θαῤῥοῦντες, ἐπὶ τὸ συζητεῖν αὐτῷ προεφέροντο. Πρὸς αὐτὸν δὲ μόνον, οὐ πρὸς ἕτερον, τὸ μὲν, φθόνῳ τῶν ὑπ᾽ αὐτοῦ τελουμένων σημείων, ὡς ἂν, εἴπως εἰς ἀπορίαν αὐτὸν παραστήσειαν, αἰσχύνην αὐτῷ προσπορίσωσι, τῶν προσβευομένων ἀμαθῶς ἔχοντι· τὸ δὲ, καὶ ὡς, τῷ περισπασμῷ τῆς πρὸς αὐτοὺς συζητήσεως, σχολὴν αὐτῷ τῶν σημείων περιποιοῖντο. Διὰ ταῦτα οὖν ἐπικειμένων αὐτῶν, καὶ πρὸς τούτοις εἰπεῖντι ἐπαγόντων φιλοπονήρως κατὰ τοῦ νόμου, δὴ καὶ ἡ πᾶσα σπουδὴ, αὐτὸς φθάσας τὸ φιλοπόνηρον αὐτῶν, τοῦτο ποιεῖ κατ᾽ ἀρχὰς, ἀγωνιστικώτερον αὐτοῖς ἀρχὴν ἐφορμήσας, καὶ τῇ δυνάμει τοῦ ἐν αὐτῷ θείου πνεύματος καὶ τῆς σοφίας εἰς ἀφασίαν αὐτοὺς συνελάσας· εἶτα καὶ πρὸς ἃ ἐβούλοντο οὗτοι αἰνιγματωδέστερον συμβαλὼν, ὡς οὐδὲ πρὸς τοῦτο συνετῶς ἔχειν. Διά τοι τοῦτο καὶ ληστρικώτερον τὸ ἀπὸ τοῦδε ἐχώρουν ἤδη, καὶ αὐτὸς τὸ ἀπὸ τοῦδε γυμνότατα τὸ δι᾽ ἐπιθυμίας αὐτοῖς ἐπετίθει. Τί τοῦτος; Τὴν τοῦ νόμου κατάπαυσιν· ἣν οὐκ ἔλεγε μὲν, ἠνίττετο δέ· ἐπεὶ εἰ φανερῶς ἔλεγεν, οὐκ ἂν ἐδέοντο τῶν ψευδομαρτύρων· ὅπερ αὐτῷ μὲν τὸ ποθούμενον τέλος, ἐκείνοις δὲ τὸν ὄλεθρον ἐθησαύρισεν.

12 Καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον·

Πανταχοῦ τοῦ ληστρικοῦ ἔχονται· Χριστὸν μὲν μετὰ φανώντων ἀνθρώπων ὑπὸ λαμπάσι καὶ φανοῖς καὶ μαχαιροφορούντων συλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαμβάνοντες· Πέτρον δὲ καὶ τοὺς λοιποὺς ἀποστόλους, ἀπὸ τοῦ ἱεροῦ· καὶ νῦν Στέφανον ἀπὸ τοῦ διδασκαλικοῦ τόπου ἐπὶ τὸ συνέδριον κριθησόμενον ἁρπάζοντες.

13 Ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄν-
θρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν
14 κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου. Ἀκη-
κόαμεν γὰρ αὐτοῦ λέγοντος· Ὅτι Ἰησοῦς ὁ Ναζω-
ραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλ-
λάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωσῆς.

Ὑπέβαλον ἄνδρας λέγοντας· *Ὅτι ἀκηκόαμεν αὐτοῦ ῥήματα βλάσφημα λαλοῦντος εἰς Μωϋσῆν καὶ τὸν θεόν.* Τίνα δὲ τὰ ῥήματα; *Ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον.* Καὶ μὴν εἴρηκε τοῦτο Στέφανος, εἰ καὶ μὴ γυμνῶς οὕτω. Πῶς οὖν ὑποβολιμαῖοι οὗτοι καὶ ψευδομάρτυρες; Ὅτι οὐχ ὥσπερ ἤκουσαν, καὶ ἐληρώδουν. Ἀλλ' ἐπειδὴ ἄλλως μὲν ἤκουσαν, ἄλλως δὲ νῦν αὐτοὶ προϋχώρουν, εἰκότως καὶ ψευδομάρτυρες ἀναγράφονται. Ὡς γὰρ ἐπὶ Χριστοῦ τὸ δυνάμενον καταλῦσαι τὸν ναὸν (α), ψευδομαρτυρία· (οὐ γὰρ Χριστὸς εἶπε, *Λύσω*, ἀλλὰ, *Λύσατε*, ἐκείνοις τὸ λῦσαι, οὐχ ἑαυτῷ ἀνατιθείς, δι' ὃ καὶ ψευδεῖς·) οὕτω καὶ νῦν ψευδεῖς, οἱ τῷ Ναζωραίῳ τὸν Στέφανον φάσκοντες τὴν κατάλυσιν τοῦ νόμου καὶ τοῦ τόπου ἀνατιθέναι· καὶ τοῦτο ποιεῖν ἄνδρα Ναζωραῖον, δηλονότι αὐτοχειρί, καὶ οὐ θεόν, καὶ διὰ Ῥωμαϊκῶν στρατοπέδων. Τὰ δὲ Μωϋσέως ἔθη προδήλως αὐτὸς ὁ θεός, καὶ διὰ τῶν αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, ἐπὶ τὸ κρεῖττον ἠλλοίωσε. Τὸ δέ, *ὁ Ναζωραῖος*, ἀνειδιστικῶς· Στέφανος δὲ οὐδαμοῦ Ναζωραῖον εἴρηκε τὸν Χριστὸν, εἰ μὴ οἱ Ἑβραίων ἄρχοντες· αὐτὸς δὲ σεβάσμιον ἀεὶ τὸν Χριστὸν καὶ δίκαιον ὑπὸ προφητῶν καταγγελλόμενον, καὶ συμπαρόντα ἀεὶ τῷ θεῷ, ὡς δῆλον καὶ ἀπὸ τῶν προκειμένων αὐτοῦ λόγων, οἷς καὶ συναπῆλθε, τοῦ μοχθηροῦ πούτου ζῆν ἀπολυθείς. *Καταλύσει τὸν τόπον τοῦτον.*] Πολ-

(α) Ἰωαν. Β', 19. Ματθ. ΚΣ', 61.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λὴ γὰρ ἦν αὐτοῖς εὐλάβεια περὶ τοῦ ναοῦ, ἅτε διὰ τοῦτο καὶ μετοικεῖν βουλομένοις. Διπλῆ δὲ ἡ κατηγορία· εἰ ἀλλάξει τὰ ἔθη, καὶ ἕτερα ἀντεισάξει. Προεβάλλετο δὲ πανταχοῦ ὁ Μωσῆς, ἐπειδὴ τὰ τοῦ θεοῦ οὐ σφόδρα ἔμελλεν αὐτοῖς, ὡς τὰ Μωσέως. Οὕτως ὅλως ἔζων πρὸς μόνην τὴν τοῦ πλήθους δόξαν.

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

ΚΕΦ. VII, 1 Εἶπε δὲ ὁ ἀρχιερεύς· Εἰ ἄρα ταῦτα οὕτως ἔχει;

Εἶδον τὸ πρόσωπον αὐτοῦ.] Οὕτως ἐστι καὶ ἐν ἐλάττονι βαθμῷ ὄντα, ἐπίχαριν καὶ λαμπρὸν ὁρᾶσθαι. Ἵνα οὖν πληγῶσιν οἷς ἔμελλεν ἐρεῖν, τῷ καταπληκτικῷ τοῦ προσώπου εἰς τὸ τῶν λόγων εὐπαράδεκτον προοιμιάζει.

2 Ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· Ὅρα αὐτὸν οὐκ ἐπιτρέχοντα τῷ διδάσκειν, ἀλλ' ἀναγκαζόμενον ὑπὸ τῶν ζητούντων· καὶ ἐπειδὴ ἐκράτει τῷ λόγῳ καὶ τοῖς σημείοις, ἀφόρητος ἦν αὐτοῖς. Ἡ δὲ ψευδομαρτυρία τῶν μισθωθέντων εἰσήγετο, ἵνα μὴ δόξῃ τὸ πρᾶγμα ἐπήρεια εἶναι. Τὸν μὲν γὰρ θεὸν οὐκ ἐφοβοῦντο, πρὸς δὲ τὴν τῶν ἀνθρώπων δόξαν ἐπέβλεπον. Σοφὸν δὲ τῷ ὄντι καὶ μεγαλοφροσύνης μεστὸν τὸ προοίμιον. Τῇ γὰρ τῶν ὀνομάτων οἰκειώσει βούλεται παριστᾶν, ὡς πρὸς τοὺς ἀδελφοὺς καὶ πατέρας ὑβριστικόν τι καὶ ἐπιζήμιον εἰσηγεῖσθαι οὐκ ἔμφρονος· ἀλλ' ὃ καὶ δόξαν θεοῖ καὶ κέρδος περιποιεῖν, ἀνδρὸς τοῦτο τὴν φύσιν ἐξακριβοῦντος, καὶ σωτηρίως τοῖς πρὸς οὓς ὁ λόγος ἀποθεγγομένου. Ἀλλ' ἐφ' ὑμῖν, φησίν, οὐδέν ἐστι τοιοῦτο κατανοεῖν. Ὅπερ γὰρ ἐμοὶ ἡ τῶν ἀδελφῶν καὶ πατέρων ὑποβάλλεται κλῆσις, ἀπεναντίας τούτου, ὥς περ ἐπιλελησμένους τῆς κοινῆς φύσεως χωροῦντας ὑμᾶς ἀναθεωρῶ, τοῦ πρὸς ἡμᾶς ἀδιακρίτου μίσους παρευδοκιμεῖν ἐμποιοῦντος ὑμῖν καὶ τὰ πρὸς θείαν ὀρρὴν ἀναγόμενα. Ἵνα γὰρ τ' ἄλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λα ἀφεὶς, τὴν τούτων ὑμῖν ἀναθῶ μνήμην, ἃ θείας οὐκ ἄμοιρα τέλος θεῖναι ῥαπῆς, τὰ δι' ἡμῶν, φημὶ, σημεῖα καὶ τέρατα, ὧν καὶ ὑμεῖς μάρτυρες, οὐκ ἄλλως ἐνεργεῖσθαι κατευοδούμενα. Ἀλλὰ ταῦτα διὰ τῆς τῶν ἀδελφῶν καὶ πατέρων ὑπαινιξάμενον κλήσεως Στέφανον κατειληφότες, σκοπῶμεν ἤδη καὶ τὰ πρὸς τούτοις, οὐ κατὰ τὸ τυχὸν, ἀλλὰ μετὰ πολλῆς κείμενα τῆς ἐνθέου σοφίας.

2 Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν
3 ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο
4 εἰς γῆν, ἣν ἄν σοι δείξω (α). Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν· κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοι-
5 κεῖτε· καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός.

Ὅρα κάνταῦθα, πῶς ἐκ προοιμίων τὴν δόξαν οὐ τῷ ναῷ, οὐ τῷ ἔθνει ἀνατίθησιν, ἀλλὰ μόνῳ θεῷ. Τὸ γὰρ, *ὁ θεὸς τῆς δόξης*, ἀντὶ τοῦ, ὁ δεδοξασμένος εἴρηται θεός. Οὗτος δὲ ὁ δεδοξασμένος, ἐξ ἀμηχάνων εὐμήχανα δρῶν, καὶ τοὺς ἀτίμους ἐντίμους ποιῶν, καὶ ἡμᾶς ποιήσει. Ὁ γὰρ τοῖς ἐξ αἰῶνος ἀνθρώποις ἀμηχάνῳ σοφίᾳ διαταξάμενος, οὗτος ἐκεῖνος νῦν τὰ δόξαντα τούτοις ἀμήχανα ἐπὶ τὸ εὐμήχανον προάγειν βεβούληται. Καὶ ἵνα τοῦτο πιστὸν ᾖ, Ἀβραὰμ τῷ λόγῳ παράγεται καὶ ἡ κατ' αὐτὸν ἱστορία, ὃς οὐκ ἐν ναῷ, οὐ διὰ θυσιῶν, τῆς θεοῦ ἐμφανείας ἠξίωται ἐν τῇ Μεσοποταμίᾳ. Ταῦτα δὲ προκομίζει, ὡς ἤδη εἴρηται, παριστῶν, ὡς ὁ δεδοξασμένος θεὸς, ὅπερ ἐπ' ἐκείνων, καὶ ἐφ' ἡμῶν δυνατὸς ποιῆσαι, καὶ ἐξ ἀφανείας εἰς ἐμφάνειαν περιστῆσαι. Καίτοιγε πολλῶν ἐπιβούλως αὐτῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἐθνῶν καὶ βα-

(α) Γενεσ. ΙΒ', 1.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σιλέων προσενεχθέντων, οἱ μὲν ἠφανίσθησαν, ἐπὶ μεῖζον δὲ τὸ ταπεινότερον προῦβη. Εἰ οὖν οὕτως ἐπὶ τούτων ὁ τῆς δόξης θεὸς ᾠκονόμει, σκοπεῖν, φησι, χρὴ μὴ καὶ περὶ ἡμᾶς τὰ ὅμοια ἀποβῇ.—ΑΛΛΩΣ. Ὅρα, πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν, καὶ τέως ἀπὸ τοῦ τόπου, θεῷ τὴν δόξαν, οὐ τῷ τόπῳ προσνέμων. Αὐτὸς γὰρ, ἡ τῆς δόξης πηγὴ, οὐ δεῖται τῆς παρ' ὑμῶν δόξης τῆς διὰ τοῦ ναοῦ. Τῆς Γραφῆς δὲ λεγούσης, Θάῤῥα, τὸν πατέρα τοῦ Ἀβραὰμ, ἐξορμίσαι ἐκ γῆς Χαλδαίων ἐξελθεῖν (α), πῶς νῦν Στέφανος τῷ Ἀβραὰμ ἀνατίθησι τὸν χρηματισμὸν τοῦτον; Πρὸς ὅ ἐστιν εἰπεῖν, ὡς τῷ Ἀβραὰμ μὲν ὁ χρηματισμὸς γέγονεν· ἀλλ' ἐπειδὴ παιδὸς ὁρμῇ ἐκ χρηματισμοῦ οὐκ εἶχεν ἀντιλέγειν κἂν πατὴρ, τῷ ὑποδείγματι τούτῳ εἰς ἀπείθειαν ἀποσκάπτων τοὺς νῦν, οὕτω προάγει τὸν λόγον. Πῶς γὰρ οὐκ ἀπειθεῖν ἐξελέγχονται, εἰ Θάῤῥα μὲν παιδὸς οὐκ ἀντεῖπεν ὁρμῇ, αὐτοὶ δὲ μετὰ θεοσημειῶν πεῖραν οὐ μόνον ἀπειθοῦντες, ἀλλὰ καὶ φθόνῳ πρὸς φόνον τῶν ταῖς θεοσημείαις δυξάζεσθαι ἀξίων, δυσμενῶς προσφερόμενοι διατελοῦσι;

5 Καὶ ἐπηγγείλατο, δοῦναι αὐτῷ εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος
6 αὐτῷ τέκνου. Ἐλάλησε δὲ οὕτως ὁ θεός· « Ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσιν ἔτη τετρα-
7 κόσια· καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ θεός· καὶ μετὰ ταῦτα ἐξελεύσονται,
8 καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ (β). » Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησε τὸν Ἰσαὰκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ (γ)· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακὼβ, καὶ ὁ Ἰακὼβ
9 τοὺς δώδεκα πατριάρχας. Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ, ἀπέδοντο εἰς Αἴγυπτον (δ)·

(α) Γενεσ. ΙΑ' 31. (β) Γενεσ. ΙΕ, 13· 14. (γ) Γενεσ. ΚΑ, 4.
(δ) Γενεσ. ΑΖ', 28.

Δημόσιο Κεντρικό Βιβλιοθήκη Βαρείας

10 καὶ ἦν ὁ θεὸς μετ' αὐτοῦ· καὶ ἐξείλετο αὐτὸν ἐκ
πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν
καὶ σοφίαν ἐναντίον Φαραὼ, βασιλέως Αἰγύπτου,
καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον,
11 καὶ ὅλον τὸν οἶκον αὐτοῦ(α). Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην
τὴν γῆν Αἰγύπτου καὶ Χαναὰν, καὶ θλῖψις μεγάλη·
καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.
12 Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ,
13 ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον· καὶ ἐν τῷ
δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ,
καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰω-
14 σήφ(β). Ἀποστείλας δὲ Ἰωσὴφ, μετεκαλέσατο τὸν
πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν,
15 ἐν ψυχαῖς ἑβδομήκοντα πέντε (γ). Κατέβη δὲ Ἰακὼβ
εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέ-
16 ρες ἡμῶν. Καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέ-
θησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς
17 ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ(δ). Κα-
θὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμο-
σεν ὁ θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπλη-
18 θύνθη ἐν Αἰγύπτῳ· ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος,
ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ (ε).

Ἐκ πολλῶν διὰ τῆς προκειμένης δημηγορίας ὁ μακάριος Στέφανος ἀπελέγχει καὶ τὴν ἑαυτοῦ πρὸς τοὺς Ἰουδαίους εὐμένειαν, καὶ τὴν ἐκείνων πρὸς αὐτὸν ἀγριότητα. Τὸ γὰρ ὡς πρὸς ἀδελφοὺς καὶ πατέρας ἀποτείνειν τὸν λόγον, τί ἂν ἄλλο διὰ τούτων τῶν ὀνομάτων δείκνυσιν, ἢ τὸ κατ' ἀξίαν τῆς συγγενείας πρὸς αὐτοὺς φέρεσθαι; τοὺς Ἰουδαίους δὲ μικρὸν τούτῳ προσανέχοντας, τοῖς δὲ δι' αὐτοῦ μᾶλλον σημείοις ὑποβλεπτικῶς προσκειμένους; Διὸ καὶ Στέφανος τῇ ἐκείνων ἀπὸ χρώματος κακεντρεχείᾳ παῤῥησιαστικώτερον ἐπεμβαίνων κατείληπται. Καὶ δείκνυσι τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν,

(α) Γενεσ. ΜΑ, 40. (β) Γενεσ. ΜΕ, 1, καὶ ἑξῆς. (γ) Γενεσ. ΜΣ', 27.
(δ) Γενεσ. ΚΓ'. Μθ'. (ε) Ἐξοδ. Α, 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφ' ᾗ μέγα ἐφρόνουν, πρὸ τοῦ τόπου γενομένην, πρὸ τῆς περιτομῆς, πρὸ τῆς θυσίας, πρὸ τοῦ ναοῦ· καὶ ὅτι οὐ κατ' ἀξίαν οὗτοι ἔλαβον, οὐδὲ περιτομὴν, οὐδὲ νόμον· ἀλλὰ τῆς ὑπακοῆς μόνης ὁ μισθὸς ἦν ἡ γῆ μόνη· καὶ οὐδὲ, περιτομῆς δοθείσης, ἡ ἐπαγγελία πληροῦται· καὶ ὅτι τύποι ἦσαν ταῦτα. Σκόπει δὲ ὅτι, εἰ ὁ πατὴρ Θάρρα οὐκ ἐκοινώνησε τῷ υἱῷ Ἀβραὰμ τῆς ἀποδημίας ἀπὸ τῶν Χαλδαίων διὰ τὸ ἀνάξιος εἶναι, πολλῷ μᾶλλον τὰ παιδία, κἂν δόξωσιν ἐπὶ πολὺ προελθεῖν τῆς ὁδοῦ. Ἀβραὰμ μὲν οὖν οὕτω πειθήνιος ἐγένετο, ὡς καὶ γένος καὶ πατρίδα ἀπὸ χρηματισμοῦ ψιλοῦ ἐκλιπεῖν. Εἰ δὲ οὗτος οὕτω, πῶς οὗτοι, ἐν πᾶσιν ἀπειθεῖς καταλαμβανόμενοι, εἰς τέκνα τοῦ Ἀβραὰμ λογισθήσονται; Οὐ γὰρ ἡ ζωώδης σύστασις, ἀλλ' ἡ τῶν τρόπων μίμησις τὴν υἱότητα προξενεῖ· ἐπεὶ οὕτως καὶ τέρασι τὸ γνήσιον τοῖς δυστυχῶς φύσασι προσνεμηθείη. Οὕτω κἂν εἰ μὴ τῇ λέξει προελθὼν, τῇ γοῦν τοῦ συντετμημένου λόγου πολυνοίᾳ προσᾶς, καὶ μέχρι τοῦ κατὰ Χριστὸν πάθους τὴν ἀναίδειαν αὐτῶν ἀπελέγξας, ἔπαθεν ὅσα εἰκὸς τὸν ἐλέγχοντα κακοὺς παθεῖν. *Καὶ ἐπηγγείλατο δοῦναι αὐτῷ.*] Ἀπὸ τούτων λοιπὸν ἡ κατὰ τὸν Ἀβραὰμ ἱστορία πρόσεισιν, ἥτις ἅπασα τὸ προσκαρτερικὸν ἐπὶ ταῖς τῶν ἐπαγγελιῶν ἐκβάσεσι τοῦ πατριάρχου διεξιοῦσα, τὸν Ἀβραὰμ μὲν καὶ τοὺς κατ' αὐτὸν, τοὺς περὶ τὰς θείας ἐπαγγελίας καρτερικοὺς, ἀοιδίμους ἀποφαίνει, τοὺς ὀλιγώρους δὲ, ὁμοίους τῶν παρόντων τηνικαῦτα ἀκροατῶν, οἳ καὶ αὐτοὶ τῶν αὐτῶν ἐκείνοις ἀκληρημάτων ἀνυπερθέτως τεύξονται, ῥυΐσκομένων ἐκ τῶν χειρῶν αὐτῶν τῶν ἐλπιζομένων αὐτοῖς ἀγαθῶν. Ἅπερ ἅπαντα ὅμως μικρὰ, παραμετρούμενα πρὸς τὸ ἔσχατον κατὰ Χριστοῦ τόλμημα. Διὸ καὶ σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ, καὶ τοῖς ὠσὶ παραβεβυσμένοι· δι' ἃ καὶ φωνεῖς προφητῶν ἀπηλέγχθησαν, καὶ αὐτοῦ τοῦ Χριστοῦ, ὃς καὶ τὸν ὄλεθρον καὶ τὴν ἐσχάτην αὐτοῖς βραβεύσει διασποράν. Ἃ μὲν οὖν ἐνθεωρηθῆναι εἰκὸς τῶν κατὰ τὸν συντετμημένον λόγον τῆς τοῦ θεοσόφου Στεφάνου σοφῆς δη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηγορίας τεθησαυρισμένων, τοσαῦτα· ὧν καὶ τὸ ἡμέτερον εὐτελὲς κατὰ τὸ ἐναμιλλον τῆς προσούσης ἡμῖν καθαριότητος λαβὸν τὴν σύνεσιν τῇδε κατετάξαμεν, συνελόντες πρὸς τῇ ἀρχῇ καὶ τὸ πέρας, αὐτῷ τε λόγῳ, ἀφ' οὗ καὶ τὸ θεόβλυστον τοῦτο ἐρρύη νᾶμα, ἐπαναπαύσαντες. Ἀλλὰ γὰρ σοφὸν ἤδη καὶ τυῖς κατὰ μέρος χρήσασθαι, κατὰ τὸ ἡμῖν ἐφικτὸν ἐμφιλοχωροῦσιν. Οὐ γὰρ μάτην εἰς ἐπίῤῥωσιν παρελήφθη τοῦ δημηγοροῦντος ἡ κατὰ τὸν Ἀβραὰμ καὶ τοὺς καθεξῆς ἀπογόνους αὐτοῦ ἱστορία· ἀλλ' ὡς ἂν δειχθῇ καὶ τῶν προγόνων ἡ περὶ τὸ θεῖον εὐπείθεια, καὶ τῶν ἀπογόνων ἡ ἐκ σκαιοῦ τρόπου ἀπείθεια. Καὶ πρῶτον μὲν ὑπόδειγμα ἐξ Ἀβραὰμ, τὸ μὴ ἐπιταχύνειν τὰ ταῖς θείαις ἐμφερόμενα ἐπαγγελίαις· ὅτι μηδὲ Ἀβραὰμ τὴν ἀπ' Αἰγύπτου τῶν ἀπογόνων ἔξοδον, τῆς κατοχῆς αὐτῶν ἐπὶ τετρακόσια ἔτη παραταθῆναι δηλωθείσης, καὶ μετὰ πολλῆς τῆς κακώσεως καὶ δουλώσεως· δουλώσεως δὲ οὐ τῆς τυχούσης, ἀλλὰ τῆς ἀνυποίστου· ὅτι μηδὲ ὡς δούλοις, ἀλλ' ὡς ἐχθροῖς ἐχρῶντο. Καὶ οὐ δήπου δέησις ἐξ Ἀβραὰμ συντέμνειν τὸν χρόνον, ἀλλ' ὅτι μόνον μικρὸν εἰς ἀναψυχὴν ἢ ἀντέκτισις πρὸς τοὺς κακοῦντας, ἐξ αὐτοῦ τούτου τοῦ κρίνειν ἐπαγγειλαμένου τοὺς ἐχθρωδῶς τοὺς μηδὲν ἠδικηκότας ἐπανηρημένους. Τὸ δὲ ἀπὸ Περσίδος εἰς Παλαιστίνην τὰς ἐπαγγελίας περαίνεσθαι προσδοκᾶν, καὶ οὐδὲ διὰ τὸ μακροδαπὲς εἰς τὸ ἀδύνατον περιϊστᾶν τὴν ἐπαγγελίαν, τὸ πᾶν ἀναθέμενον τῇ τοῦ ἐπαγγειλαμένου δυνάμει, πάσης τῆς πρὸς θεὸν σύμβουλον πεποιθήσεως; Πρὸς τούτοις ὁ ζῆλος τῶν ἀδελφῶν πρὸς τὸν Ἰωσὴφ, καὶ ἀμνησικακία, ἐν τῷ μὴ ἀνταποδοῦναι, καίπερ δυνηθέντα, τῶν κεκακωμένων, ἀλλ' ἀγαθοῖς ἀνταμείψασθαι. Μετὰ ταῦτα ἔλεγχος τῶν ἀπροφασίστως κατὰ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ λυσσωδῶς κινουμένων.

19 Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι.

Κατασοφισάμενος, τουτέστι, πανούργοις ἐπινοίαις αὐτῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περιγενέσθαι βουλευσάμενος· *σοφισμὸς* γάρ ἐστι βεβιασμένη ἐξήγησις· διὸ ὧδε ἡ ἔμφασις λέγει, τὸ δικαίως αὐτοῖς ἐπιθέσθαι· ὅθεν καὶ *σοφιστὰς* τοὺς γόητας καλοῦσιν, ὡς τὸ ἀληθὲς δι' ἀπάτης καὶ σοφισμῶν κρύπτοντας. Ἐφεξῆς τῶν περὶ Ἀβραὰμ εἰρημένων ἐκ χρηματισμοῦ, τὴν τῶν ἀπογόνων αὐτοῦ ὑπὸ Αἰγυπτίων δηλοῖ ταλαιπωρίαν, ἧς καὶ ἀντισήκωσίς ἐστιν ἀναψύχουσα ὁ τῶν Αἰγυπτίων ὄλεθρος, ὃς ὑπ' αὐτοῦ τοῦ θεοῦ αὐτοῖς κατὰ τὴν Ἐρυθρὰν θάλασσαν ἐπηρτῆσθαι ὑπεσημαίνετο, ὡς μὴ τῇ ἐπιφορᾷ τῶν ἀνιώντων, ἀπόγνωσις τῶν σωτηρίων αἰτίαν τοῦ πρὸς ἀπιστίαν ἐξολισθῆσαι παράσχῃ. Σκόπει καὶ τὸ ἐχέγγυον τῆς πίστεως τῶν ἐπαγγελλομένων. Ποῖον τοῦτο; Τὴν περιτομὴν τῶν γεννητικῶν μορίων αὐτοῖς μόνοις, οὐκ ἄλλοις, γνώριμον τοῖς μὴ πεπονθόσιν. Ἐξ ὧν δὴ πάντων τὸ πειθήνιον ὅρα τῶν χρηματιζομένων. Ἀλλὰ καὶ καθ' ὃν χρόνον ἡ τῶν κακουχουμένων ἤγγιζεν ἔξοδος, ἐπὶ τὸ μᾶλλον ἡ τῶν κακούντων ὕβρις προβᾶσα, τὴν τῶν ἀῤῥένων ταῖς μαίαις φθορὰν εἰσηγήσατο (α). Ἀλλ' ἐπὶ μὲν ταῖς ἄλλαις κακώσεσι, τὸ πλέον τοὺς κακουμένους πληθύνεσθαι ἀντεξήγετο· ἐνταῦθα δὲ, πρὸς τῷ διαμαρτεῖν τῶν κακουργημάτων, καὶ αὐτὸν Μωσέα, τὸν ὁλοθρεύσοντα αὐτούς, παρὰ προσδοκίαν διασῴζει, καὶ βασιλείου τροφῆς ἀξιοῖ καὶ ἐπιμελείας (β). Πρὸς τί δὲ παρελήφθη καὶ τοῦτο; Πρὸς ὑποδήλωσιν τοῦ καὶ νῦν μὴ ἀπογινώσκειν, τοὺς κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ μαθητῶν ὁπλιζομένους, τῶν ὁμοίων τυχεῖν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν συλλαμβανομένους. Τὸ δὲ τῆς περιτομῆς σημεῖον ἐπὶ τοῖς γεννητικοῖς μορίοις τοῦτο δηλοῦν βούλεται, τὸ προκάλυμμα τὸ τοῖς γεννάρχαις ἐν τῷ παραδείσῳ, φθόνῳ τοῦ ἀρχεκάκου ὄφεως ὑποφυέν, ἀφ' οὗ καὶ ἀξιοπιστότερος ἔδοξε τοῦ πεποιηκότος θεοῦ περὶ τὴν γεῦσιν τοῦ ξύλου. Τοῦτο ἀναιρεῖσθαι ἡ περιτομὴ εἰσηγήσατο τῷ πρὸς θεὸν τὸ ζῆν μετατάττοντι, κατά μὲν τὴν Μωϋσέως νομοθε-

(α) Ἔξοδ. Α', 15—22. (β) Ἔξοδ. Β', 1—10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίαν τῶν ἀπὸ γενεᾶς ἐθίμων ἐπιτάττουσα τὴν περιαίρεσιν. Ἔτι δὲ καὶ καιρὸν τοῦτο τῆς κατὰ Χριστὸν ἐπιδημίας προβάλλεται, καθ' ὃν τὰ σκιώδη πάντα καὶ τυπικὰ ἐπὶ τὴν κατὰ τὸ εὐαγγέλιον ἀλήθειαν μεταφέρονται. Ὅθεν τοὺς οὕτω μεταποιεῖσθαι μὴ ἀνεχομένους εἰς σκληροτραχήλους καὶ ἀπεριτμήτους προβαίνων ἀπεικάσει· σκληροτραχήλους μὲν, πρὸς τὴν τοῦ θείου πνεύματος ὑποταγήν· ἀπεριτμήτους δὲ τὴν καρδίαν καὶ τὰ ὦτα, ὡς μὴ ἀνεχομένους καταλλήλως τοῖς καιροῖς ἀφοσιοῦσθαι τὰ πράγματα. Εἰ δὲ τὸ τοῦ Ἰωσὴφ θαυμαστὸν, ὅτι ὑπ' ἀδελφῶν ἐπράθη, καὶ ἔπωσεν αὐτοὺς ὁ πραθεὶς, τοῦτο θαυμασιώτερον, ὅτι ὁ βασιλεὺς ἔτρεφεν αὐτὸν τὸν μέλλοντα καθαιρήσειν αὐτοῦ τὴν ἀρχήν. Τὸ δὲ ποιεῖν ἐκεῖνον ἔκθετα τὰ βρέφη, δείκνυσι μὴ βουλόμενον φανερῶς τὴν τούτων ἀναίρεσιν ποιεῖσθαι. Καὶ ὅρα ὅτι, δι' ὧν ὁ διάβολος ἐπεχείρει καταλύειν τὴν ἐπαγγελίαν τοῦ θεοῦ, διὰ τούτων ηὔξετο ὁ Ἰσραήλ. Φυγαδεύεται Μωσῆς· ἀλλ' ἐν τῇ φυγαδείᾳ τῆς ὄψεως ἐκείνης ἀξιοῦται, καὶ τὴν δημαγωγίαν ἐγχειρίζεται. Οὕτω καὶ τὸν πραθέντα δοῦλον ποιεῖ βασιλεύειν, ἔνθα ἐνομίζετο δοῦλος. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς ἐν τῷ θανάτῳ τὴν δύναμιν ἐπεδείξατο καὶ τὸ κράτος. Οὕτως εὐμήχανος ὁ θεὸς, καὶ ἀκατάληπτος ἡ πρόνοια αὐτοῦ!

20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ
θεῷ· ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ
21 πατρός αὐτοῦ. Ἐκτεθέντα δὲ αὐτὸν, ἀνείλετο αὐτὸν
ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς
22 υἱόν. Καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυ-
23 πτίων· ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις. Ὡς
δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη
ἐπὶ τὴν καρδίαν αὐτοῦ, ἐπισκέψασθαι τοὺς ἀδελφοὺς
24 αὐτοῦ, τοὺς υἱοὺς Ἰσραήλ. Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον.

Ἐν αὐτῷ τοίνυν τῷ καιρῷ ἐγεννήθη, φησὶ, Μωσῆς, καὶ ἦν

Δημόσιο Κεντρική Βιβλιοθήκη Θεσσαλ

ἀστεῖος τῷ θεῷ, τουτέστιν, εὐάρεστος, ἤτοι θεοφιλής. Ἡ ἀστεῖος κυρίως ὁ ἐν παιδικῇ ἡλικίᾳ κατὰ σῶμα ἀμώμητος. Ἐκτεθέντα δὲ αὐτὸν ἡ θυγάτηρ Φαραὼ ἀνελομένη, πᾶσαν σοφίαν Αἰγυπτίων ἐδίδαξεν. Ἐκ τούτου δῆλον, ὡς οὐκ ἀποβλητέα πάντῃ ἐστὶν ἡ τῶν ἔξωθεν τῆς Γραφῆς παίδευσις. Τρόπῳ γὰρ ἐγκωμίου εἴρηται, *Καὶ ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων.* Καὶ περὶ τῶν τριῶν παίδων καὶ τοῦ Δανιὴλ λέγεται, ὡς ὑπερέβαλλον πάντας ἐν τῇ Χαλδαίων φιλοσοφίᾳ καὶ ταῖς λοιπαῖς ἐπιστήμαις (α). Δεῖ δὲ ἐπ' ὀλίγον αὐταῖς προσέχειν, τῇ θεοπνεύστῳ Γραφῇ ἐμμένοντας. Οὔτε γὰρ Μωϋσῆς, οὔτε οἱ περὶ Ἀνανίαν καὶ Δανιὴλ ἔμαθον ἂν τὴν ξένην παιδείαν, εἰ μὴ ἀνάγκη καὶ βίᾳ δεσποτῶν. Καὶ γὰρ ἐν οὐδενὶ αὐτῇ κέχρηνται, εἰ μή που φαίη ἄν τις, ὅτι καλὸν αὐτὴν μαθεῖν πρὸς τὸ ἀνατρέψαι τὰς ἐκείνων ἀπάτας. *Πατάξας τὸν Αἰγύπτιον.*] Ἀνεῖλε Μωϋσῆς τὸν Αἰγύπτιον οὐ θυμῷ εἴξας, οὐδὲ ὀργῇ κινηθείς, ζήλῳ δέ. Πᾶν δὲ ὃ ἂν γένηται εἰς λόγον θεοῦ, εὐσέβειά ἐστι· κἂν φόνος ᾖ διὰ θεόν, οὐκ ἔστι φόνος. Ὁ γοῦν Φινεές, δύο ἐν μιᾷ χειρὶ φονεύσας, ἤκουσεν· «Ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην» (β). Διάφορος γὰρ ἡ προαίρεσις φονέως καὶ εὐσεβοῦντος, κἂν τὸ γινόμενον πρᾶγμα ἓν. Τὸ τοίνυν γενόμενον διὰ Μωϋσέως, σημεῖον ἦν, ὅτι μέλλει ὁ θεὸς διὰ Μωϋσέως Αἰγυπτίους ἀποκτείνειν, τοὺς δὲ Ἰσραηλίτας, σώζειν. Καὶ ὧδε μὲν τὰ Μωσέως. Θεωρίας δὲ τῆς ἀνωτάτω συνθήσει πάλιν ἡμῖν ὁ λόγος τὴν οἰκονομίαν, τὴν ἐπὶ Χριστῷ. Εὑρὼν γὰρ ὁ Σωτὴρ δεινὴν ὑπομένοντας τὴν πλεονεξίαν τοὺς ἐξ Ἰσραήλ. ἐπεπήδα γὰρ εἰς αὐτοὺς ὥσπερ συντρίβων ὁ σατανᾶς· ἐλεήσας, ἐλευθεροῦν ἐσκέπτετο· ἀπεκτονὼς δὲ τρόπον τινὰ τὸν ἀδικεῖν ἠρημένον, κατέκρυψεν εἰς γῆν, τουτέστιν, ἐν τοῖς ὑποχθονίοις κατέκλεισεν εἰς ᾅδην. Προκατακλείσας τοίνυν, ὥσπερ εἰς ᾅδην,

(α) Δαν. Α', 17—21. (β) Ἀριθ. ΚΕ', 7—13. Ψαλμ. ΡΕ', 30. 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν σατανᾶν ὁ Σωτὴρ, δικαιοσύνης ἐφαίνετο βραβευτὴς τοῖς ἐξ Ἰσραήλ. Οἱ δὲ, ἐφ' οἷς ἔμελλον εὐχαριστεῖν, ἔφασκον· *Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων* (α). Διά τοι τοῦτο καὶ μεταπεφοίτηκεν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, καθάπερ καὶ Μωσῆς μετέβη εἰς γῆν Μαδιὰμ, καὶ τὴν ἐξ ἐθνῶν ἐκάλει συναγωγήν.

25 Ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ
26 δὲ οὐ συνῆκαν. Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰ-
27 πών· Ἄνδρες, ἀδελφοί ἐσε ὑμεῖς· ἵνατί ἀδικεῖτε
28 ἀλλήλους; Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπών· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικα-
29 στὴν ἐφ ἡμᾶς; Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; Ἔφυγε δὲ Μωσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ Μα-
διὰμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

Σκόπει, φησὶ, καὶ ἐντεῦθεν τὸ ἀχάριστον, καὶ πρὸς τοὺς εὐεργέτας ἐπίβουλον τῶν Ἰουδαίων! Μωϋσῆς μὲν γὰρ ὁ μετὰ θυμοῦ ἀνελὼν τὸν ἀδικοῦντα τὸν ὁμοεθνῆ, ἐπεικῶς νῦν προσφέρεται τῷ ἀδικοῦντι· ὁ δὲ, τῇ πατρῴᾳ χρώμενος κατὰ τῶν εὐεργετῶν ἀσελγείᾳ, ἀπώσατο αὐτὸν μᾶλλον ἐνδιαβάλλων, καὶ ἐπὶ ὄλεθρον, τὸν τὸν σωτήριον τῷ ὁμοεθνεῖ φόνον τοῦ Αἰγυπτίου κατεργασάμενον Μωσέα περιστοιχῶν. Ὧ δὴ τρόπῳ καὶ κατὰ Χριστοῦ διεγένοντο, ἐπὶ ταῖς εὐεργεσίαις αὐτοῦ τὸν ὄλεθρον τοῦ εὐεργέτου βουλεύοντες. Διὸ καὶ φασί· *Τί ποιοῦμεν, ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ* (β);

30 Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν
31 φλογὶ πυρὸς βάτου. Ὁ δὲ Μωϋσῆς ἰδὼν, ἐθαύμαζε τὸ ὅραμα· προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγέ-
32 νετο φωνὴ Κυρίου πρὸς αὐτόν· «Ἐγὼ ὁ θεὸς τῶν

(α) Ματθ. ΙΒ', 24. (β) Ἰωαν. ΙΑ, 47.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατέρων σου, ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ.»

Τὸν υἱὸν τοῦ θεοῦ ἄγγελον νῦν καλεῖ, καθάπερ καὶ ἄνθρωπον ἀλλαχοῦ. Αὐτὸς γάρ ἐστιν ὁ μεγάλης βουλῆς ἄγγελος (α). Διὸ καὶ μετ' ὀλίγον δείκνυσιν αὐτὸν λέγοντα τῷ μακαρίῳ Μωϋσεῖ· «Ἐγὼ ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ (β).» Ἐν φλογὶ δὲ πυρὸς βάτου διαδείκνυται· ἐν εἴδει γὰρ πυρὸς καὶ ἐν τῷ ὄρει Σινᾷ ὁ θεὸς διαφαίνεται τὸν νόμον διδούς. Τίς οὖν ὁ λόγος; Πυρὶ τὴν θείαν παρεικάζει φύσιν τὸ γράμμα τὸ ἱερὸν, διὰ τὸ παναλκὲς, ξύλοις τε καὶ πόαις τὸν ἀπὸ γῆς ἄνθρωπον. Φησὶ γάρ που· «Ὁ θεὸς πῦρ καταναλίσκον ἐστι (γ).» Καὶ πάλιν· «Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ (δ).» Ἀλλ' ὥσπερ ἐξιν οὐ φορητὸν ἀκάνθαις τὸ πῦρ, οὕτω καὶ θεότης ἀνθρωπότητι. Πλὴν ἐν Χριστῷ συνέβη, καὶ γέγονεν οἱστή· οἱονεὶ περιστέλλων τὴν ἄκρατον τοῦ τῆς ἰδίας φύσεως πυρὸς προσβολὴν, ἵνα γένηται χωρητὸς, καθάπερ καὶ ἀκάνθαις τὸ πῦρ. Ὅτι δὲ τὴν σάρκα τὴν ἑαυτοῦ φθορᾶς ἀπετέλει κρείττονα, διαδείξειεν ἂν ἀνιγματωδῶς τὸ ἐπὶ τῇ βάτῳ πῦρ, ἀδιαλώβητον παντελῶς τηρῆσαν τὸ ξύλον. Κεχώρηκε γὰρ θεότης ἐν ἀνθρωπότητι· καὶ τοῦτο γέγονεν ἐν Χριστῷ τὸ μυστήριον.

32 Ἔντρομος δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κα-
33 τανοῆσαι. Εἶπε δὲ αὐτῷ ὁ κύριος· «Λῦσον τὸ ὑπό-
δημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας,
34 γῆ ἁγία ἐστιν. Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ
μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν
ἤκουσα, καὶ κατέβην, ἐξελέσθαι αὐτούς· καὶ νῦν
35 δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον.» Τοῦτον
τὸν Μωϋσῆν, ὃν ἠρνήσαντο εἰπόντες· «Τίς σε κα-
τέστησεν ἄρχοντα καὶ δικαστήν;» τοῦτον ὁ θεὸς
ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου

(α) Ἡσ. Θ', 6. (β) Ἐξοδ. Γ', 6. (γ) Δευτερ. Δ', 24. Ἑβρ. ΙΒ', 29.
(δ) Ψαλμ. ΡΒ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

30 τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. Οὗτος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτου, καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ, ἔτη τεσσαράκοντα.

Εἰ καὶ μὴ αὐταῖς λέξεσι φαίνεται ἐν τῇ Ἐξόδῳ (α) κειμένη ἡ φωνὴ, ἀλλ' οὖν ἰσοδύναμος κεῖται· οὐ πολὺ γὰρ διοίσει τὸ *ἔντρομος τοῦ ἔμφοβος γενόμενος*. Λέγεται δὲ ταῦτα περὶ τοῦ κατὰ τὴν βάτον ὁράματος, μενούσης τῆς αὐτῆς διαφορᾶς τοῦ φοβεροῦ καὶ ἐμφόβου καὶ ἐν τῇ δινηγήσει τῇ περὶ τοῦ Σινᾶ ὄρους. Ἐπ' αὐτοῦ γὰρ εἶπε Μωϋσῆς· «Ἔκφοβός εἰμι καὶ ἔντρομος» (β), ἐκ παραλλήλου ταῖς λέξεσι χρησάμενος. Κατατεθηπὼς τοίνυν τὴν ὄψιν ὁ μακάριος Μωσῆς, προσετίθει λοιπὸν, ἐκεῖνό που λέγων ἐν ἑαυτῷ· «Παρελθὼν ὄψομαι τὸ ὅραμα τοῦτο τὸ μέγα, τί ὅτι οὐ κατακαίεται ἡ βάτος» (γ). Ἀλλ' εἴργει λέγων εὐθὺς ὁ Κύριος· «Μὴ ἐγγίσῃς ὧδε»· Καὶ τῶν ποδῶν ἀπολύειν προστάττεται τὸ ὑπόδημα. Ἰδοὺ, ὃν πρὸ μικροῦ ἄγγελον εἶπε, νῦν δείκνυσιν αὐτὸν Κύριον ὄντα καὶ θεόν. Αὐτὸς γάρ ἐςιν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος καὶ θεοῦ υἱός. — Τί οὖν ἐςὶ τὸ δηλούμενον διὰ τοῦ ὑποδήματος αἴνιγμα; Ἀναγκαῖον εἰπεῖν· Νεκρότητος καὶ φθορᾶς τὸ ὑπόδημά ἐστι σημεῖον, εἴπερ ἐστι πᾶν ὑπόδημα ζώου λείψανον τεθνεῶτος ἤδη. Δεῖ τοίνυν πάσης νεκρᾶς καὶ σαρκικῆς φαντασίας, ὥςπερ ὑποδημάτων τινῶν, λῦσαι τὸν ἐπὶ τῶν θείων θεωρημάτων ἀναβῆναι πειρώμενον νοῦν, καὶ τὸ κατὰ Χριστὸν νοῆσαι μυστήριον. Ἀπρόσιτος τοίνυν ἐν τῷ νόμῳ καὶ τῇ παιδαγωγικῇ λατρείᾳ ὁ Χριστός· νόμου γὰρ πρόσωπον ὁ Μωϋσῆς, εἰ μή που τὸν ἀπὸ τῆς ἁμαρτίας προαποτρίψοιτο μολυσμὸν, καὶ τὴν ἐν τύποις ἔτι καὶ σκιαῖς προαπώθοιτο λατρείαν, οὐ δύναται προσεγγίσαι Χριστῷ. Οἱ δ' ἂν βουληθεῖεν ἀπολύσασθαι τὸ προδηλωθὲν ὑπόδημα, ἐγγιοῦσι τότε Χριστῷ, τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείαν (δ) προϊέμενοι.

(α) Ἐξοδ. Γ'. (β) Ἑβρ. ΙΒ', 21. (γ) Ἐξοδ. Γ', 3. 5. (δ) Ἰωαν. Δ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

37 Οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε (α). »

Τοῦτο ἐπήγαγεν ὁ μακάριος Στέφανος, αἰνιττόμενος αὐτοῖς τὸ κατὰ Χριστὸν μυστήριον, καὶ δεικνὺς, ὅτι καὶ ὁ Μωϋσῆς περὶ αὐτοῦ λελάληκε. Προαναφωνεῖ γὰρ πάλαι τὴν τοῦ ἰδίου γεννήματος ἐνανθρώπησιν ὁ θεὸς καὶ πατὴρ διὰ τοῦ πανσόφου Μωϋσέως, καὶ ὅτι δεύτερος ἐφ' ἡμᾶς νομοθέτης ἀναδειχθήσεται, λαλήσας μὲν πάλαι τοῖς ἀρχαιοτέροις αὐτὸς δι' ἀγγέλου δοὺς τὸν νόμον, ἐν δὲ τοῖς τελευταίοις καιροῖς αὐτουργὸς εἰς ἡμᾶς ἀναδεδειγμένος, καὶ καινῆς διαθήκης χρηματίσας ἄγγελος, ὁ μεγάλης βουλῆς τῆς τοῦ πατρὸς ἄγγελος. Καὶ τοῦτό ἐστι δηλοῦν τὸ, ὡς ἐμὲ, τουτέστι, νομοθέτην. Προφήτην δὲ καλεῖ τὸν τῶν προφητῶν Κύριον διὰ τὸ ἀνθρώπινον. Ὡς ἐμέ.] Ἐξουθενημένον ὑφ' ὧν ἔδει τιμηθῆναι. Ἑκάτερος νόμον ἔδωκε, σημεῖα πρότερον ποιήσας· ἀλλ' οὐδὲ οὕτως αὐτῶν οὐδετέρῳ ἠθέλησαν ὑπακοῦσαι.

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾷ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λό-
39 για ζῶντα, δοῦναι ἡμῖν· ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο, καὶ
40 ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, εἰπόντες τῷ Ἀαρών· « Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν, τί γέγονεν
41 αὐτῷ (β). » Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραί-
42 νοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. Ἔστρεψε δὲ ὁ θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· « Μὴ σφάγια καὶ θυσίας προσηνέγ-

(α) Δευτερ. ΙΗ', 15. 18.

(β) Ἐξοδ. ΛΑ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

Σκόπει, ὅτι πρῶτον αὐτοὺς εἰσάγει θυσίας ἀνενεγκόντας, καὶ τότε τοῖς εἰδώλοις· ἐπεὶ πρὸ τούτου οὐδαμοῦ θυσίας ὄνομα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα. Παράγει δὲ τὴν μαρτυρίαν οὐχ ἁπλῶς, ἀλλὰ καὶ τὸ μὴ εἶναι χρείαν τῶν θυσιῶν δεικνὺς, ἐν τῷ λέγειν· Μὴ σφάγια, καὶ ἔξῆς, ἀντὶ τοῦ, Οὐκ ἔχετε εἰπεῖν, ὅτι ἀπὸ τοῦ θύειν τῷ θεῷ κἀκείνοις ἐθύετε, ἀλλ' ἐκείνοις πρότερον ἐθύσατε, καὶ ταῦτα ἐν τῇ ἐρήμῳ, ἔνθα ὑμῶν προειστήκειν μάλιστα. Ὅρα δὲ πᾶσαν τὴν δημηγορίαν, πῶς ἰσχυρῶς καὶ ἀνεπαχθῶς ἵσταται πρὸς ὅλην αὐτῶν τὴν κατηγορίαν, μονονουχὶ λέγων, ὅτι· « Καὶ εἰ εἶπον τόν τε ναὸν λυθήσεσθαι, καὶ τὰ ἔθη καὶ τὰς θυσίας ἀλλαγήσεσθαι, οὐδέν εἰμι ξένον εἰρηκώς. Μωσῆς γὰρ, ἐφ' ᾧ μέγα φρονεῖν δοκεῖτε, ἔτη τεσσαράκοντα οὔτε θυσίας προσήνεγκεν, οὔτε ναὸν ἀνέστησεν. Ἀλλ' οὐδὲ Δαυὶδ, οὐδέ τις τῶν ἄλλων ἐν τῷ μέσῳ, καίτοι κατακληροδοτουμένης ὑμῖν τῆς γῆς. Ἀλλὰ καὶ οἱ προφῆται περὶ τούτων ὡς μὴ ὄντων ἀναγκαίων οὕτως ἀποφαίνονται. Μωσῆν δὲ νῦν πῶς σχηματίζεσθε διεκδικεῖν, ὃν ἀπώσαντο καὶ οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς; » Καὶ ἁπλῶς διὰ πάσης ἐστὶν ἰδεῖν τῆς δημηγορίας, σοφῶς τε ἅμα καὶ ἐπιεικῶς καὶ ἀριμέως τὴν κατηγορίαν αὐτῶν διαλυομένην.

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους, οὓς ἐποιήσατε, προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος (α).»

Μολὸχ, ἤτοι Μολχόμ· εἴδωλον δὲ τοῦτο Μωαβιτῶν, λίθον ἔχον ἐξαίρετον καὶ διαφανῆ ἐπὶ μετώπου ἄκρου εἰς ἑωσφόρου τύπον. Ἀνελθόντος γὰρ εἰς τὸ ὄρος Μωσέως, μεμοσχοποιήκασί τε,

(α) Ἀμὼς ε. 25—27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ταῖς τῶν ἄστρων προσεκυλίσθησαν λατρείαις· καὶ σκηνοποιησάμενοι, ἔσχησαν εἴδωλον, ὃ κεκλήκασι *Μολόχ*. Ἑρμηνεύεται δὲ τὸ μὲν *Μολὸχ*, Βασιλεὺς αὐτῶν, τὸ δὲ *Ῥεμφὰν*, σκοτισμός, ἢ τύφλωσις. Ἀνελάβετε τοίνυν τὴν σκηνὴν τοῦ Μολὸχ, τουτέστι τοῦ βασιλέως ὑμῶν. Τίς δὲ οὗτος; Τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, ὃ καὶ γέγονεν ὑμῖν εἰς τύφλωσιν· ἐσκοτίσθησαν γὰρ αἱ καρδίαι ὑμῶν. Ἐπειδὴ δὲ τὴν τῶν Μωαβιτῶν μανίαν πεπληρώκατε, οἵτινες εἰσὶ γείτονες Δαμασκοῦ, διὰ τοῦτο πορεύεσθε Δαμασκοῦ ἐπέκεινα, τουτέστιν, εἰς Βαβυλῶνα. Εἰ δὲ καὶ ὁ προφήτης *Ἐπέκεινα Δαμασκοῦ* εἰρήκει· οὕτω γὰρ καὶ ἡ τῶν Ἑβδομήκοντα ἔκδοσις ἔχει· ἀλλ' ὁ μακάριος Στέφανος, *Ἐπέκεινα Βαβυλῶνός*, φησιν, ἀκολουθήσας τῇ Ἑβραίων ἐκδόσει· ἢ ὅτι τέρμα τῆς Δαμασκηνῶν καὶ Σύρων χώρας ἡ Βαβυλὼν τυγχάνει.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν ἐν τοῖς πατράσιν ἡμῶν
ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωσῇ,
45 ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον, ὃν ἑωράκει· ἣν καὶ
εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ
Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ
θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν
46 ἡμερῶν Δαυίδ· ὃς εὗρε χάριν ἐνώπιον τοῦ θεοῦ,
καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ θεῷ Ἰακώβ.

Σκηνὴ τοῦ μαρτυρίου, τουτέστι, τῶν προσταγμάτων τοῦ θεοῦ, ἡ ἐν τῷ ὄρει Σινᾷ τῷ Μωϋσῇ παραδειχθεῖσα ὑπὸ θεοῦ ἐλέγετο, διὰ τὸ ὑπὸ θεοῦ διατετάχθαι αὐτήν· ἵνα μάρτυρα τὸν θεὸν ἔχωσιν, ὅτι ἐν τῷ ὄρει ἡ ὑπογραφὴ ταύτης γέγονε, καὶ αὐτὸς αὐτὴν διετάξατο τῷ Μωϋσῇ.

47 Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. Ἀλλ' οὐχ ὁ
48 ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς
49 ὁ προφήτης λέγει· « Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ
γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει κύριος· ἢ τίς τόπος τῆς κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

50 ταπαύσεώς μου; Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα (α); »

Τῷ τετρακοσιοςῷ τεσσαρακοςῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἤρξατο ὁ Σολομὼν οἰκοδομεῖν ἐν Ἱερουσαλὴμ τὸν ναὸν, ὡς ἡ τρίτη τῶν Βασιλειῶν διδάσκει βίβλος (β). Διὰ τοῦτο δὲ μετὰ τοσοῦτον χρόνον τῆς ἐπανόδου τῆς ἀπ' Αἰγύπτου τοῦ Ἰσραὴλ ὁ ναὸς ᾠκοδομήθη, ἵνα τῇ εἰς τὰ ὄρη περιπλανήσει ἀποκαμόντες, τὸν ἕνα τόπον τὸν ἐν Ἱερουσαλὴμ ἀγαπήσωσιν, ὃν ὁ θεὸς ἐποίησε τίμιον. Οὗτοι δὲ, βραδεῖς ὄντες εἰς σύνεσιν, καὶ τῶν περὶ θεοῦ λόγων ἀνεπιστήμονες, καὶ θεοῦ πόλιν οἰηθέντες εἶναι τὴν Ἱερουσαλὴμ, ἐν αὐτῇ δὴ καὶ μόνῃ κατοικεῖν αὐτὸν ἔλεγον. Σμικρὰ τηγαροῦν δοξάζοντας ἐλέγχει ὁ θεὸς καί φησι· Ποῖον οἶκον οἰκοδομήσετέ μοι, θρόνον ἔχοντι τὸν οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν; Ἔδει γὰρ τοῖς συνεστάλθαι καὶ περιωρίσθαι τόποις τὴν αὐτοῦ φύσιν ὑπειληφόσι καταδεῖξαι σαφῶς, ὅτι τε εἴη πανταχοῦ, καὶ χωρεῖ μὲν αὐτὸν οὐδὲν, ἥκει δὲ μᾶλλον διὰ πάντων αὐτὸς, καὶ πλήρης μὲν ὁ οὐρανὸς αὐτοῦ, μεστὴ δὲ ἡ γῆ.

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν!

Τίνος ἕνεκεν μέχρι τούτου πράως δημηγορήσας, ἐνταῦθα τραχέως τῷ λόγῳ κέχρηται; Ὅτι ἑώρα αὐτοὺς μὴ προσέχοντας τοῖς λεγομένοις.

51 Ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε,

Οὐκ εἶπε, *Τῷ θεῷ ἀντιπίπτετε*, ἀλλὰ, *τῷ Πνεύματι τῷ ἁγίῳ*. Οὕτως οὐδεμίαν οἶδε διαφορὰν· ἐπεὶ καὶ τὸ Πνεῦμα θεὸς, κἂν μὴ δοκῇ τοῖς ἀθέοις. Ὑμεῖς τοίνυν ἀεί, φησιν, ἀντιπίπτετε τῷ θεῷ. Ὅτε γὰρ οὐκ ἐβούλετο θυσίας εἶναι, ἐθύετε αὐτῷ· ὅτε δὲ βούλεται, οὐ θύετε. Πάλιν ὅτε εἰςήκει ὁ ναὸς, εἴδωλα ἐθερα-

(α) Ἡσ. Ξϛ', 1. 2. (β) Γ' Βασιλ. ϛ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε, ὅμοια τοῖς πατράσιν ὑμῶν διαπραττόμενοι.

51 Ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς.

Δείκνυσι τὸ κακὸν ἄνωθεν εἰς αὐτοὺς κατιόν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίει· ἐπειδὴ μεγάλα ἀεὶ ἐπὶ τοῖς πατράσιν ἤχουν.

52 Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν;

Ταῦτα λέγοντα τὸν μακάριον Στέφανον, ἀληθεύειν αὐτὸν οἴδαμεν, Πνεύματι ἁγίῳ φθεγγόμενον· ἀποδείξαι δὲ ἀπὸ τῆς παλαιᾶς Διαθήκης, πῶς εὐλόγως μέμφεται τοῖς πατράσι τῶν εἰς τὸν Ἰησοῦν ἀπιστούντων, ὡς διώξασι τοὺς προφήτας καὶ ἀποκτείνασιν, οὐ δυνατὸν ἀπὸ τῶν φερομένων βιβλίων τῆς καινῆς Διαθήκης. Εἰ τοίνυν, φησί, τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως αὐτοῦ ἀνείλετε, οὐδὲν θαυμαστὸν καὶ ἐμὲ, κηρύττοντα τὸν προκαταγγελθέντα, ὑφ' ὑμῶν ἀναιρεθῆναι. Οὐκ ἠγνόει δὲ τεθνηξόμενος ὑπ' αὐτῶν, πλήρης ὢν Πνεύματος ἁγίου· διὸ καὶ ἀνυποστόλως κέχρηται παῤῥησίᾳ.

52 Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ
53 φονεῖς γεγένησθε· οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Τοῦ *δικαίου*, φησί, δεικνὺς ὅτι, εἰ ἐκεῖνος δίκαιος, λίαν ἄδικοι οἱ ἐκεῖνον ἀνηρηκότες. *Δίκαιον* δὲ αὐτὸν καλεῖ, ὃ οὐδὲ ἐκεῖνοι ἠδύναντο ἀρνήσασθαι. Οὐδαμοῦ γὰρ, καίτοι λίαν ὄντες αὐθάδεις, ἐν οὐδενὶ αὐτὸν ἀδικίας ἠτιάσαντο. Πῶς γὰρ τὸν μηδὲ στέγην ἔχοντα; Δίκαιον δὲ τὸν Ἰησοῦν ἐκάλει, ἐπισπάσασθαι αὐτοὺς βουλόμενος. Προδότας δὲ αὐτοῦ καὶ φονεῖς τούτους καλεῖ, ὡς κοινωνοὺς ὄντας τοῖς σταυρώσασιν αὐτὸν, καίτοι, φησὶ, νόμον λαβόντας, διατάξεις ἔχοντα, αἵ τινες ἰσάγγελον ἐποίουν πολιτείαν ἔχειν τοὺς τελοῦντας αὐτόν. Τοῦτο γάρ ἐστι τό· *Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων*. Τινὲς δὲ καὶ τοῦτο λέγειν φασὶ· τὸν ὑπ' ἀγγέλων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαταχθέντα, καὶ δι' ἀγγέλου ἐγχειρισθέντα τῷ Μωϋσῇ, τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. *Εἰς διαταγὰς* δὲ, ἀντὶ τοῦ, Κατὰ τὰς διαταγὰς, καθὼς ἐκεῖνοι διετάξαντο τῷ Μωσῇ, ὀφθέντες ἐν τῇ βάτῳ καὶ ἐν τῷ ὄρει.

54 Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις
55 αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν θεοῦ,

Εἰ ἐβούλοντο ἀνελεῖν, πῶς οὐκ ἀνεῖλον τότε εὐθέως; Ὅτι πρόφασιν εὔλογον ἤθελον περιθεῖναι τῷ τολμήματι· ἡ γὰρ εἰς αὐτοὺς ὕβρις, οὐκ ἦν εὔλογος πρόφασις πρὸς ἀναίρεσιν, ἀλλ' ἀπελάσαι μὲν ἢ μαστίξαι ἴσως, ἀνελεῖν δὲ οὐκ εὔλογος αἰτία. Ἄλλως δὲ οὐδὲ ἦν ἡ ὕβρις αὐτοῦ, ἀλλὰ τοῦ προφήτου κατ' αὐτῶν κατηγορία· καὶ οὐκ ἤθελον δοκεῖν διὰ τὰ εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὐδὲ τὸν Χριστόν, ἀλλὰ δι' ἀσέβειαν. Οὐ γὰρ ἠρκοῦντο εἰς τὴν μιαιφονίαν, ἀλλ' ἔσπευδον καὶ τὴν δόξαν αὐτοῦ βλάψαι. Ἐδεδίεσαν γὰρ μὴ, ἀναιρούμενος διὰ τὴν εἰς αὐτοὺς ὕβριν, αἰδεσιμώτερος γένηται.

55 Καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ, καὶ εἶπεν·
56 Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ.

Ἑστῶτα, καὶ οὐχὶ καθήμενον, ὁ μακάριος Στέφανος ὁρᾷ τὸν Ἰησοῦν, ἵνα δείξῃ τὴν ἀντίληψιν τὴν εἰς αὐτὸν, καὶ πολλὴν τῷ ἀθλητῇ τὴν προθυμίαν παράσχῃ, τὸ τοῦ βοηθοῦντος ἐπιδεικνύμενος σχῆμα. Ἄλλως τε δὲ, ἐπειδὴ τὸ καθίσαι φορτικὸν ἦν αὐτοῖς, ἵστασθαι αὐτὸν εἶπε τέως, τὴν ἀνάστασιν αὐτοῦ αἰνιξάμενος. Ὅτι δὲ οὐχ ἵσταται, ἀλλὰ κάθηται, καὶ ὁ Παῦλος ἔδειξεν, εἰπών· ὅτι Καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν δεξιᾷ αὐτοῦ (α).

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐ-

(α) Ἐφεσ. Β', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν· καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.

Συνέσχον, οἱ κατὰ τοῦ ἁγίου ψευδομαρτυρήσαντες.

58 Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ
59 τοὺς πόδας νεανίου, καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα·

Μάρτυρας λέγει, οὓς ὑπέβαλον καταψευδομαρτυρῆσαι αὐτοῦ· καὶ δείκνυσι τοὺς δοκοῦντας μάρτυρας, ὅτι πλέον ἦσαν παρεσκευασμένοι πρὸς τὸν φόνον, εἴγε καὶ τὰ ἱμάτια ἀπετίθεντο πρὸς τὸ εἶναι εὐσταλεῖς καὶ κοῦφοι εἰς τὸ βάλλειν τοῖς λίθοις. Φησὶ δὲ ὅτι, καὶ ὁ μέλλων ὕστερον κῆρυξ εἶναι τῆς οἰκουμένης, καὶ αὐτὸς συνέπραττε τότε τῷ φόνῳ, δεικνὺς ὅτι θεία τις καὶ παράδοξος, καὶ οὐ κατὰ ἄνθρωπον γέγονεν αὐτοῦ ἡ μετὰ ταῦτα μεταβολή. Τὸ δὲ· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου· δεικνύοντος ἦν καὶ διδάσκοντος, ὅτι οὐκ ἀπόλλυται.

59 Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.

Ἐντεῦθεν δείκνυται, μηκέτι εἰς ᾅδου τὰς τῶν δικαίων ἀπιέναι ψυχὰς, τῶν σωμάτων ἀπαλλαττομένας, καθὰ καὶ πρώην· πέμπεσθαι δὲ μᾶλλον εἰς χεῖρας θεοῦ ζῶντος διὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ.

60 Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην! Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη. Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ.

Ὅτι δὲ προσευξαμένου αὐτοῦ, μὴ στῆσαι αὐτοῖς εἰς ἁμαρτίαν τὸν ἑαυτοῦ θάνατον, εἰ ἀφέθη αὐτοῖς ἡ ἁμαρτία, ζητῆσαι ἄξιον. Καὶ φαμὲν, εἰ μετενόησαν, ἀφείθη. Καὶ γὰρ ὁ μυρίαις αὐτὸν βάλλων χερσὶ, καὶ διώξας τὴν ἐκκλησίαν Παῦλος, τῆς ἐκκλησίας προστάτης ἐγένετο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ διωγμοῦ τῆς ἐκκλησίας καὶ ταφῆς Στεφάνου, ἐν ᾧ περὶ Φιλίππου τοῦ ἀποστόλου, πολλοὺς ἰασαμένου ἐπὶ τῆς Σαμαρείας.

Κεφ. VIII, 1 Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ
2 Σαμαρείας, πλὴν τῶν ἀποστόλων. Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο
3 κοπετὸν μέγαν ἐπ' αὐτῷ. Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυ-
4 λακήν. Οἱ μὲν οὖν διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν λόγον.

Ὁρα, πῶς ὁ θεὸς τὰς ἐπιβουλὰς τῶν ἐχθρῶν εἰς χρηστὸν ἄγει τέλος! Διασπαρέντες γὰρ πολλῷ πλείους ἐσαγήνευσαν, ἢ πρὶν διωχθῆναι. Οἱ δὲ ἀπόστολοι οὐ διεσπάρησαν, ἀλλ' ἦσαν ἐν Ἱεροσολύμοις. Ἔνθα γὰρ πλείων ὁ πόλεμος, ἐκεῖ παρατάττεσθαι τοὺς πρωταγωνιστὰς ἔδει, καὶ προκεῖσθαι τοῖς ἄλλοις ἀνδρείας καὶ θάρσους ὑπόδειγμα. Εἰ δὲ εὐλαβεῖς οἱ θάψαντες τὸν Στέφανον, πῶς ἐποιήσαντο κοπετόν; Ἢ ὅτι οὔπω ἦσαν τέλειοι, ἢ ὅτι ἐκόψαντο, προστασίας τοσαύτης, διδασκαλίας τοιαύτης, σημείων τοιούτων ἀποσερούμενοι, καὶ ὁρῶντες τὸν πρᾶον ἐκεῖνον καὶ ἥμερον, νεκρὸν λιθόλευστον κείμενον.

5 Φίλιππος δὲ, κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας,
6 ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα,
7 ἃ ἐποίει. Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ, ἐξήρχετο· πολλοὶ
8 δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. Καὶ
ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

Οὐχ ὁ ἀπόστολος Φίλιππος, ὁ ἐν τοῖς δώδεκα καταλεγόμενος, οὗτός ἐστιν, ἀλλ' εἷς τῶν ἑπτὰ, τῶν μετὰ Στεφάνου πρὸς τὴν τῶν χηρῶν οἰκονομίαν καταστάντων. Ὅτι δὲ ἀληθές ἐστιν, ἐντεῦθεν δῆλον. Τῶν γὰρ ἀποστόλων μόνων ἐν Ἱεροσολύμοις παραλειφθέντων, τῶν δὲ λοιπῶν μαθητῶν, ἄλλων ἀλλαχόσε διασπαρέντων, κατὰ τὸ εἰρημένον ἤδη· Πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων· ἐν τοῖς διασπαρεῖσιν ἦν καὶ οὗτος ὁ Φίλιππος, ὃς καὶ τὸν Σίμωνα κατήχησεν ἐν Σαμαρείᾳ, καὶ, κατὰ θεῖον χρησμὸν, τὸν εὐνοῦχον βαπτίσας, ὑπὸ πνεύματος Κυρίου εἰς Ἄζωτον εὑρέθη· πρὸς δὲ Καισάρειαν ὥρμησε τὴν αὐτὸν ἐνεγκοῦσαν. Τῆς γὰρ ἐπὶ Στεφάνου λύττης πειραθεὶς, καὶ ἴσως δείσας μὴ τῶν ὁμοίων μετάσχῃ, ἐπαλινόστησεν οἴκαδε. Ἄλλως τε, εἰ ὁ βαπτίσας ἐν Σαμαρείᾳ εἷς τῶν ἀποστόλων ἦν, εἶχεν ἂν τὴν αὐθεντίαν τῆς τοῦ πνεύματος δόσεως, καὶ οὐκ ἂν Πέτρος καὶ Ἰωάννης καταβάντες ἀπὸ Ἱεροσολύμων πρὸς αὐτοὺς τὴν τοῦ πνεύματος παρέσχοντο χάριν. Οὗτος οὖν βαπτίζει μόνον, ὡς μαθητὴς, τελειοῦσι δὲ τὴν χάριν οἱ ἀπόστολοι, οἷς ἡ τῆς τοιαύτης δόσεως αὐθεντία ἐδέδοτο.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Σίμωνος τοῦ μάγου, πιστεύσαντος καὶ βαπτισθέντος σὺν ἑτέροις πλείοσιν· ἐν ᾧ περὶ τῆς Πέτρου καὶ Ἰωάννου πρὸς αὐτοὺς ἀποστολῆς, καὶ ἐπίκλησις τοῦ ἁγίου Πνεύματος ἐπὶ τοὺς βαπτισθέντας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

9 Ἀνὴρ δέ τις, ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ
πόλει, μαγεύων, καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμα-
10 ρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν· ᾧ προσεῖχον
πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες· Οὗτός
11 ἐστιν ἡ δύναμις τοῦ θεοῦ, ἡ μεγάλη. Προσεῖχον
δὲ αὐτῷ, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξ-
12 εστακέναι αὐτούς. Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ
εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ
καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο
13 ἄνδρες τε καὶ γυναῖκες. Ὁ δὲ Σίμων καὶ αὐτὸς
ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φι-
λίππῳ· θεωρῶν τε δυνάμεις καὶ σημεῖα μεγάλα
14 γινόμενα, ἐξίστατο. Ἀκούσαντες δὲ οἱ ἐν Ἱερο-
σολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν
λόγον τοῦ θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέ-
15 τρον καὶ Ἰωάννην· οἵ τινες καταβάντες, προσηύ-
ξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον.

Σημειωτέον, ὅτι οὐ δεῖ πλησιάζειν μάγοις· εἰ δέ τις ἀπατηθείς ἐπλησίασεν, ἀφιστάσθω ταχέως· ἡ γὰρ ἐπιμονὴ ἡ ἐν αὐτοῖς, εἰς ἕκστασιν ἄγει φρενῶν, ὥστε μὴ συνιέναι διακρῖναι. Οὗτος τοίνυν ὁ Σίμων, ὑποκορισάμενος τοὺς ἀποστόλους, μάγος ὑπάρχων, καὶ αὐτὸς ὁμοίως τοῖς ἄλλοις ὑπὸ Φιλίππου, τοῦ ἑνὸς τῶν ἑπτὰ, βαπτισθεὶς μετὰ πολλῶν, οὐ μέντοι ἐδέξατο διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων τὸ ἅγιον Πνεῦμα. Τί οὖν; οἱ βαπτισθέντες ὑπὸ Φιλίππου οὐκ ἔλαβον Πνεῦμα ἅγιον; Πνεῦμα μὲν ἅγιον ἔλαβον τὸ τῆς ἀφέσεως, τὸ δὲ τῶν σημείων, οὐκ ἔλαβον. Ὅθεν ὁ Σίμων, ἰδὼν ὅτι τοῦτο δίδοται διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν, προσῆλθε τοῖς ἀποστόλοις ἀποτολμήσας αὐτὸ ἐμπορεύσασθαι. Πρὶν γὰρ ἰδεῖν ἑτέρους λαμβάνοντας τὸ τῶν σημείων πνεῦμα, οὐκ ἐθάρρει αἰτῆσαι. Πῶς δὲ τὸν τοιοῦτον ὁ Φίλιππος ἐβάπτισεν; Ὡς καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. Πῶς δὲ αὐτὸν οὐκ ἀνεῖλον, ὡς τὸν Ἀνανίαν; Ὅτι καὶ ἐν τῇ Παλαιᾷ εἷς ἀνῃρέθη, ὁ τὰ ξύλα συλλέξας (α), εἰς σω-

(α) Ἀριθ. ΙΕ', 32—36.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φρονισμόν ἑτέρων, οὐδεὶς δὲ ἕτερος τοῦτο πέπονθεν. Ἔστι δὲ συνιδεῖν ὅτι, ἐν τῇ δόσει τοῦ ἁγίου Πνεύματος, αἰσθητόν τι ἐγίνετο παράδοξον· καὶ γὰρ ὁ Σίμων οὐκ ἂν προσῆλθεν αἰτῶν, εἰ μὴ τοῦτο ἐθεάσατο. Πῶς δὲ μὴ ἰδὼν τοὺς ἀποστόλους χρημάτων ἕνεκα τοῦτο πράττοντας, ἐτόλμησε χρήματα προσενεγκεῖν; Ὅτι οὐκ ἦν ἀγνοίας, ἀλλὰ πειράζοντος· διὸ καὶ ὁ Πέτρος, εἰ πὼν, *Ἡ καρδία σου οὐκ ἔστιν εὐθεῖα*, δείκνυσιν, ὅτι οὐδὲ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ σκευωρηθέντα ἔλαθεν αὐτόν. Ὅρα δὲ τὴν ἀναισχυντίαν τοῦ Σίμωνος! Δέον γὰρ αὐτὸν αἰτῆσαι Πνεῦμα λαβεῖν ἅγιον· ἐπειδὴ οὐκ ἔμελλεν αὐτῷ τούτου, ἵνα διδῷ ἑτέροις αἰτεῖ. Ἤθελε γὰρ καὶ Φιλίππου δόξαι λαμπρότερος. Ὁ γὰρ Φίλιππος, εἷς ὢν τῶν ἑπτὰ, διάκονος ὤν, οὐκ εἶχεν ἐξουσίαν διὰ τῆς χειροθεσίας αὐτοῦ διδόναι τὸ Πνεῦμα τὸ ἅγιον. Ὅτι δὲ τοῦτο ἀληθὲς, καὶ τὸ τῶν σημείων πνεῦμα οὐκ ἔλαβεν ὁ Σίμων, ὅρα, πῶς φησίν, ὅτι Θεωρῶν δυνάμεις τε καὶ σημεῖα γινόμενα, ἐξίστατο, καὶ προσῆλθε τοῦτο αἰτῶν.

16 (Οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκὸς· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου
17 Ἰησοῦ.) Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον.

Προδήλον, ὅτι οἱ ὑπὸ Φιλίππου ἐν Σαμαρείᾳ βαπτισθέντες οὐκ ἦσαν λαβόντες Πνεῦμα ἅγιον, διὰ τὸ μὴ ἔχειν αὐτὸν χάρισμα τοιοῦτον· ἐπειδὴ οὗτος, ὡς ἔφημεν, εἷς τῶν ἑπτὰ ἦν· οὗτοι δὲ δύναμιν μὲν ἔλαβον ποιεῖν σημεῖα, οὐχὶ δὲ καὶ Πνεῦμα διδόναι ἑτέροις· τοῦτο γὰρ ἦν τὸ τῶν ἀποστόλων ἐξαίρετον. Ἢ οὐ κατήγαγε τὸ Πνεῦμα ὁ Φίλιππος ἐπὶ τοὺς ὑπ' αὐτοῦ βαπτισθέντας, οὐχ ὡς εὐτελὴς καὶ ἀνάξιος· (ὁπότε καὶ αὐτὸς ἀνεγράφη σημεῖα πεποιηκὼς ἐν ἰάσεσι νόσων, καὶ ἐκβολαῖς δαιμόνων·) ἀλλὰ τιμῶν τοὺς ἀποστόλους, οὐκ ἠξίωτο τοῦτο αὐτοῖς ὑπάρξαι, καὶ ὡς ἀκμὴν μὴ οὖσιν ἐπιτηδείοις πρὸς τὴν τοῦ πνεύματος ὑποδοχήν, ὁπότε καὶ ὁ Σίμων βαπτισθεὶς ὑπ' αὐτοῦ, ἀκμὴν τὰ τῆς σαρκὸς φρονῶν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἤτει τοὺς ἀποστόλους διὰ χρημάτων δόσεως λαβεῖν ἐξουσίαν, ᾧ ἐὰν ἐθέλῃ διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως δοῦναι Πνεῦμα ἅγιον.

18 Θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων·
19 Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον.

Ο μιαρὸς οὗτος Σίμων, οὐ πίστεως ἕνεκεν προσφέρων τὰ χρήματα, ἤτει τοῦτο γενέσθαι αὐτῷ, ἀλλ' ὥστε πορισμὸν αὐτῷ χρημάτων καὶ ἀφορμὴν γενέσθαι τοῦτο. Προσῆλθε γὰρ ὥστε, δεξάμενος τοιαύτην χάριν, πλουτῆσαι διὰ τῶν σημείων, καθὰ πρώην φαντασίας ἐνεργῶν διὰ τῶν δαιμόνων. Ἢ πειράζων τοὺς ἀποστόλους τοῦτο ἐποίει, βουλόμενος κατηγορίαν αὐτοῖς περιβαλεῖν. Διὸ καὶ ἀκούει· *Οὐκ ἔστι σοι μερὶς ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ.*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι οὐκ ἀργυρίου, οὐδὲ ὑποκριταῖς, ἀλλὰ ἁγίοις διὰ πίστεως ἡ μετοχὴ τοῦ ἁγίου Πνεύματος δίδοται· ἐν ᾧ καὶ τὰ περὶ ὑποκρίσεως καὶ ἐπιπλήξεως Σίμωνος.

20 Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν! ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνό-
21 μισας διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου
22 οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας
23 σου. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας
24 ὁρῶ σε ὄντα. Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπε· Δεή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μη-
25 δὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε. Οἱ μὲν οὖν, διαμαρτυράμενοι, καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.

Τὸ ἀργύριόν σου σὺν σοί! Οὐκ ἔστι ταῦτα ἀραμένου, ἀλλὰ παιδεύοντος· ὡς ἄν τις εἴποι· Τὸ ἀργύριόν σου συναπόλοιτό σοι μετὰ τῆς προαιρέσεως! Οὐ κολάζει δὲ νῦν τὸν Σίμωνα ὁ Πέτρος, καθὰ καὶ πρώην τὸν Ἀνανίαν· ἵνα δείξῃ, ὅτι οὐκ ἀνάγκης ἡ πίστις· ἀλλ' ἵνα καὶ τὰ τῆς μετανοίας εἰσαγάγῃ. Ἀρκεῖ γὰρ πρὸς διόρθωσιν τὸ ἐλέγξαι, καὶ τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, καὶ τὸ ἐκεῖνον ὁμολογῆσαι, ὅτι ἑάλω. Τὸ γὰρ εἰπεῖν, *Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ*, τοῦτό ἐστιν ὁμολογοῦντος, εἰ καὶ μὴ ἀπὸ ὀρθῆς καὶ σφοδρᾶς διαθέσεως ἐλέγετο. — *Μετανόησον οὖν, εἰ ἄρα ἀφεθήσεταί σοι τὸ ἁμάρτημα.*] Τοῦτο δεικνῦντός ἐστιν, ὡς δυσκατόρθωτον τὸ πρᾶγμα, καὶ πολλῆς δεόμενον μετανοίας, τοῖς εἰς αὐτὸ τὸ θεῖον ἐξαμαρτάνουσιν, εἰς ὃ καὶ Σίμων ἐξήμαρτεν, ἀργυρίου ὑπακούειν εἰς τὰς ἐνεργείας τὸ Πνεῦμα τὸ ἅγιον ἡγησάμενος. Ἄλλως δὲ προῄδει αὐτὸν ὁ Πέτρος, μὴ πρὸς μετάνοιαν ἐπιστρέψοντα. Διὰ τοῦτό φησιν, *Εἰ ἀφεθήσεταί σοι*. Τὸ γὰρ, *Δεήθητε ὑμεῖς*, οὐ μετανοίας καὶ ἐπιστροφῆς, ἀλλὰ μόνον ἀφυσιώσεως ἕνεκα ἔφη. Ἐπεὶ ποῦ τὰ δάκρυα καὶ ἡ ἐξομολόγησις;

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι τοῖς ἀγαθοῖς καὶ πιστοῖς εὐοδοῖ τὴν σωτηρίαν ὁ θεὸς, δῆλον ἐκ τῆς κατὰ τὸν εὐνοῦχον ὑποθέσεως.

26 Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων·

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

Ἀνάστηθι, καὶ πορεύου κατὰ μεσημβρίαν, ἐπὶ τὴν
ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἰερουσαλὴμ εἰς Γάζαν·
27 αὕτη ἐστὶν ἔρημος. Καὶ ἀναστὰς ἐπορεύθη· καὶ
ἰδοὺ, ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης Κανδάκης,
τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς
γάζης αὐτῆς· ὃς ἐληλύθη προσκυνήσων εἰς Ἰερου-
28 σαλήμ· ἦν τε ὑποστρέφων, καὶ καθήμενος ἐπὶ τοῦ
ἅρματος αὐτοῦ ἀνεγίνωσκε τὸν προφήτην Ἡ-
29 σαΐαν. Εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· Πρόσ-
30 ελθε, καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. Προσ-
δραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώ-
σκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν·
31 Ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; Ὁ δὲ εἶπε·
Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; Πα-
ρεκάλεσέ τε τὸν Φίλιππον, ἀναβάντα καθίσαι σὺν
32 αὐτῷ. Ἡ δὲ περιοχὴ τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν,
ἦν αὕτη·

Διὰ τί μὴ τῷ εὐνούχῳ φαίνεται ὁ ἄγγελος, καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον; Ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλ' ἐξεπλάγη μᾶλλον. Οὐ γὰρ ἦν ὡς ὁ Κορνήλιος οὗτος. *Κατὰ μεσημβρίαν.*] Οὐκ ἀν ἀπὸ Ἱεροσολύμων πρὸς μεσημβρίαν ἀπῄει, ἀλλὰ πρὸς ἄρκτον· ἀπὸ δὲ Σαμαρείας, ἔνθα Φίλιππος, εἷς τῶν ἑπτὰ, διέτριβε καὶ ἐδίδασκε τότε, πρὸς μεσημβρίαν ἐστὶν ἡ ὁδός. Τὸ δὲ, *αὕτη ἐστὶν ἔρημος*, εἶπεν, ὥστε μὴ φοβηθῆναι τὴν τῶν Ἰουδαίων ἐπιστασίαν. Γυναῖκες δὲ ἦρχον ἐκείνης τῆς Αἰθιοπίας, ὧν καὶ ἡ Κανδάκη κατὰ διαδοχὴν μία, ἧς ὁ εὐνοῦχος ὑπῆρχε ταμίας τῶν βασιλικῶν θησαυρῶν. Ἰστέον δὲ, ὅτι *Κανδάκην* Αἰθίοπες πᾶσαν τὴν τοῦ βασιλέως μητέρα καλοῦσιν. «Αἰθίοπες τοὺς βασιλέων πατέρας οὐκ ἐκφαίνουσιν· ἀλλ' ὡς ὄντας υἱοὺς Ἡλίου παραδιδόασιν· ἑκάστου δὲ τὴν μητέρα καλοῦσι *Κανδάκην*.»

32 « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς
ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ
33 ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διη-
γήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ
34 (α) π. Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ,
εἶπε· Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει
35 τοῦτο; περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός; Ἀνοίξας
δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ
τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν.

Ἐντεῦθεν τὸ ἐκούσιον τοῦ Σωτῆρος ἐν τῇ πείρᾳ τῶν οἰκονο-
μουμένων σημαίνεται. Ὡς γὰρ πρόβατον ἀγόμενον εἰς θυσίαν,
ἡ ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτόν· (ἀνάγκη δὲ δαμαζό-
μενος, οὐδὲ βληχᾶσθαι τὸ ἐνδόσιμον ἔχει·) οὕτως αὐτὸς ἑκὼν ἐν
τῷ πάσχειν ἐσιώπα. Τὸ δὲ, *Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις
αὐτοῦ ἤρθη*, δηλοῖ τὴν παρόνομον κρίσιν τὴν ἐπ' αὐτῷ γενομένην,
τῆς ἀληθείας κρυβείσης. Τὸ δὲ, *Τὴν γενεὰν αὐτοῦ τίς διη-
γήσεται*, ἐπενεγκὼν, δείκνυσιν αὐτὸν ἀγενεαλόγητον· ἦν μὲν
γὰρ αὐτὸς καὶ ἀγενεαλόγητος ὡς θεὸς, καὶ κατὰ σάρκα γεν-
νώμενος ὡς ἀπογραφόμενος (β)· ἡ, Τὴν μετὰ τὴν ἀνάστασιν
γενομένην δόξαν καὶ τὴν εὐγενῆ αὐτοῦ ἀξίαν, ἣν ἡ τῶν οἰκο-
νομηθέντων ὑπέδειξε πεῖρα, τίς ἔσται ἱκανὸς λόγῳ φράσαι;
αὐτοῦ μὲν θανάτῳ ὑποβαλλομένου, πάντων δὲ εἰς ἀφθαρσίαν
χάριτι αὐτοῦ ζωοποιουμένων, καὶ πίστει λυτρουμένων. Εἶτά
φησιν, *Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ*, τουτέστιν,
ἐπαίρεται, καὶ ὑψηλοτέρα τῶν ἐπὶ γῆς ἐστιν ἡ ζωὴ αὐτοῦ,
τουτέστιν ἡ πολιτεία. Αἴρεται δὲ καὶ ἑτέρως, καὶ ὑπὲρ πάν-
τας ἐστὶν ἡ ζωὴ αὐτοῦ, τουτέστιν ἡ ὕπαρξις τοῦ μονογενοῦς,
ὅταν ἔξω νοῆται σαρκὸς, καὶ οὔπω καθ' ἡμᾶς γενόμενος. Αὐ-
τοῦ γὰρ εἰς θάνατον ἑκουσίως καταβεβηκότος, ἤρθη ἀπὸ τῆς
γῆς ἡ ζωὴ αὐτοῦ, καὶ μετεωρίσθη, καὶ ὑπερανέβη τοὺς οὐρανοὺς
(γ), ὅτι βασιλεύς ὑπῆρχε τῆς δόξης, καὶ ἡ αὐτοῦ ζωὴ κατὰ φύσιν,
καὶ Κύριος τῶν δυνάμεων, (εἰ καὶ διὰ τὴν περὶ ἡμᾶς οἰκονομίαν
καὶ τὴν ἑκούσιον κένωσιν, τῆς κατὰ τὸ πάθος ἐπὶ γῆς ἀτι-

(α) Ησ. ΝΓ', 7. 8. (β) Λουκ. Β', 1—7. (γ) Ψαλμ. Η', 2.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

μίας καὶ ἀδοξίας ἠνέσχετο,) τοῦτο διδαύσης εὐλόγως αὐτῷ τῆς καθ' ὑπόστασιν αὐτῷ καὶ ἀδιαιρέτως ἡνωμένης σαρκὸς, περὶ ἣν τὸ πάθος, καὶ ἡ ἐντεῦθεν ἀτιμία συνέβαινε· κατὰ θεοῦ μὲν τολμωμένη τοῦ σεσαρκωμένου, ψαῦσαι δὲ μὴ δυναμένη τοῦ ἀπαθοῦς, ὅπερ ἀμήχανον. Τοῦτον τοίνυν εἶναι τὸν Ἰησοῦν, καὶ πεπληρῶσθαι ἐν αὐτῷ τὴν γραφὴν ταύτην, ὁ Φίλιππος τῷ εὐνούχῳ εὐαγγελίζεται· ᾧ καὶ πεισθεὶς, καὶ παραυτίκα βαπτισθεὶς, ἐπέμφθη εἰς τὰ κλίματα τῆς Αἰθιοπίας, κηρύξων τοῦτο, ὅπερ αὐτὸς ἐπίστευσε, θεὸν μὲν ἕνα τὸν διὰ τῶν προφητῶν κεκηρυγμένον, τούτου δὲ τὸν υἱὸν τὴν κατὰ ἄνθρωπον ἤδη πεποιῆσθαι παρουσίαν, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἦχθαι, καὶ τὰ λοιπὰ, ὅσα οἱ προφῆται λέγουσι περὶ αὐτοῦ. Καὶ ἐνταῦθα πεπλήρωται ἡ λέγουσα προφητεία· « Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ (α). »

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος· Ἰδοὺ ὕδωρ· τί κω-
37 λύει με βαπτισθῆναι; Εἶπε δὲ ὁ Φίλιππος· Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. Ἀποκριθεὶς δὲ εἶπε· Πιστεύω, τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰη-
38 σοῦν Χριστόν (1). Καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ,τε Φίλιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν.

Ἐπιστατέον, ὡς πολλὴ ἡ σπουδὴ ὑπῆρχε τοῖς τελείως χριστιανίζουσι περὶ τὸ αἰσθητὸν βάπτισμα. Διττοῦ γὰρ ὄντος τοῦ διδομένου, ὁτὲ μὲν δι' ὕδατος, ὁτὲ δὲ ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, οὐ διὰ τὴν ὑπεροχὴν τοῦ ἐν πνεύματι βαπτίσματος, κατεφρόνουν τοῦ σωματικωτέρου. Συμβάλλεται γὰρ καὶ τοῦτο εἰς σωτηρίαν καὶ τὴν ἀνάστασιν τοῦ σώματος.

(α) Ψαλμ. ΞΖ', 32. (1) Ὁ στίχος 37, ἤτοι ἀπὸ τοῦ «Εἶπε δὲ ὁ Φίλιππος» ἕως τοῦ « τὸν Ἰησοῦν Χριστὸν », οὐκ εὑρίσκεται ἐν ταῖς περισσοτέραις χειρογράφοις· διὸ καὶ παραλείπεται καὶ ἐν ταῖς κριτικωτέραις τῆς καινῆς Διαθήκης ἐκδόσεσι Παραλείπει δὲ αὐτὸν καὶ ὁ Χρυσόστομος Τομ. Θ'. Σελ. 155. Β.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

39 Ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον· καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι
ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων.
40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον· καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

Συμφερόντως τὸν Φίλιππον ἥρπασε τὸ πνεῦμα· ἐπεὶ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος, καὶ ἐλύπησεν ἂν ἐκεῖνος ἀνανεύσας καὶ ἀρνησάμενος, οὔπω καιροῦ ὄντος. Καὶ αὐτὸς ὁ Φίλιππος μέγα ἐκέρδανεν· ὅπερ γὰρ ἦκουε περὶ Ἰεζεκιὴλ καὶ Ἀβακοὺμ, εἶδε καὶ ἐπ' αὐτῷ γενόμενον. Δείκνυται δὲ ἐντεῦθεν πολλὴν ὁδὸν ἀπελθών, εἴγε ἐν Ἀζώτῳ εὑρέθη· καὶ ἐκεῖ λοιπὸν ἵσταται, ἔνθα καὶ εὐαγγελίσασθαι αὐτὸν ἔδει, καὶ εἰς Καισάρειαν ἐντεῦθεν τὴν ἐνεγκοῦσαν ἀπελθεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς οὐρανόθεν θείας κλήσεως Παύλου εἰς ἀποστολὴν Χριστοῦ· ἐν ᾧ περὶ ἰάσεως καὶ βαπτίσματος, Παύλου δι' Ἀνανίου κατὰ ἀποκάλυψιν θεοῦ, παῤῥησίας τε αὐτοῦ καὶ συντυχίας τῆς διὰ Βαρνάβα πρὸς τοὺς Ἀποστόλους.

ΚΕΦ. IX, 1 Ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς καὶ
φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ
2 ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δα-
μασκὸν πρὸς τὰς συναγωγὰς, ὅπως ἐάν τινας εὕρῃ
τῆς ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους
3 ἀγάγῃ εἰς Ἱερουσαλήμ. Ἐν δὲ τῷ πορεύεσθαι,
ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης
4 περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ· καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν λέγουσαν αὐτῷ·
5 Σαοὺλ, Σαούλ! τί με διώκεις; Εἶπε δέ· Τίς εἶ, Κύριε; Ὁ δὲ Κύριος εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν.
6 Τρέμων τε καὶ θαμβῶν εἶπε· Κύριε, τί με θέλεις ποιῆσαι; Καὶ ὁ Κύριος πρὸς αὐτόν (1)· Ἀνάστηθι, καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι,
7 τί σε δεῖ ποιεῖν. Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐννεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μη-
8 δένα δὲ θεωροῦντες. Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς· ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε· χειραγωγοῦντες δὲ αὐτὸν, εἰσήγαγον εἰς Δαμασκόν.

Τῆς ὁδοῦ ὄντας.] *Ὁδὸν* ἐκάλουν τὴν εἰς Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ἣν ἐκήρυττον οἱ ἀπόστολοι, πίστιν· καὶ μάλα εἰκότως· δι' αὐτῆς γὰρ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ οὐ δι' ἄλλης τινὸς εἰσερχόμεθα. Ἀληθεστέρῳ δὲ λόγῳ *ὁδὸν*, τὴν πολιτείαν ἀκουστέον, ὡς παρὰ τῷ Ἡσαΐᾳ· « Ἵνατί ἐπλάνησας ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου (α); » τουτέστι τῆς κατὰ σὲ πολιτείας. Οὕτως οὖν ἐνταῦθα, *ὁδὸν* τὴν κατὰ Χριστὸν εἶπε πολιτείαν. Καὶ ἐν οἷς ἄλλοις ὁδοῦ μνημονεύει, τὸ κατὰ Χριστὸν κήρυγμα καὶ τὴν κατ' αὐτὸν σημαίνει πολιτείαν. Ἴσως καὶ ὡς εὐτελίζοντες καὶ διασύροντες οὕτως αὐτοὺς ἐκάλουν· καὶ γὰρ τὸν ἄτιμον εἰώθασι καλεῖν, *Ἄνθρωπον ἐξ ὁδοῦ*. Οὐκ ἐζήτησε δὲ ἐξουσίαν ἐκεῖ τιμωρήσασθαι αὐτοὺς, ἀλλ' ἀγαγεῖν εἰς Ἱερουσαλήμ· ὅτι μετὰ πλείονος τῆς ἐξουσίας ταῦτα ἤθελε πράττειν. Ἐν πόλει δὲ ἡ ὀπτασία οὐ γίνεται, ἀλλ' ἐν τῇ ὁδῷ ἐφ' ἡσυχίᾳ, ὡς μὴ ἐξεῖναι τὸ περὶ αὐτὸν γεγονὸς ἄλλους ἄλλως διηγεῖσθαι· ἀλλ' αὐτὸς ἀξιόπιστος εἴη διηγού-

(α) Ὅ,τι εἴπαμεν ἀνωτέρω περὶ τοῦ στίχου 37 τοῦ Κεφ. Η. λέγομεν καὶ περὶ τοῦ ἀπὸ στίχου 5 « σκληρόν σοι κ. τ. λ. » ἕως τοῦ στίχου 6 « Καὶ ὁ Κύριος εἶπε πρὸς αὐτόν. » Καὶ ταῦτα παραλείπει ὁ Χρυσόστομος Τομ. Θ'. Σελ. 156. C. Μετὰ δὲ τὸ « ὃν σὺ διώκεις » ἀναγινώσκεται « Ἀλλ' ἀνάστηθι κ. τ. λ. »

(α) Ἡσ. ΞΓ', 17.



ρενος ὁ καὶ τὴν ὄψιν ἰδὼν, καὶ τὸ πάθος ὑποστάς. Οὐ πάνυ δὲ τυφλοῖ, εἰ μὴ Παῦλον μόνον, ἵνα μὴ κοινὸν καὶ ὡς ἀπὸ πύχης τὸ πάθος νομισθῇ, ἀλλὰ θείας προνοίας. Διὰ τί δὲ μὴ ἐπίστευσαν οἱ σὺν αὐτῷ; Ἵνα ὦσιν ἀξιόπιστοι, μαρτυροῦντες τὸ περὶ Παῦλον· εἰ γὰρ ἐπίστευσαν, ἔδοξαν ἂν πρὸς χάριν μαρτυρεῖν. *Ἀκούοντες μὲν τῆς φωνῆς.*] Οὐ τῆς ἄνωθεν ἤκουσαν φωνῆς οἱ συνόντες τῷ Παύλῳ, ἀλλὰ τῆς τοῦ Παύλου· οὐδένα δὲ ἐθεώρουν πρὸς ὃν ἀπεκρίνατο· τῆς δὲ ἄνωθεν μόνος ὁ Παῦλος· καὶ γὰρ προϊὼν [ὁ Λουκᾶς] αὐτὸν εἰσάγει λέγοντα τὸν Παῦλον· « Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι (α) »· εἰ γὰρ τῆς φωνῆς ἤκουσαν ἐκείνης, οὐκ ἂν ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἀποκρινόμενον, ἐθαύμαζον. Διὰ τοῦτο καὶ οὐκ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἵνα δειχθῇ ὄντως, ὅτι ἀνέστη Χριστός. Ὁ γὰρ ἐλαύνων αὐτὸν, καὶ ἀπιστῶν αὐτοῦ τῇ ἀναστάσει, καὶ τοὺς μαθητὰς αὐτοῦ διώκων, πόθεν ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τῆς ἀναστάσεως ἡ ἰσχύς;

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων· καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιεν.

Διὰ τί; Ὅτι λίαν ἑαυτοῦ κατέγνω ἐπὶ τῷ διωγμῷ τῆς ἐκκλησίας, καὶ λυπούμενος παρεκάλει τὸν θεὸν, ἀφεθῆναι αὐτῷ.

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· 11 Ἀνανία. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγὼ, Κύριε. Ὁ δὲ Κύριος πρὸς αὐτόν· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν 12 οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται, καὶ εἶδεν ἐν ὁράματι ἄνδρα, ὀνόματι Ἀνανίαν εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.

Τί δή ποτε οὐδένα τῶν ἀξιοπίστων καὶ μεγάλων εἵλκυσεν,

(α) Πραξ. ΚΒ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲ μετέστησε πρὸς τὴν τοῦ Παύλου κατήχησιν, ἀλλ' Ἀνανίαν, ἕνα ὄντα τῶν ἑβδομήκοντα; Ἐπειδὴ οὐκ ἔμελλε δι' ἀνθρώπων ἐνάγεσθαι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ. Ἐπεὶ καὶ ὁ Ἀνανίας ἐδίδαξε μὲν αὐτὸν οὐδέν, ἐβάπτισε δὲ μόνον. Ἅμα γὰρ φωτισθεὶς, ἔμελλε πολλὴν ἐπισπάσασθαι τοῦ πνεύματος χάριν ἀπὸ τοῦ ζήλου καὶ τῆς προθυμίας. Ἐντεῦθεν δὲ σημειωτέον, ὅτι ἐκεῖνα τὰ ὁράματα δεῖ λέγεσθαι, ἅπερ κοινωφελῆ ἐστι, καὶ συμβάλλεται εἰς θεοσέβειαν· ὅσα ἔχει τοῦ Κυρίου τὴν παράστασιν ἢ ἀγγέλου. Ἔστι δὲ καὶ ὁράματα ἰδικὰ, ἃ οὐκ ὀφείλει λαλεῖσθαι. Πλὴν, εἰ καὶ ἰδικὴ τοῦ Σαύλου ἡ ὠφέλεια, ἀλλ' οὖν ἴασις παράδοξος συμβᾶσα, πάλιν εἰς θεοσέβειαν τὸν ἄνθρωπον προσκαλεῖται· καὶ διὰ τοῦτο ὡς κοινωφελῆ ἐκλαλεῖσθαι ἔδει. *Ἀναστὰς πορεύθητι.*] Καὶ οὗτος ὁ Ἀνανίας διάκονος ἦν, ὡς αὐτὸς Παῦλος μαρτυρεῖ ἐν τοῖς κανόσι. Τοῦτο δὲ γέγονε διὰ τὸ μὴ παρεῖναι πρεσβύτερον ἐν Δαμασκῷ ἕνεκεν τοῦ γεγονότος διωγμοῦ. *Καὶ εἶδεν ἐν ὁράματι.*] Οὐκ ἠδύνατο γὰρ ἰδεῖν καθ' ὕπαρ· ἐπειδὴ πηρὸς ἦν.

13 Ἀπεκρίθη δὲ Ἀνανίας· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς
14 ἁγίοις σου ἐν Ἱερουσαλήμ. Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλου-
15 μένους τὸ ὄνομά σου. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος· Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν,
16 καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ. Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου
17 παθεῖν. Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν· καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε· Σαοὺλ, ἀδελφέ·

Ἀκήκοα ἀπὸ πολλῶν.] Ταῦτά φησιν ὁ Ἀνανίας, οὐχ ὡς ἀπιστῶν τοῖς λεγομένοις, οὐδὲ ἠπατῆσθαι νομίζων τὸν Χριστόν· μὴ γένοιτο! ἀλλὰ φοβούμενος καὶ τρέμων. Εἰκὸς γὰρ ἦν αὐτούς, ἐν φόβῳ ὄντας, περιεργάζεσθαι, ὥστε μανθάνειν τὰ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κατ' αὐτῶν ὁριζόμενα· (ἐπεὶ πόθεν ἦν δῆλον αὐτοῖς, ὅτι Καὶ ὧδε ἐξουσίαν ἔχει παρὰ τῶν ἀρχιερέων;) καὶ λέγειν· Ὅτι τούτων ὄντων, πῶς δύναται ταῦτα γενέσθαι; Τί οὖν ὁ Κύριος, ὁ ταῖς καρδίαις ἐμβατεύων, κατὰ Παύλου ἐμαρτύρησεν Δείκνυσιν, ὅτι οὐκ ἔστι φυσικὴ ἡ κακία αὐτῷ· σκεῦος γάρ, φησιν, ἐκλογῆς ἐστι. Διὰ τούτου ἔδειξεν, ὅτι δόκιμός ἐστι· τὸ δόκιμον γάρ τις ἐκλέγεται σκεῦος. Καὶ οὐ μόνον πιστὸς ἔσται, φησὶν, ἀλλὰ καὶ διδάσκαλος καὶ κῆρυξ τῆς οἰκουμένης· ἀλλὰ καὶ πείσεται πολλὰ ὑπὲρ ἐμοῦ. Διὰ τοῦτο δέ φησιν, ὅτι σκεῦος ἐκλογῆς μοι ἐστί, καὶ ὅτι βαστάσει τὸ ὄνομά μου· ἐπειδὴ ἀκούσας ὁ Ἀνανίας, ὅτι τυφλός ἐστιν ὁ Παῦλος, ἐχάρη· καὶ μονονουχὶ τοῦτο λέγει διὰ τῶν αὐτοῦ ῥημάτων· Καλῶς ἔχει· ἄφες αὐτὸν πεπηρῶσθαι· τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς; ἵνα πάλιν κολάσῃ; Οὐ μόνον, φησὶν, οὐδὲν ἐργάσεται δεινόν, ἀλλὰ καὶ πείσεται πολλὰ ὑπὲρ ἐμοῦ.

17 Ὁ Κύριος ἀπέσταλκέ με, (Ἰησοῦς, ὁ ὀφθείς σοι ἐν
τῇ ὁδῷ, ᾗ ἤρχου,) ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς
18 Πνεύματος ἁγίου. Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν
ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε· καὶ
ἀναστὰς ἐβαπτίσθη. Καὶ λαβὼν τροφὴν ἐνίσχυσεν.

Ὁ *ὀφθείς σοι.*] Καὶ μὴν οὐκ εἶπεν αὐτῷ ὁ Χριστός· Ὅτι ὤφθην αὐτῷ· ἀλλ' ἀπὸ τοῦ πνεύματος ἔμαθεν. Καὶ μὴν οὐκ Ὤφθη; Ναὶ, διὰ πραγμάτων καὶ τῆς ἐνεργείας ὤφθη. Οὐκ εἶπε δὲ, *Ὁ πηρώσας σε*, ἐκκλίνων τὸν ὀνειδισμόν· ἀλλ', *Ὁ ὀφθείς σοι.* Ἐκπίπτουσι δὲ λεπίδες, τὸ σφοδρὸν δεικνύουσαι τῆς τυφλώσεως, καὶ τὸ ἀναμφίβολον τῆς ἰάσεως.

19 Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μα-
20 θητῶν ἡμέρας τινάς. Καὶ εὐθέως ἐν ταῖς συναγω-
γαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς
21 τοῦ θεοῦ. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ
ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ
τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο ἐληλύθει, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ
22 τοὺς ἀρχιερεῖς. Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο,
καὶ συνέχυνε τοὺς Ἰουδαίους, τοὺς κατοικοῦντας
ἐν Δαμασκῷ, συμβιβάζων, ὅτι οὗτός ἐστιν ὁ Χρι-
23 στός. Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβου-
24 λεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν. Ἐγνώσθη δὲ
τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν· παρετήρουν τε τὰς
πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι.
25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν
διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι.

Ἐκήρυσσε τὸν Χριστὸν ἐν ταῖς συναγωγαῖς.] Ἅτε νομομαθὴς ὢν, ἐπεστόμιζεν αὐτοὺς, καὶ οὐκ εἶα φθέγγεσθαι· ἀλλ' ἀπὸ τῶν γραφῶν ἐδείκνυε, *συμβιβάζων*, τουτέστι, μετ' ἐπιεικείας διδάσκων, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ. Οἱ δὲ ἐπεβούλευον, ὥστε ἀνελεῖν αὐτόν· ὁδὲ ἀπὸ τοῦ τείχους ἐν σπυρίδι ἐχαλᾶτο διὰ τῶν μαθητῶν, καὶ διεσώζετο φυγάς. Εἰ γὰρ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ' ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἦρα σωτηρίας· διὸ καὶ πολλάκις τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι· καὶ οὐδὲ παρητεῖτο καὶ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν, ἡνίκα ἀπῄτει καιρός. Σκόπει δὲ, ὅτι ἤδη καὶ μαθητὰς ἦν κτησάμενος. Οὕτως ὅλος ἐκαίετο καὶ ἐπεπλήρωτο τοῦ κηρύγματος! καὶ τὸ βραδύτερον αὐτὸν προσελθεῖν, προθυμότερον αὐτὸν ἐποίει.

26 Παραγενόμενος δὲ ὁ Σαῦλος ἐν Ἱερουσαλὴμ, ἐπει-
ρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφο-
βοῦντο αὐτὸν, μὴ πιστεύοντες, ὅτι ἐστὶ μαθητής.
27 Βαρνάβας δὲ, ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς
τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν
τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ,
καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνό-
28 ματι τοῦ Ἰησοῦ. Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμε-
νος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλὴμ, καὶ παῤ-
ῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ.

Ἄξιον ἐνταῦθα διαπορῆσαι, πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησὶν (α), ὅτι οὐκ ἀπῆλθεν εἰς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν, καὶ πάλιν εἰς Δαμασκόν· καὶ μετὰ τρία ἔτη εἰς Ἱεροσόλυμα, ἱστορῆσαι Πέτρον· καὶ ὅτι οὐδένα τῶν ἀποστόλων εἶδεν· ἐνταῦθα δὲ τοὐναντίον φησιν, ὅτι ἦγαγεν αὐτὸν πρὸς τοὺς ἀποστόλους ὁ Βαρνάβας. Ἢ τοίνυν τοῦτό φησιν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ, ὅτι Οὐκ ἀπῆλθεν, ὥςε προσαναθέσθαι· φησὶ γὰρ, ὅτι Οὐ προσανεθέμην, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα· ἢ, εἰ μὴ τοῦτο, δῆλον, ὅτι ἡ ἐπιβουλὴ ἡ ἐν Δαμασκῷ οὐκ εὐθέως μετὰ τὸ πιστεῦσαι γέγονεν, ἀλλα μετὰ τὸ ἐλθεῖν ἀπὸ Ἀραβίας μετὰ ἔτη τρία. Ἢ, εἰ μὴ τοῦτο πάλιν, αὐτὸς μὲν οὐκ ἀπῆλθε πρὸς τοὺς ἀποστόλους· ἀλλὰ τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι, μετριάζων, ἅτε διδάσκαλος ὤν, καὶ οὐ μαθητής· Βαρνάβας δὲ αὐτὸν καὶ πρὸς τοὺς ἀποστόλους ἄγει, καὶ διηγεῖται ἅ τε εἶδεν, ἅ τε ἐπαῤῥησιάσατο. Διὰ τοῦτο ἀπῆλθόν, φησιν, ἵνα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀπέλθω· οὐδὲν γοῦν παρ' αὐτῶν ἔμαθον. Ἢ ταύτην τὴν ἄνοδον λάμβανε, ὥστε εἶναι οὕτως, ὅτι ἀνῆλθεν εἰς Ἀραβίαν, εἶτα ἦλθεν εἰς Δαμασκὸν, εἶτα εἰς Ἱεροσόλυμα, εἶτα εἰς Συρίαν. Ἢ, εἰ μὴ τοῦτο πάλιν, ὅτι αὖθις ἀπῆλθεν εἰς Ἱεροσόλυμα, εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη, εἶτα εἰς Ἀραβίαν, εἶτα εἰς Δαμασκὸν πάλιν, εἶτα εἰς Καισάρειαν· καὶ τότε διὰ δεκατεσσάρων ἐτῶν ἀνέβη πάλιν εἰς Ἱεροσόλυμα, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα (β). Ἢ, εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν. Καὶ γὰρ ὁ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. Δοκεῖ δέ μοι ὁ Βαρνάβας, ἄνωθεν αὐτῷ εἶναι φίλος· ἦν δὲ ἄνθρωπος ἐπιεικὴς καὶ χρηστὸς σφόδρα· διὸ καὶ Υἱὸς παρακλήσεως φερωνύμως ἐλέγετο· ὅθεν καὶ εὐπρόσιτος γέγονε τῷ ἀνδρί.

29 Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· 30 οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. Ἐπιγνόντες δὲ οἱ

(α) Γαλατ. Α, 17-19. (β) Πραξ. ΙΕ', 2.

ἀδελφοί, κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν.

Ἑλληνιστάς φησι, τοὺς ἑλληνιστὶ φθεγγομένους· καὶ σφόδρα σοφῶς· οἱ γὰρ ἄλλοι, τουτέστιν οἱ ἁθεῖς Ἑβραῖοι, οὐδὲ ἰδεῖν αὐτὸν ἤθελον.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου· καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο.

Αἱ μὲν οὖν ἐκκλησίαι.] Μέλλει λέγειν, ὅτι κάτεισιν ἐκεῖθεν ὁ Πέτρος. Ἵνα οὖν μὴ φόβου τοῦτο νομίσῃς, προεῖπεν, ὅτι εἰρήνην εἶχον αἱ ἐκκλησίαι. Ὅτε μὲν γὰρ ἡ ἀκμὴ τοῦ πολέμου ἦν, ἐν Ἱεροσολύμοις διέτριβον οἱ ἀπόστολοι· ὅτε δὲ εἰρήνη, καὶ τοῖς ἄλλοις ἐκήρυττον.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ Αἰνέα παραλυτικοῦ, ἰαθέντος ἐν Λύδδῃ διὰ Πέτρου· ἐν ᾧ τὰ περὶ Ταβιθᾶς τῆς φιλοχήρου, ἣν ἤγειρεν ἐκ νεκρῶν ὁ Πέτρος διὰ προσευχῆς ἐν Ἰόππῃ.

32 Ἐγένετο δὲ Πέτρον, διερχόμενον διὰ πάντων, κα-
τελθεῖν καὶ πρὸς τοὺς ἁγίους, τοὺς κατοικοῦντας
33 Λύδδαν. Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα, Αἰνέαν ὀνό-
ματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ,
34 ὃς ἦν παραλελυμένος. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος·
Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι, καὶ
35 στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη. Καὶ εἶδον
αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν
Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

Οὐκ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρὸς, οὐδὲ ἠρώτησεν, εἰ βού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοιτο θεραπευθῆναι· οὔπω γὰρ ἦσαν τεκμήρια τῆς οἰκείας παρασχόντες δυνάμεως· εἰκότως τοίνυν οὐκ ἀπῃτεῖτο τὴν πίστιν ὁ ἀνήρ· οὐδὲ γὰρ τὸν χωλὸν ἀπῄτησαν (α). Μάλιστα μὲν οὖν καὶ πρὸς πολλῶν παράκλησιν γέγονε τὸ θαῦμα· ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ. Καθάπερ οὖν ὁ Χριστὸς ἀρχόμενος τῶν σημείων, οὐκ ἀπῄτει πίστιν, οὕτως οὐδὲ οὗτοι. Ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν πρότερον ἐγένετο· ἵνα ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν (β). Πολλὰ γὰρ ἐκεῖ ἐγένετο σημεῖα· ἐνταῦθα δὲ τοῦτο πρῶτον ἐπιβαίνει. Τὰ μὲν γὰρ τῶν σημείων ὑπὲρ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγίνετο, τὰ δὲ καὶ ὑπὲρ τῆς τῶν πιστευόντων παρακλήσεως.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, ὀνόματι Ταβιθά, ἡ
διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης
37 ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν, ὧν ἐποίει. Ἐγέ-
νετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐ-
τὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπε-
38 ρῴῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μα-
θηταὶ ἀκούσαντες, ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέ-
στειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες,
39 μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Ἀναστὰς δὲ Πέ-
τρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγα-
γον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι
αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας
καὶ ἱμάτια, ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορ-
40 κάς. Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ
γόνατα προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶ-
μα, εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς
ὀφθαλμοὺς αὐτῆς· καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκά-
41 θισε. Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν· φω-
νήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν
42 αὐτὴν ζῶσαν. Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς
Ἰόππης· καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

Ὀνόματι Ταβιθά, καὶ τὰ ἑξῆς.] Δείκνυται, ὅτι αὕτη φερώ-

(α) Πραξ. Γ', 2—8. (β) Πραξ. Ε', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νυμος ἦν· οὕτως ἐγρηγορυῖα καὶ νήφουσα, ὥσπερ Δορκάς. Πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, δηλοῦντα τῇ ἐνεργείᾳ τὴν προσηγορίαν ἀκολουθοῦσαν. Συνέβη τοίνυν ταύτην ἀῤῥωστήσασαν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν, τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν· καὶ τότε ἀποστείλαντες μετακαλοῦνται Πέτρον. Οὐκ ἐποίησαν δὲ τοῦτο πρὸ τοῦ ἀποθανεῖν, ἀνάξιον ἡγούμενοι ὑπὲρ τῶν τοιούτων σκύλλειν τοὺς μαθητὰς, καὶ τοῦ κηρύγματος παρασπᾶν. Διὰ τοῦτο λέγει, ὅτι *ἐγγὺς ἦν* [ἡ Λύδδα]. Ἐν τάξει γὰρ παρέργου τοῦτο ἤτουν· μαθήτρια γὰρ ἦν. *Μετ' αὐτῶν οὖσα ἡ Δορκάς.*] Τὸ, *μετ' αὐτῶν*, τὴν ταπεινοφροσύνην αὐτῆς δηλοῖ· ὅτι συνῆν αὐταῖς καὶ συνδιητᾶτο ὡς μία τῶν πολλῶν οὖσα. Τί οὖν ὁ Πέτρος; Πάντας ἐκβάλλει ἔξω, ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι μηδὲ ταραχθῆναι· καὶ θεὶς τὰ γόνατα προσηύξατο· οὐ πάντα γὰρ μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐποίουν· εἶτα φωνήσας, καὶ δοὺς αὐτῇ χεῖρα, ἀνέστησεν αὐτὴν, διὰ μὲν τοῦ ῥήματος τὴν ζωὴν αὐτῇ δωρούμενος, τὴν δὲ δύναμιν διὰ τῆς χειρὸς παρασχών. Σημειωτέον δὲ, ὅτι οὐ μόνοις τοῖς ἀπίστοις, ἀλλὰ καὶ τοῖς ἁγίοις ἐγίνετο σημεῖα οἰκονομικῶς· ἵνα καὶ ἄλλοι πιστεύσωσιν. Ἰδοὺ γὰρ μετὰ τὸ σημεῖον τοῦτο πάλιν πολλοὶ ἐπίστευσαν· ὡς εἶναι πάλιν τὰ σημεῖα τοῖς ἀπίστοις. Οὐ γὰρ ἄλλως ἐπίστευσαν, εἰ μὴ πάλιν εἶδον σημεῖα, τῶν ἁγίων καὶ δίχα τοῦ σημείου πιστευόντων, ὅτι δυνατός ἐστιν ὁ τοῦ θεοῦ δοῦλος ἀναστῆσαι νεκρόν· ἐπεὶ πῶς ἂν αὐτὸν μετεστείλαντο;

43 Ἐγένετο δὲ, ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ, παρά τινι Σίμωνι βυρσεῖ.

Οὐ παρ' ἄλλῳ τινὶ τῶν ἐπισήμων μένει Πέτρος, ἀλλὰ παρὰ βυρσεῖ, διὰ πάντων εἰς ταπεινοφροσύνην ἡμᾶς ἀνάγων, οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιείς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι. Ἔμεινε δὲ ἐν Ἰόππῃ ἡμέρας ἱκανάς· ἐδέοντο γὰρ αὐτοῦ τῆς διδασκαλίας οἱ διὰ τὰ σημεῖα πιστεύσαντες εἰς τὸν ὑπ' αὐτοῦ κηρυττόμενον θεὸν Ἰησοῦν τὸν Χριστόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ Κορνηλίου, ὅσα τε πρὸς αὐτὸν ὁ ἄγγελος εἶπε, καὶ ὅσα πάλιν Πέτρῳ οὐρανόθεν περὶ κλήσεως ἐθνῶν ἐρρέθη· ἐν ᾧ, ὅτι μετασταλεὶς ὁ Πέτρος ἦλθε πρὸς Κορνήλιον. Ἐπανάληψις παρὰ τοῦ Κορνηλίου, ὧν ὁ ἄγγελος ἐπεμαρτύρησε καὶ ὑφηγήσατο αὐτῷ τῷ Κορνηλίῳ. Πέτρου κατήχησις εἰς Χριστὸν, τοῦ τε ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀκούοντας δωρεὰ, καὶ ὅπως ἐβαπτίσθησαν τότε οἱ ἐξ ἐθνῶν πιστεύσαντες.

ΚΕΦ. Χ, 1 Ἀνὴρ δέ τις ἦν ἐν Καισαρείᾳ, ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης, τῆς καλου-
2 μένης Ἰταλικῆς, εὐσεβὴς καὶ φοβούμενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ θεοῦ διὰ παν-
3 τὸς· εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ θεοῦ εἰσελθόντα
4 πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε. Ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος γενόμενος, εἶπε· Τί ἐστι, Κύριε; Εἶπε δὲ αὐτῷ· Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώ-
5 πιον τοῦ θεοῦ. Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέ-
6 τρος. Οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ· Οὐ μνημονεύονται ὅ, τε Αἰθίοψ καὶ ὁ Κορνήλιος, ὅτι ἐν ἀξιώματι· ἀλλ' ὅτι ὑπὸ τοῦ πλούτου καὶ τοῦ ὄγκου τοῦ περὶ αὐτοὺς οὐκ ἐκωλύθησαν ἐν εὐλαβείᾳ πολιτεύεσθαι. Οὗτος

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

μὲν οὖν οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ τῶν ὑπὸ τὸν νόμον· ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. Τοῦτον ἰδὼν ὁ τῆς ἀληθείας ὀφθαλμὸς, ὅτι καλὰ μὲν ἔχει ἔργα, νεκρὰ δὲ ταῦτα ἐστι, πίστιν μὴ ἔχοντα, ἀποστέλλει βραβεύοντα τοῖς ἔργοις ἄγγελον, ὡς καλῶς ἀθλοῦντα στεφανῶσαι τῇ πίστει. Τοῦτο δὲ ποιεῖ καὶ εἰς πληροφορίαν Πέτρου, μᾶλλον δὲ τῶν ἀσθενεστέρων. Ἐν νάτῃ δὲ ὥρᾳ, ὅτε φροντίδων ἧφιετο, καὶ ἐν ἡσυχίᾳ ἦν καὶ πολλῇ κατανύξει. Διὰ τοῦτο δὲ τὸν ἄνδρα ποιεῖ γνώριμον καὶ δῆλον ὁ συγγραφεὺς, ἵνα μή τις εἴποι, ὅτι ψεύδεται. Διὸ καὶ τὴν ἀξίαν ἐδήλωσεν, *ἐκ σπείρης, εἰπὼν, τῆς καλουμένης Ἰταλικῆς. Σπείρα* δέ ἐστιν ὃ καλοῦμεν νῦν *κοῦμερον* (1).

6 Ὃς ἐστιν οἰκία παρὰ θάλασσαν. Οὗτος λαλήσει σοι
7 τί σε δεῖ ποιεῖν (2). Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,

Τὰ ἀνακεχωρημένα τῶν πόλεων ἐδίωκον οἱ ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας. Τί δὲ εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα; Ἰδοὺ ἐστὶ σημεῖον τὸ παρὰ θάλασσαν οἰκεῖν. Οὐκ εἶπε δὲ διὰ τί; ἵνα μὴ ἐκλύσῃ αὐτόν· ἀλλ' ἀφῆκεν αὐτὸν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι.

8 Καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐ
9 τοὺς εἰς τὴν Ἰόππην. Τῇ δὲ ἐπαύριον, ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην.

Ὁρᾳ τὸ ἄτυφον! Οὐ γὰρ εἶπε· Καλέσατέ μοι Πέτρον· οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι. Διὰ τοῦτο ἐξηγήσατο ἅπαντα, ὥστε καὶ πεῖσαι. Οὕτω μέτριος ἦν

(1) Ἐκ σπείρης· ἐκ τάγματος, ἐκ νουμέρου. Ἡσύχιος.

(2) Τὸ «Οὗτος λαλήσει σοι, τί σε δεῖ ποιεῖν» παραλείπεται ἐν ταῖς κριτικωτέραις τῆς Κ. Δ. ἐκδόσεσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνὴρ· καίτοι οὐδὲν μέγα φανταθῆναι ἦν περὶ ἀνδρὸς κατα-
γομένου παρὰ βυρσεῖ.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι· παρα-
σκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκ-
11 στασις· καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ
καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι, ὡς ὀθόνην μεγά-
λην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον
12 ἐπὶ τῆς γῆς· ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα
τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ.

Ἡ ἔκστασις δηλοῖ καὶ τὴν ἐπὶ θαυμασμῷ ἔκπληξιν, καὶ τὸ ἔξω τῶν αἰσθητῶν γενέσθαι, ἐπὶ τὰ πνευματικὰ ποδηγούμενον. Ἐκ τούτου δῆλον, ὅτι πνευματική τις ὡσανεὶ θεωρία γέγονεν αὐτῷ, τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξεστηκυίας τῆς ψυχῆς. Καὶ θεωρεῖ σύμβολον τῆς οἰκουμένης ἁπάσης ἀκρότατον, τὴν ὀθόνην ἐκείνην. Αἱ δὲ τέσσαρες ἀρχαὶ τὰ τέσσαρα στοιχεῖα δηλοῦσι· τὸ δὲ φανὲν σκεῦος, τὸν παχύτερον κόσμον σημαίνει· τὰ δὲ διάφορα ζῶα, τῆς τῶν ἀνθρώπων ἐστὶ καταστάσεως σύμβολα. Ἤ, ἵνα σαφέστερον εἴπω, σινδὼν ἡ ἐκκλησία· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν. Ἐθεάσατο τοίνυν τὴν ἐκκλησίαν τέσσαρσιν εὐαγγελίοις δεδεμένην, ἐν ᾗ ὑπῆρχε πάντα τὰ ἔθνη.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστὰς, Πέτρε,
14 θῦσον καὶ φάγε. Ὁ δὲ Πέτρος εἶπε· Μηδαμῶς, Κύριε·
15 ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. Καὶ
φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ θεὸς
16 ἐκαθάρισε, σὺ μὴ κοίνου. Τοῦτο δὲ ἐγένετο ἐπὶ
τρίς· καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρα-
17 νόν. Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη
τὸ ὅραμα, ὃ εἶδε, καὶ ἰδοὺ, οἱ ἄνδρες, οἱ ἀπεσταλ-
μένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰ-
18 κίαν Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα· καὶ
φωνήσαντες ἐπυνθάνοντο, εἰ Σίμων, ὁ ἐπικαλού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 μενος Πέτρος, ἐνθάδε ξενίζεται. Τοῦ δὲ Πέτρου δι-
ενθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ
20 πνεῦμα· Ἰδοὺ, ἄνδρες τρεῖς ζητοῦσί σε. Ἀλλὰ
ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν
21 διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Κα-
ταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας, τοὺς ἀπεσταλ-
μένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτὸν, εἶπεν· Ἰδοὺ,
ἐγώ εἰμι, ὃν ζητεῖτε· τίς ἡ αἰτία, δι' ἣν πάρεστε;
22 Οἱ δὲ εἶπον· Κορνήλιος, ἑκατοντάρχης, ἀνὴρ δίκαιος
καὶ φοβούμενος τὸν θεὸν, μαρτυρούμενός τε ὑπὸ
ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ
ἀγγέλου ἁγίου, μεταπέμψασθαί σε εἰς τὸν οἶκον
23 αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. Εἰσκαλεσά-
μενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ Πέ-
τρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν,
24 τῶν ἀπὸ Ἰόππης, συνῆλθον αὐτῷ. Καὶ τῇ ἐπαύ-
ριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. Ὁ δὲ Κορνήλιος
ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγ-
25 γενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. Ὡς δὲ
ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ
Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν.
26 Ὁ δὲ Πέτρος αὐτὸν ἤγειρε, λέγων· Ἀνάστηθι·
27 κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι. Καὶ συνομιλῶν αὐτῷ,
28 εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς· ἔφη
τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν
ἐστιν ἀνδρὶ Ἰουδαίῳ, κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλ-
λοφύλῳ· καὶ ἐμοὶ ὁ θεὸς ἔδειξε, μηδένα κοινὸν ἢ
29 ἀκάθαρτον λέγειν ἄνθρωπον. Διὸ καὶ ἀναντιῤῥή-
τως ἦλθον μεταπεμφθείς.

Γῆ μὲν ἡ σινδών· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν· τὸ δὲ, *Θῦσον καὶ φάγε*, ὅτι κἀκείνους δεῖ προσιέναι· τὸ δὲ τρίτον τοῦτο γενέσθαι, τὸ βάπτισμα. Ὡς δὲ διηπόρει ὁ Πέτρος, εὐκαίρως ἦλθον οἱ ἄνδρες, τὴν ἀπορίαν λύοντες· εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γενομένη, ὥσπερ καὶ ὁ Ἰωσὴφ πρότερον συνεχωρήθη θορυβῆναι, καὶ τότε

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἦλθεν ὁ ἄγγελος (α). *Καὶ φωνήσαντες ἐπυνθάνοντο.*] Ἅτε εἰς εὐτελῆ οἰκίαν κάτωθεν ἐπυνθάνοντο, τοὺς γείτονας ἠρώτων. Πολλὴ δὲ τοῦ πνεύματος ἡ ἐξουσία, εἰπόντος, ὅτι *Ἐγὼ ἀπέσταλκα αὐτούς.* Ὁ γὰρ ποιεῖ ὁ θεὸς, τοῦτο λέγεται τὸ πνεῦμα ποιεῖν. Ὁ μὲν γὰρ ἄγγελος εἶπεν· Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου· ἵνα δείξῃ, ὅτι ἐκεῖθεν ἀπέσταλται· τὸ δὲ πνεῦμα οὐχ οὕτως· ἀλλ' *ὅτι Ἐγὼ ἀπέσταλκα αὐτούς.* Καταβὰς δὲ Πέτρος τὴν αἰτίαν πυνθάνεται. Διά τί; Ἵνα, ἂν μὲν εὐθέως κατεπείγῃ, συνεξέλθῃ· ἂν δὲ μὴ, ἵνα ξενίσῃ αὐτοὺς εἰς τὸν οἶκον. Τὸ δὲ συναπελθεῖν τῷ Πέτρῳ τινὰς τῶν ἀπὸ Ἰόππης ἀδελφῶν, οἰκονομικῶς ἦν, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅταν ἀπολογήσασθαι δέῃ Πέτρον πρὸς τοὺς μαθητὰς, ὅτι καὶ διεκρίθη ὑπὸ τοῦ πνεύματος, μὴ διακρίνεσθαι. —Γυμνῶς ὁ τῆς εὐσεβείας παραδίδοται λόγος, οὐχ ἁπαξ εἰπούσης τῆς θείας φωνῆς, ὅτι οὐκ ἔστι κοινὸν, ὅπερ ὁ θεὸς ἐκαθάρισεν, ἀλλὰ τρίς· ἵνα μάθωμεν τῇ μιᾷ φωνῇ θεὸν καθαρίζοντα τὸν πατέρα, καὶ τῇ ἑτέρᾳ, θεὸν καθαρίζοντα τὸν μονογενῆ, καὶ τῇ ἄλλῃ, τὸ Πνεῦμα τὸ ἅγιον. — Ἴσως δὲ ἐπὶ γόνατα κείμενος, εἶδε τὴν ὀπτασίαν· διὸ καὶ ἡ φωνὴ πρὸς αὐτόν· *Ἀναστὰς, Πέτρε,* φησὶ, *θῦσον καὶ φάγε.* Δείκνυται δὲ, ὅτι θεῖον ἦν τὸ γινόμενον· τό, τε ἄνωθεν ἰδεῖν, καὶ τὸ ἐν ἐκστάσει γενέσθαι, καὶ τὸ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι, καὶ τὸ τρὶς ὁμολογῆσαι, ὅτι ἀκάθαρτα ἦν ἐκεῖνα, καὶ τὸ ἐκεῖθεν ἦκειν, καὶ τὸ ἐκεῖ ἀναπασθῆναι, μέγα δεῖγμα καθαρότητος. Τοῦτο δὲ γίνεται διὰ τοὺς μετὰ ταῦτα, οἷς μέλλει ἐξηγεῖσθαι· ἐπεὶ αὐτὸς ἤκουσε τό· *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε* (β). Τὸ δὲ ἐπὶ τρὶς τὴν φωνὴν γενέσθαι, δείκνυσιν αὐτῷ τὸ ἀληθὲς τῆς ὀπτασίας. Δῆλον δέ ἐστιν, ὅτι μὴ κατὰ πάντων τῶν ῥωμάτων διεξεληλυθέναι αὐτῷ τὸν λόγον ἐβούλετο, τῷ λέγειν, ὅτι, *Οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον,* ὡς καὶ βόας, καὶ αἶγας, καὶ πρόβατα, καὶ ὄρνις

(α) Ματθ. Α, 20. (β) Ματθ. Ι, 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

κοινὰ λέγεσθαι παρ' αὐτῷ, τῷ ἐξ Ἰουδαίων ὁρμᾶσθαι τὸν Πέτρον. Ἰουδαῖοι γὰρ καὶ σάρκας ἐσθίουσι, καὶ κρεωφαγίαι παρ' αὐτοῖς οὐκ ἀπηγόρευται. Ἆρα οὖν αὐτοῦ βεβρωκότος ἀπ' ἀρχῆς, ἢ καὶ ἕως τοῦ συναντῆσαι τῷ Σωτῆρι, πῶς οὐκ ἔστι δῆλον, ὅτι οὐ κατὰ πάντων ἀπεφήνατο τὸ *κοινὸν ἢ ἀκάθαρτον*, ἀλλὰ περὶ ὧν ἔλεγεν ὁ νόμος κοινῶν καὶ ἀκαθάρτων; Ὅμως περὶ τούτων ποιουμένου τὸν λόγον τοῦ Πέτρου, τῶν ἐν νόμῳ δηλονότι κοινῶν τε καὶ ἀκαθάρτων, ὁ θεὸς, τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας τὸν χαρακτῆρα παραδιδοὺς, ἔλεγεν αὐτῷ, μηδὲν κοινὸν ἡγεῖσθαι. Πάντα γὰρ αὐτῷ ἐστι καθαρὰ μετ' εὐχαριστίας καὶ εὐλογίας θεοῦ λαμβανόμενα (α). Ἀλλ' εἰ καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν τὸ αἴνιγμα, ἵνα μὴ ἡγήσηται τοὺς ἐν ἀκροβυστίᾳ κοινοὺς ἢ ἀκαθάρτους, ὅμως ὁ λόγος τοῦ Πέτρου οὐ περὶ ἀνθρώπων εἶχε τὴν ἔμφασιν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ ἀπηγορευμένων, ὡς δέδεικται.

29 Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με;

Ἤδη τὸ πᾶν ὁ Πέτρος ἤκουσε καὶ παρὰ τῶν στρατιωτῶν· ἀλλὰ βούλεται πρῶτον αὐτοὺς ὁμολογῆσαι, καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει.

30 Καὶ ὁ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου·

Ἐοικεν οὗτος, καιροὺς ὡρικέναι ἑαυτῷ βίου ἀκριβεστέρου, καὶ ἔν τισιν ἡμέραις. Διὰ γὰρ τοῦτο εἶπεν· *Ἀπὸ τετάρτης ἡμέρας*. Ὅτε οὖν φαίνεται αὐτῷ ὁ ἄγγελος, αὕτη μία ἡμέρα· καὶ ἦν ἦλθον οἱ πεμφθέντες παρὰ Κορνηλίου, μία· καὶ ἦν ἦλθον, μία· καὶ τετάρτη, ἣ ἐφάνη ὡσεὶ τρίτην ὥραν, ἐν ᾗ προσηύξατο. Ὅρα οὖν τὸ μέγεθος τῆς εὐχῆς! Ὅτε ἐπέδωκεν ἑαυτὸν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ὁ ἄγγελος.

(α) Α Τιμ. Δ', 4.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

30 Καὶ Ἰδοὺ, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ·

Ἀνὴρ λέγει, καὶ οὐκ ἄγγελος. Οὕτως ἦν ἄτυφος!

31 Καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευ-
χὴ, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώ-
32 πιον τοῦ θεοῦ. Πέμψον οὖν εἰς Ἰόππην, καὶ
μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗ-
τος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θά-
33 λασσαν· ὃς παραγενόμενος λαλήσει σοι. Ἐξαυτῆς
οὖν ἔπεμψα πρός σέ· σὺ τε καλῶς ἐποίησας παρα-
γενόμενος. Νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ
θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα
34 σοι ὑπὸ τοῦ θεοῦ. Ἀνοίξας δὲ Πέτρος τὸ στόμα,
εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι
35 προσωπολήπτης ὁ θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ φο-
βούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δε-
κτὸς αὐτῷ ἐστί.

Δικαιοσύνην, ἀντὶ τοῦ, πᾶσαν ἀρετήν.

36 Τὸν λόγον, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγ-
γελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός
37 ἐστι πάντων Κύριος. Ὑμεῖς οἴδατε τὸ γενόμενον
ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς
Γαλιλαίας, μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης·

Ταῦτα λέγει διὰ τοὺς παρόντας, ἵνα καὶ ἐκείνους ἐπισπά-
σηται εἰς πίστιν· ὅμως δίδωσι τοῖς υἱοῖς Ἰσραὴλ τὸ ἐξαίρετον·
καὶ ἵνα μὴ νομίσωσιν οὗτοι ἐν τάξει ἀπερριμμένων εἶναι,
οὗτός ἐστι, φησι, πάντων Κύριος.

38 Ἰησοῦν, τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ
θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐ-
εργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευο-
μένους ὑπὸ τοῦ διαβόλου· ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ·
39 καὶ ἡμεῖς ἐσμὲν μάρτυρες πάντων, ὧν ἐποίησεν ἔν
τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλήμ· ὃν
40 καὶ ἀνεῖλον, κρεμάσαντες ἐπὶ ξύλου. Τοῦτον ὁ θεὸς
ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

41 γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ, ἡμῖν·

Τὸ κεχρίσθαι Ἰησοῦν Πνεύματι ἁγίῳ ὑπὸ θεοῦ, κατὰ τὸ ἀνθρώπινον δεῖ νοεῖν. Ἐπειδὴ γὰρ ἐκένωσεν ἑαυτὸν, καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς, ταῦτα, ἅπερ ἔχει κατὰ φύσιν ὡς θεὸς, λαμβάνειν λέγεται διὰ τὸ ἀνθρώπινον· δέχεται γὰρ οὐχ ἑαυτῷ, καθ' ὃ θεὸς λόγος ἐστίν· ἴδια γὰρ ἦν αὐτοῦ· ἀλλ' ἡμῖν, ὡς ἐν ἀπαρχῇ, δι' ἑαυτοῦ.

41 Οἵ τινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ
42 τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· καὶ παρήγγειλεν ἡμῖν, κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

Ἐντεῦθεν τὴν ἀνάστασιν τοῦ Χριστοῦ διαβεβαιοῦται, ἐκ τοῦ συμφαγεῖν αὐτῷ μετὰ τὴν ἀνάστασιν. Οὐδὲ γὰρ ἀναστὰς ἐποίησέ τι σημεῖον· αὕτη γὰρ ἡ ἀνάστασις μέγα σημεῖον ἦν· ταύτης δὲ οὐδὲν οὕτω σημεῖον ἦν, ὡς τὸ φαγεῖν καὶ πιεῖν.

43 Τούτῳ πάντες οἱ Προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

Ὅσοι, φησὶ, προφῆται ἐλάλησαν περὶ ἁμαρτιῶν ἀφέσεως, ἐν ταύτῳ τῷ Ἰησοῦ εἶπον αὐτὰς ἀφίεσθαι. Οὕτω καὶ Ἡσαΐας, τὸ αὐτοῦ εἰσφέρων πρόσωπον, λέγει· « Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ τὰς ἀνομίας σου (α). »

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκού-
45 οντας τὸν λόγον. Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται·
46 ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγα-

(α) Ησ. ΜΓ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

47 λυνόντων τὸν θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος· Μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον,
48 καθὼς καὶ ἡμεῖς; Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Τότε ἠρώτησαν αὐτὸν, ἐπιμεῖναι ἡμέρας τινάς.

Ὅτε ἐπίστευσαν, ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτιῶν, τότε ἐπῆλθεν αὐτοῖς τὸ πνεῦμα. Τοῦτο δὲ γίνεται, προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ θεοῦ. Καὶ οὐχ ἁπλῶς τὸ πνεῦμα ἐπῆλθεν· ἀλλὰ καὶ γλώσσαις ἐλάλουν, ὅπερ ἐξέπληττε τοὺς συνελθόντας. Διὸ καὶ ὁ Πέτρος προσέταξεν, εὐθέως αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ οὐκ εἶπε, Τίς ἡ τοῦ ὕδατος χρεία, τοῦ ἁγίου Πνεύματος ἐπιπεσόντος αὐτοῖς; Ἤδει γὰρ, ὅτι θεῖα τελεῖται ἐν αὐτῷ σύμβολα, τάφος, καὶ νέκρωσις, καὶ ἀνάστασις, καὶ ζωή. Ὥσπερ γὰρ εὔκολον ἡμῖν βαπτίσασθαι καὶ ἀνανεῦσαι, οὕτως εὔκολον τῷ θεῷ θάψαι τὸν παλαιὸν ἄνθρωπον, καὶ ἀναδεῖξαι τὸν νέον. Τρίτον δὲ τοῦτο γίνεται, ἵνα γνῶμεν, ὅτι δυνάμει Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τοῦτο γίνεται. Τινὲς δέ φασιν, ἵνα δειχθῇ ἡ τριήμερος ἀνάστασις τοῦ Χριστοῦ, τοῦτο κατεργαζομένη ἐν ἡμῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὡς Πέτρος τὰ καθεξῆς καὶ τὰ καθ' ἕκαστα τῶν γεγονότων διηγεῖται τοῖς ἀποστόλοις, διακριθεῖσι πρὸς αὐτὸν, τὸ τηνικάδε τὸν Βαρνάβαν ἐκπέμψασι πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς.

ΚΕΦ. XI, 1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοι, οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη
2 ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. Καὶ ὅτε ἀνέβη Πέ-
τρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ
3 ἐκ περιτομῆς, λέγοντες· Ὅτι πρὸς ἄνδρας ἀκρο-
βυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.
4 Ἀρξάμενος δὲ ὁ Πέτρος, ἐξετίθετο αὐτοῖς καθεξῆς,
5 λέγων· Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος·
καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός
τι, ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμέ-
6 νην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ· εἰς ἣν
ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς
γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ
7 τοῦ οὐρανοῦ. Ἤκουσα δὲ φωνῆς λεγούσης μοι·
8 Ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε. Εἶπον δέ·
Μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐ-
9 δέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. Ἀπεκρίθη δέ
μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ θεὸς
10 ἐκαθάρισε, σὺ μὴ κοίνου. Τοῦτο δὲ ἐγένετο ἐπὶ
τρίς· καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρα-
11 νόν. Καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν
ἐπὶ τὴν οἰκίαν, ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισα-
12 ρείας πρός με. Εἶπε δέ μοι τὸ πνεῦμα, συνελθεῖν
αὐτοῖς, μηδὲν διακρινόμενον· ἦλθον δὲ σὺν ἐμοὶ
καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν
13 οἶκον τοῦ ἀνδρός. Ἀπήγγειλέ τε ἡμῖν, πῶς εἶδε
τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰ-
πόντα αὐτῷ· Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ
14 μετάπεμψαι Σίμωνα, τὸν ἐπικαλούμενον Πέτρον· ὃς
λαλήσει ῥήματα πρός σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ
15 πᾶς ὁ οἶκός σου. Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν,
ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ὥσπερ
16 καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. Ἐμνήσθην δὲ τοῦ ῥήματος
Κυρίου, ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι,
17 ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ. Εἰ
οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς, ὡς καὶ
ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν,
18 ἐγὼ δέ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν; Ἀκού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαντες δὲ ταῦτα, ἡσύχασαν, καὶ ἐδόξαζον τὸν θεὸν, λέγοντες· Ἄραγε καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν με-
19 τάνοιαν ἔδωκεν εἰς ζωήν! Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως, τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις.
20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι·

Δείκνυσιν ὁ Πέτρος διὰ τῆς ἀπολογίας, ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον· πανταχοῦ δὲ τὸν θεὸν, ἐφ' ὃν ἔρριψε τὸ πᾶν. Ἐν ἐκστάσει γὰρ αὐτὸς ἐποίησέ μέ, φησι· τὸ σκεῦος αὐτὸς ἔδειξεν· ἐγὼ δὲ καὶ ἀντεῖπον· καὶ πάλιν αὐτὸς εἶπε· καὶ οὐδὲ οὕτως ἤκουσα· τὸ πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ ἀπελθών, οὐδὲ οὕτως ἔδραμον. Εἶπον, ὅτι ὁ θεὸς ἔπεμψέ με· καὶ οὐδὲ οὕτως ἐβάπτισα· ἀλλὰ πάλιν ὁ θεὸς τὸ πᾶν εἰργάσατο. Ὁ θεὸς αὐτοὺς ἐβάπτισεν, οὐκ ἐγώ. Ἔτι γάρ μου λαλοῦντος αὐτοῖς, ἐπέπεσεν ἐπ' αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐλάλουν γλώσσαις, καὶ ἐμεγάλυνον τὸν θεὸν, καθὼς καὶ ἡμεῖς.

20 Οἵ τινες, εἰσελθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἑλληνιστὰς, εὐαγγελιζόμενοι τὸν Κύριον
21 Ἰησοῦν. Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.
22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν
23 Βαρνάβαν, διελθεῖν ἕως Ἀντιοχείας. Ὃς παραγενόμενος, καὶ ἰδὼν τὴν χάριν τοῦ θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας, τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ·

Πρὸς τοὺς *Ἑλληνιστάς.*] Ἴσως διὰ τὸ μὴ εἰδέναι Ἑβραϊστὶ λαλεῖν, Ἑλληνιστὰς αὐτοὺς ἐκάλουν. Ἐλάλουν τοίνυν καὶ πρὸς αὐτοὺς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν, καὶ ἐπίστευον ἅπαντες· ἐπειδή, φησι, χεὶρ Κυρίου ἦν μετ' αὐτῶν, τουτέστι, σημεῖα εἰργάζοντο. Διὰ τοῦτο γὰρ ἡ τῶν σημείων ἀνάγκη γέγονεν, ἵνα πιστεύσωσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς, καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως. Καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ
25 Κυρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας, ἀναζητῆσαι Σαῦλον· καὶ εὑρὼν αὐτὸν, ἤγαγεν αὐτὸν
26 εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν·

Διὰ τί μὴ Παύλῳ γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; Ὅτι οὔπω τοῦ ἀνδρὸς ἤδεισαν τὴν ἀρετήν. *Ὅτι ἦν ἀνὴρ ἀγαθός.*] Οὐκ ἀντίκειται τοῦτο τῷ· Οὐδεὶς ἀγαθὸς, εἰ μὴ μόνος ὁ θεός (α). Οὐ γὰρ ταὐτόν ἐστι θεὸν μόνον ἀγαθὸν εἶναι, καὶ ἄνδρα ἀγαθὸν ὑπάρχειν. Ὁ μὲν γὰρ κατ' οὐσίαν ἀγαθὸς ὑπάρχει, ἀρχὴ καὶ πηγὴ ὢν τῶν ἀγαθῶν· ὁ δὲ ἀνὴρ, οὐ κατ' οὐσίαν, ἀλλ' ἐν ἀναλήψει ἀρετῆς ἔχει τὸ ἀγαθὸς εἶναι. Οὐ γὰρ ἁπλῶς *ἀγαθός*· ἀλλ' *ἀνὴρ ἀγαθός*. Εἰς τοῦτο οὖν λήψῃ καὶ τό· « Ὁ ἀγαθὸς ἄνθρωπος· » καὶ τό « Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ (β)· » καὶ τὰ τούτοις ὅμοια.

26 Χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς.

Παύλου καὶ τοῦτο τὸ κατόρθωμα, εἰς τοσοῦτον ἐπᾶραι ὕψος, ὥσπερ τι σημεῖον, τὸ ὄνομα. Ἐν γὰρ τῇ Ἰουδαίᾳ τοσούτων ὄντων τῶν πιστευσάντων, οὐδὲν τοιοῦτον γέγονεν· ἀλλ', *Οἱ τῆς ὁδοῦ*, ἤκουον. Σημειωτέον δὲ, ὅτι διὰ τοῦτο μᾶλλον ἡ Ἀντιόχεια θρόνου ἠξιώθη ἀρχοντικοῦ· ἐπειδὴ ἐκεῖ πρῶτον ἐχρημάτισαν οἱ μαθηταὶ Χριστιανοί. Τοῦτο δὲ τὸ ὄνομα πολυθεΐας ἐστὶν ἀντίπαλον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Προφητεία Ἀγάβου περὶ λιμοῦ οἰκουμε-

(α) Λουκ. ΙΗ', 19. (β) Ματθ. ΙΒ', 23. ΚΕ', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νικοῦ, καὶ καρποφορία πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱερο-
28 σολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν, ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου
29 Καίσαρος. Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν, ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς
30 κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

Οὐκ ἔστιν ἐναντίον τοῦτο τῷ ὑπὸ τοῦ Κυρίου εἰρημένῳ· « Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου » (α). Τοῦτο γὰρ περὶ ἐκείνων φησὶ τῶν προφητῶν, τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων. Ἵνα οὖν μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο ὁ λιμὸς γέγονεν, ὅτι ὁ Χριστιανισμὸς εἰσῆλθε, προλέγει τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο δὲ καὶ ὁ Χριστὸς προεῖπεν (β)· οὐκ ἐπειδὴ τοῦτο ἐξ ἀρχῆς γενέσθαι ἔδει, ἀλλὰ διὰ τὰ κακὰ τὰ εἰς τοὺς ἀποστόλους γενόμενα. Καὶ ἐμακροθύμει ὁ Θεός· ὡς δὲ ἐνέκειντο, λιμὸς μέγας γίνεται, μηνύων τοῖς Ἰουδαίοις τὰ ἐσόμενα κακά. Εἰ δὲ δι' αὐτοὺς ἦν, ἔδει πάντως καὶ ὄντα παύτασθαι. Εὐδοκιμῆσαι γὰρ μᾶλλον ἐχρῆν αὐτούς, ὅτι τὸ αὐτῶν ἐποίουν, ἀνήρουν, ἐκόλαζον, ἐτιμώρουν, πανταχόθεν ἐθίωκον. Διὰ τοῦτο τοίνυν καὶ ὁ λιμὸς γέγονεν, εἰ καὶ οὐ συνῆκαν οἱ τάλανες, καὶ συνέπασχον αὐτοῖς εἰς τοῦτο οἱ χριστιανοί. — Σημειωτέον, ὅτι καὶ πρεσβυτέρων εἶχον ἀξίαν οἱ ἀπόστολοι. Καὶ ἐπὶ ἄλλων δὲ κεφαλαίων σεσήμειωται, ὅτι καὶ διακόνων καὶ ἐπισκόπων εἶχον βαθμόν·

(α) Ματθ. ΙΑ', 13. (β) Ματθ. ΚΔ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ἰακώβου τοῦ ἀποστόλου κατασφαγή· ἐν ᾧ Πέτρου σύλληψις πρὸς Ἡρώδου· ὅπως τε αὐτὸν ὁ ἄγγελος θείῳ κελεύσματι ἐξείλετο τῶν δεσμῶν, καὶ ὁ Πέτρος ἐμφανὴς γενόμενος νύκτωρ τοῖς ἀδελφοῖς ὑπανεχώρησεν· ἐν ᾧ περὶ τῆς τῶν φυλάκων κολάσεως, καὶ μετέπειτα περὶ τῆς τοῦ ἀσεβοῦς Ἡρώδου πικρᾶς τε καὶ ὀλεθρίου καταστροφῆς

ΚΕΦ. XII, 1 Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας.

Ἐκεῖνον καιρόν φησι τὸν ἐπὶ Κλαυδίου Καίσαρος. Γάϊος γὰρ αὐτοκράτωρ Ῥωμαίων Ἀγρίππαν καθίστησι βασιλέα τῆς Ἰουδαίας, τὸν Ἡρώδην ἐξορίσας δι' αἰσχρότητα βίου ἐν Λουγδούνῳ τῆς Γαλλίας σὺν τῇ γυναικὶ Ἡρωδιάδι. Οὗτος οὐκ ἔστιν ὁ κατὰ τὸ πάθος τοῦ Κυρίου βασιλεύσας, περὶ οὗ ἱστορεῖ Ἰώσηπος ἐν τῷ ὀκτωκαιδεκάτῳ λόγῳ τῆς Ἀρχαιολογίας (1), καὶ Εὐσέβιος ἐ τῷ δευτέρῳ λόγῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας (2). Ἡ οὖν διαφωνία τοῦ ὀνόματος ἐνταῦθα τὸ λέγειν ἀντὶ Ἀγρίππα Ἡρώδην, ἢ κατὰ σφάλμα, ὡς εἰκός, γραφικὸν γέγονεν· ἢ κατὰ διωνυμίαν εἴρηται· ἐπεὶ καὶ ὁ χρόνος καὶ αἱ πράξεις τὸν αὐτὸν δεικνύουσιν Ἀγρίππαν ἐπὶ Κλαυδίου Καίσαρος, ὃς μετὰ Γάϊον γέγονεν αὐτοκράτωρ.

---

(1) Ἰωσηπ. Ἰουδ. ἀρχ. Βιβλ. ΙΗ, Κεφ. Ζ. (2) Εὐσεβ. Ἐκκλ. ἱς. Βιβλ. Β'. Κεφ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 Ἀνεῖλε δὲ Ἰάκωβον, τὸν ἀδελφὸν Ἰωάννου, μα-
3 χαίρᾳ. Καὶ ἰδὼν, ὅτι ἀρεστόν ἐςι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· (ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων·)

Ινα μηδεὶς λέγῃ, ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατατολμῶσι τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ θεοῦ, διὰ τοῦτο συγχωρεῖ καὶ ἀναιρεθῆναι τοὺς κορυφαίους, πείθων αὐτοὺς τοὺς ἀναιροῦντας, ὅτι οὐδὲ ταῦτα ἀφίστησιν αὐτοὺς καὶ κωλύει.

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσ-
σαρσι τετραδίοις στρατιωτῶν, φυλάσσειν αὐτὸν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.
5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας
6 πρὸς τὸν θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν
7 τὴν φυλακήν. Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάςα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

Τέσσαρσι *τετραδίοις*, τουτέςι, τὸν ἀριθμὸν δεκαέξ· τετράκις γὰρ τέσσαρα γίνεται δεκαέξ. Ἴσως καθ' ἑκάστην φυλακὴν, τουτέστι τριωρίαν, ἦσαν φύλακες τέσσαρες. Εἰσὶ δὲ φύλακες τέσσαρες κατὰ τριωρίαν, *φυλακὴ* λεγομένη, ὡς εἶναι τὸ δωδεκάωρον τῆς ὅλης νυκτὸς, φυλακὰς τέσσαρας· ἐν αἷς ἀνὰ τέσσαρας στρατιώτας φυλάσσοντας, οἱ πάντες τὸν ἀριθμὸν δεκαέξ. Οὐκ ἦν ἐν ἀγωνίᾳ, οὐδὲ ἐν φόβῳ, ὁ Πέτρος· ἀλλ' ἐκάθευδε, τὸ πᾶν ῥίψας ἐπὶ τὸν Κύριον. Φῶς δὲ ἔλαμψέ, φησιν, ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον, καὶ μὴ νομίσαι φαντασίαν εἶναι. Τὸ δὲ, *ἐν τάχει*, οὐ θορυ-

Ψηφιακή Κεντρική Βιβλιοθήκη Βέροιας

βοῦντος, ἀλλὰ πείθοντος, μὴ ἀναβάλλεσθαι. Ὅρα δὲ τοὺς Ἰουδαίους ἐν ταῖς ἡμέραις τῶν ἀζύμων τοιαῦτα πράττοντας.

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκο-
9 λούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ· καὶ οὐκ ᾔδει, ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγ-
10 γέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ'
11 αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Τοῦ Κυρίου εἰπόντος τοῖς μαθηταῖς· *Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ζώνην, μηδὲ ῥάβδον* (α), πῶς ὁ Πέτρος παρὰ τὸ πρόσταγμα ἐποίει, ἔχων ἱμάτια, καὶ ζώνην, καὶ ὑποδήματα; Ἔτι δὲ καὶ ὁ Παῦλος, ὅταν παραγγέλλῃ Τιμοθέῳ γράφων· « *Τὸν φαιλόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε* (β); Ἰδοὺ φαιλόνην εἶχε· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι καὶ ἕτερον οὐκ εἶχεν ἢ ὃν ἐφόρει. Ἆρα παρήκουσε τοῦ Χριστοῦ, Τί οὖν ἐστι; Τὰ ἐπιτάγματα ἐκεῖνα πρὸς καιρὸν ἦν, καὶ οὐ διὰ παντός. Ὅτι δὲ τοῦτο ἀληθές ἐστι, Λουκᾶς ὁ εὐαγγελιστὴς μαρτυρεῖ. Φησὶ γὰρ εἰρηκέναι τὸν Χριστὸν τοῖς μαθηταῖς· « Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ζώνης καὶ ὑποδημάτων, μή τι ὑστέρησεν ὑμῖν; Λέγουσιν αὐτῷ· Οὔ (γ). » Λέγει δὲ αὐτοῖς· Οὐκοῦν λοιπὸν κτήσασθε. Τίνος δὲ ἕνεκεν τοῦτο τότε ἐπέταξε; Τὴν δύναμιν αὐτοῦ δεῖξαι βουλόμενος. Εἰ τοίνυν ἔδει ἕνα χιτῶνα ἔχειν Παῦλον, εἰ πλύ-

(α) Ματθ. ί. 9. (β) Β' Τιμ. Δ', 13. (γ) Λουκ. ΚΒ', 35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

νειν αὐτὸν ἔδει, γυμνὸν αὐτὸν ἐχρῆν οἴκοι καθῆσθαι, ἢ γυμνὸν περιΐέναι καὶ ἀσχημονεῖν, χρείας καλούσης. Οὐκ ἔδει τοιγαροῦν τὸν Παῦλον, ἐπὶ τοσούτοις κατορθώμασι περιΐόντα τὴν οἰκουμένην, δι' ἱματίου ἔνδειαν οἴκοι καθῆσθαι, καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν. Τί δέ, εἰ κρυμὸς ἐπετέθη σφοδρὸς, καὶ κατέβρεξεν ἢ ἐπάγωσεν; ὃν ἐφόρει χιτῶνα πῶς ἂν ξηραίνεσθαι ἦν; ἢ πάλιν γυμνὸν ἐχρῆν καθῆσθαι; Τὶ δὲ, εἰ ψύχος κατέτεινε τὸ σῶμα, τήκεσθαι ἔδει καὶ μὴ ῥθέγγεσθαι; Καὶ τὶ ἂν εἴη τούτου χαλεπώτερον; Οὐδὲ γὰρ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύαστο. Τὶ οὖν; ἀπόλλυσθαι ἐχρῆν; Οὐδαμῶς! Τοῦτο δὲ, καθὼς εἴρηται, τότε ἐπέταξε, τὴν δύναμιν αὐτοῦ δεῖξαι βουλόμενος, ὅτι οὐδενὸς τῶν ἐπιτηδείων ὑστερήσουσιν.

12 Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μη-
τρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν
13 ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. Κρού-
σαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος,
14 προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη· καὶ
ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς
οὐκ ἤνοιξε τὸν πυλῶνα· εἰσδραμοῦσα δὲ ἀπήγγει-
15 λεν, ἑστᾶναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. Οἱ δὲ
πρὸς αὐτὴν εἶπον· Μαίνῃ. Ἡ δὲ διϊσχυρίζετο οὕτως
ἔχειν.

Τί ἐστι τὸ, *συνιδών*; Ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ' ἀμείψασθαι τὸν εὐεργέτην. *Τοῦ ἐπικαλουμένου Μάρκου.*] Ἵνα δείξῃ, ὅτι οὐ τοῦ ἀεὶ συνόντος αὐτοῖς Ἰωάννου τὴν μητέρα φησὶ, καὶ τὸ παράσημον αὐτοῦ τέθεικε· φησὶ γάρ· *Τοῦ ἐπικαλουμένου Μάρκου.* Οὗτος δὲ ἦν, ὁ καὶ τὸ κατὰ Μάρκον εὐαγγέλιον συγγραψάμενος, ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ Παῦλος γράφει Τιμοθέῳ· «Μάρκον ἀναλαβὼν, ἄγαγε μετὰ σεαυτοῦ. Ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν (α)».

(α) Β' Τιμ. Δ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

16 Οἱ δὲ ἔλεγον· Ὁ ἄγγελος αὐτοῦ ἐστιν· Ὁ δὲ Πέ-
τρος ἐπέμενε κρούων· ἀνοίξαντες δὲ εἶδον αὐτὸν,
17 καὶ ἐξέστησαν. Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σι-
γᾷν, διηγήσατο αὐτοῖς, πῶς ὁ Κύριος αὐτὸν ἐξή-
γαγεν ἐκ τῆς φυλακῆς. Εἶπε δέ· Ἀπαγγείλατε
Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. Καὶ ἐξελθὼν
18 ἐπορεύθη εἰς ἕτερον τόπον. Γενομένης δὲ ἡμέρας,
ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί
19 ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρῴδης δὲ ἐπιζητήσας
αὐτὸν, καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας,
ἐκέλευσεν ἀπαχθῆναι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰου-
20 δαίας εἰς τὴν Καισάρειαν, διέτριβεν. Ἦν δὲ ὁ
Ἡρῴδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυ-
μαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλά-
στον, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο
εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ
τῆς βασιλικῆς.

Ὁ ἄγγελος αὐτοῦ ἐστί.] Ἐκ τούτου δῆλον, ὅτι ἕκαστος ἡμῶν ἄγγελον ἔχει. Ἐκεῖνοι δὲ τοῦτο ἀπὸ τοῦ καιροῦ προσεδόκησαν. Φησὶ γάρ· « Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν (α). » Ὅπου δὲ ὁ Χριστὸς, ἀνάγκη εἶναι καὶ ἀγγέλους, καὶ τὰς ἄλλας δυνάμεις. Ἐξελθὼν δὲ ὁ Πέτρος, ἐπορεύθη εἰς ἕτερον τόπον.] Οὐ γὰρ ἐπείραζε τὸν θεόν· οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλεν ἑαυτόν. — Ἐκέλευσεν ἀπαχθῆναι.] Δυνατὸν ἦν τῷ θεῷ καὶ τοὺς φύλακας ἐξελέσθαι· Ἀλλ' εἰ τοῦτο ἐγεγόνει, ἐνομίσθη ἂν φυγὴ εἶναι τὸ πρᾶγμα. Μᾶλλον γὰρ αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι, ὥσπερ ὑπὸ τῶν μάγων (β) τὸν αὐτοῦ πάππον ἀπατηθέντα μᾶλλον ἐποίει διαπρίεσθαι καὶ καταγέλαστον εἶναι.

21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης ἐνδυσάμενος ἐσθῆτα
βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγό-
22 ρει πρὸς αὐτούς. Ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ

(α) Ματθ. ΙΗ', 20. (β) Ματθ. Β'. 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

23 φωνὴ, καὶ οὐκ ἀνθρώπου. Παραχρῆμα δὲ ἐπάταξεν
αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε δόξαν
τῷ θεῷ· καὶ γενόμενος σκωληκόβρωτος, ἐξέψυξεν.
24 Ὁ δὲ λόγος τοῦ θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. Βαρ-
25 νάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἰερουσαλὴμ,
πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ
Ἰωάννην, τὸν ἐπικληθέντα Μάρκον.

Ὁ δὲ δῆμος ἐπεφώνει.] Καὶ τί πρὸς τοῦτον, εἰ ἐκεῖνοι ἐβόησαν; Ὅτι κατεδέξατο τὴν φωνὴν, ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας. Διὰ τί δὲ μὴ καὶ οἱ κόλακες κολάζονται; Ἀμφότεροι μὲν ἄξιοι τιμωρίας· ἀλλ' ἐπεὶ κρίσεως οὐκ ἔστι καιρός, ὁ μάλιστα ὑπεύθυνος κολάζεται. Εἰ δὲ οὗτος, ἀκούσας, ὅτι Φωνὴ θεοῦ καὶ οὐκ ἀνθρώπου, καίτοι μηδὲν εἰπὼν, τοιαῦτα ἔπαθε, πολλῷ μᾶλλον ὁ Χριὸς, εἰ μὴ θεὸς ἦν, αὐτὸς ἀεὶ λέγων, ὅτι « Τὰ ῥήματα ταῦτα οὐκ ἔστιν ἐμὰ (α)· » καὶ « Οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο (β), » καὶ ὅσα τοιαῦτα. « Κατὰ δὲ τοῦτον τὸν καιρὸν, τρίτον ἔτος Ἀγρίππα βασιλεύοντι, παρῆν ἐν Καισαρείᾳ, τῇ πρότερον Στράτωνος Πύργος καλουμένῃ. Συνετέλει δὲ ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμὴν, ἑορτήν τινα ταύτην ἐπιστάμενος. Δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ, στολὴν ἐνδὺς ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον, ἀρχομένης ἡμέρας. Ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς, θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φοβερόν καὶ τοῖς εἰς αὐτὸν ἀτενίσασι φρικῶδες. Εὐθὺς δὲ οἱ κόλακες, ἄλλος ἄλλοθεν ἀνεβόων φωνὰς, θεὸν προσαγορεύοντες. « Εὐμενής τε εἶης, ἐπιλέγοντες· εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοὐντεῦθεν κρείττονά σε τῆς θνητῆς φύσεως ὁμολογοῦμεν. » Οὐκ ἐπέπληξε δὲ τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. Ἀνακύψας γοῦν μετ' ὀλίγον, τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἐπὶ

(α) Ἰωαν. ιδ', 10. ζ', 16. (β) Ἰωαν. ιή, 36.

ρχοινίου τινὸς, ἄγγελόν τε τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι, καὶ οὔποτε τῶν ἀγαθῶν γενόμενον. Διακάρδιον οὖν ἔσχεν ὀδύνην. Ἀθρόον δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. Ἀναθεωρῶν οὖν πρὸς τοὺς φίλους, Ὁ θεὸς παρ' ὑμῖν ἐγώ, φησι, ἤδη καταστρέφειν ἐπείγομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης, τὰς ἄρτι μου καταψευσαμένας φωνὰς ἐλεγχούσης. Ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν, ἤδη θανεῖν ἀπάγομαι (α). »

ΚΕΦ. XIII, 1 Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ, κατὰ τὴν οὖσαν ἐκκλησίαν, προφῆται καὶ διδάσκαλοι, ὅ,τε Βαρνάβας, καὶ Συμεὼν, ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε, Ἡρῴδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος.

Ἰδοὺ, ὁ τρόπος ἑκάστου, καὶ οὐχ ἡ ἐκ παιδὸς ἀνατροφὴ σώζει. Ὅρα γὰρ τὸν Μαναήν, τίνος σύντροφος ὢν, προφητείας ἠξιώθη.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ἀποστολὴ Βαρνάβα καὶ Παύλου πρὸς τοῦ θείου πνεύματος εἰς Κύπρον· ὅσα τε εἰργάσαντο ἐν ὀνόματι Χριστοῦ εἰς Ἐλύμαν τὸ μάγον.

2 Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ, καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον, ὃ
3 προσκέκλημαι αὐτούς. Τότε νηστεύσαντες καὶ προσευξάμενοι, καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέ-
4 λυσαν. Οὗτοι μὲν οὖν, ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύ-

(α) Ταῦτα ἐκ τῆς Ἰωσήπου Ἰουδ. ἀρχαιολ. Βιβλ. ΙΘ'. Κεφ. Ἡ. §. 6. Εὐσεβ. Ἐκκλ. Ἱς. Βιβλ. Β'. Κεφ. ΙΑ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν Σελεύκειαν,
5 κἀκεῖθεν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον. Καὶ γε-
νόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ
θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ
6 καὶ Ἰωάννην ὑπηρέτην. Διελθόντες δὲ τὴν νῆσον
ἄχρι Πάφου, εὗρόν τινα μάγον, ψευδοπροφήτην
7 Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς, ὃς ἦν σὺν τῷ ἀνθυ-
πάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. Οὗτος προσ-
καλεσάμενος Βαρνάβαν καὶ Σαῦλον, ἐπεζήτησεν ἀκοῦ-
8 σαι τὸν λόγον τοῦ θεοῦ. Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας
ὁ μάγος, (οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα
αὐτοῦ,) ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς
πίστεως.

Τί ἐστι, *λειτουργούντων*; Τουτέστι, κηρυττόντων. Τὸ δὲ, *Ἀφορίσατέ μοι εἰς τὸ ἔργον*, ἀντὶ τοῦ, εἰς ἀποστολήν. Ὑπὸ τίνων δὲ χειροτονοῦνται; Ὑπὸ Λουκίου τε καὶ Μαναήν, μᾶλλον δὲ ὑπὸ τοῦ Πνεύματος. Χειροτονοῦνται δὲ, ὥστε μετ' ἐξουσίας κηρύττειν. Ἐν Σελευκείᾳ δὲ οὐ διατρίβουσιν, εἰδότες, ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν· ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσιν.

9 Σαῦλος δὲ, (ὁ καὶ Παῦλος), πλησθεὶς Πνεύματος
10 ἁγίου, καὶ ἀτενίσας εἰς αὐτὸν, εἶπεν· Ὦ πλήρης
παντὸς δόλου καὶ πάσης ῥαδιουργίας, υἱὲ διαβόλου,
ἐχθρὲ πάσης δικαιοσύνης! οὐ παύσῃ διαστρέφων τὰς
11 ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ νῦν ἰδοὺ, χεὶρ
Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς, μὴ βλέπων τὸν
ἥλιον ἄχρι καιροῦ. Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ'
αὐτὸν ἀχλὺς καὶ σκότος· καὶ περιάγων ἐζήτει χει-
12 ραγωγούς. Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς,
ἐπίσευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

Σαῦλος δὲ, ὁ καὶ Παῦλος.] Ἵνα μηδὲ ταύτῃ τῶν ἀποστόλων ἔλαττον ἔχῃ ὁ Παῦλος, μεθίστησιν αὐτοῦ ὁ θεὸς τὸ ὄνομα, καὶ Σαῦλον ὄντα, *Παῦλον*, ἐκάλεσε· καὶ ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ. Ἵνα οὖν δείξῃ, ὅτι οὐκ ἦν θυμοῦ τὰ ῥήματα Παύλου, ἃ πρὸς Ἐλύμαν ἔφη τὸν μάγον, διὰ τοῦτο προλαβών, εἶπε, *Πλησθεὶς πνεύματος ἁγίου*. Οὐ γὰρ κολάζοντος, ἀλλ' ἐπισρέφοντος ἦν τὰ ῥήματα ταῦτα· εἰ γὰρ κολάζοντος ἦν, διὰ παντὸς ἂν ἐποίησε τυφλόν. Νῦν δὲ οὐ τοῦτο, *ἀλλ' ἄχρι καιροῦ*, ἵνα πείσῃ τὸν ἀνθύπατον. Τὸ γὰρ, *ἄχρι καιροῦ*, εἶπεν, ὅριον τῇ γνώμῃ διδοὺς, ἐν ἑαυτῇ ἔχειν τοῦ φωτὸς τὴν ἀπόληψιν, τὸν τρόπον μεταβαλοῦσαν πρὸς τὸ βέλτιον. Ὃ, γὰρ αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἠβουλήθη προσαγαγεῖν. Οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας. Ἰωάννης δὲ, ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱε-
14 ροσόλυμα. Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας· καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν
15 σαββάτων, ἐκάθισαν. Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς, λέγοντες· Ἄνδρες ἀδελφοὶ, εἴ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε (1).

Ἰωάννης δὲ ἀποχωρήσας] Οὗτός ἐστιν Ἰωάννης, ὁ καὶ Μάρκος κληθείς, ὁ ἀνεψιὸς Βαρνάβα, ὁ καὶ τὸ κατὰ Μάρκον εὐαγγέλιον συγγραψάμενος, καὶ μαθητὴς Πέτρου τοῦ κορυφαίου, περὶ οὗ φησὶν οὗτος ἐν τῇ αὐτοῦ ἐπιστολῇ· « Ἀσπάζεται ὑμᾶς καὶ Μάρκος ὁ υἱός μου (α). » Οὗτος τοίνυν, ἅτε ἐπὶ μακροτέραν σελλομένων ὁδὸν τῶν περὶ τὸν Παῦλον, ἀναχωρεῖ ἀπ' αὐτῶν, καίτοιγε ὑπηρέτης ὤν, διὰ τὸ μὴ φέρειν αὐτὸν τοὺς κινδύνους (2).

(1) « Ἔθος τοῖς Ἰουδαίοις ἐν τοῖς σάββασιν ἀναγινώσκειν τὸν νόμον Μωϋσέως καὶ τοὺς προφήτας καὶ μετὰ τὴν τούτων ἀνάγνωσιν προσομιλεῖν καὶ ἐξηγεῖσθαι. Διὸ καὶ οἱ Ἰουδαίων ἀρχισυνάγωγοι μετὰ τὴν ἀνάγνωσιν προετρέποντο τοὺς περὶ τὸν Παῦλον λαλῆσαι παραινετικοὺς λόγους τῇ συναγωγῇ. » Ἀρμώνιος.

(α) Α' Πετρ. Ε', 13. (2) Ἰδ. καὶ Κεφ. ΙΒ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Παύλου εὐθαλὴς διδασκαλία εἰς Χριστὸν, ἔκ τε τοῦ νόμου καὶ καθεξῆς τῶν προφητῶν, ἱστορικὴ καὶ εὐαγγελικὴ· ἐν ᾧ ὅτι καὶ ἐλεγκτικὴ καὶ συλλογιστική. Περὶ μεταθέσεως τοῦ κηρύγματος εἰς τὰ ἔθνη, διωγμοῦ τε αὐτῶν ἐκεῖ, καὶ ἀφίξεως εἰς Ἰκόνιον.

16 Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ εἶπεν· Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν
17 θεὸν, ἀκούσατε. Ὁ θεὸς τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν· καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος
18 ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς· καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ
19 ἐρήμῳ· καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν.

Ἐνταῦθα πρῶτον ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας κηρύττει Παῦλος. Εἰς τὰς συναγωγὰς δὲ εἰσῆσαν ἐν σχήματι Ἰουδαίων, ὥστε μὴ ἐλαύνεσθαι· καὶ οὕτω τὸ πᾶν κατώρθουν. *Ἔθνη ἑπτά.*] Χεταίους, Γεργεσαίους, Ἀμορῥαίους, Χαναναίους, Φερεζαίους, Εὐαίους καὶ Ἰεβουσαίους (α).

20 Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκε κριτὰς, ἕως Σαμουὴλ τοῦ προφήτου.
21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς τὸν Σαοὺλ, υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν,
22 ἔτη τεσσαράκοντα· καὶ μεταστήσας αὐτὸν, ἤγειρεν αὐτοῖς τὸν Δαυὶδ εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυ-

(α) Δευτερ. Ζ', 1. Ἰησ. Ναυῆ Γ', 10. Νεεμ. Θ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρήσας· « Εὗρον Δαυὶδ, τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ
τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά
23 μου (α). » Τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος κατ'
ἐπαγγελίαν ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν,
24 προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰ-
σόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ
Ἰσραήλ.

Εὗρον Δαυὶδ, καὶ τὰ ἑξῆς.] Σημειωτέον, ὡς οὐδαμοῦ αὐτολεξεὶ ταῦτα τὰ ῥήματα κεῖται ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν (β), ἢ μόνον προφητικῶς ὑπὸ τοῦ Σαμουὴλ εἰρημένα πρὸς τὸν Σαοὺλ, οὕτω· « Καὶ νῦν ἡ βασιλεία σου οὐ στήσεται, καὶ ζητήσει Κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ ἐντελεῖται Κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ· ὅτι οὐκ ἐφύλαξας, ὅσα ἐνετείλατό σοι Κύριος. » Καὶ ἐντεῦθεν ὁ Παῦλος οὕτως εἴρηκε τό· » Εὗρον Δαυὶδ, τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. » *Πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας τῷ Ἰσραήλ.*] *Εἴσοδον*, τὴν σάρκωσιν λέγει.

25 Ὡς δὲ ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε·
Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ,
ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα
26 τῶν ποδῶν λῦσαι. Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους
Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεὸν, ὑμῖν
27 ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ
κατοικοῦντες ἐν Ἰερουσαλὴμ, καὶ οἱ ἄρχοντες
αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν
προφητῶν, τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομέ-
28 νας, κρίναντες, ἐπλήρωσαν. Καὶ μηδεμίαν αἰτίαν
θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον, ἀναιρεθῆναι
29 αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γε-
γραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς
μνημεῖον.

Ἰωάννης μαρτυρεῖ, οὐχ ἁπλῶς· ἀλλὰ πάντων ἐπ' αὐτὸν ἀγόντων

(α) Ψαλμ. πη', 21. (β) Α Βασιλ. ιγ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν δόξαν, αὐτὸς αὐτὴν ἀποκρύεται. Οὐ γάρ ἐστιν ἴσον μηδενὸς διδόντος, καὶ πολλῶν παρεχόντων τὴν τιμὴν, ταύτην διωθεῖσθαι. Τὸ δὲ, *Υἱοὶ γένους Ἀβραὰμ*, τὴν εὐγένειαν δείκνυσι τὴν Ἰουδαϊκήν· Πιλάτου δὲ μνημονεύει, ἵνα μειζόνως κατηγορῶνται, ὡς ἀνδρὶ παραδόντες ἀλλοφύλῳ. Τὸ δὲ, *ἠτήσαντο*, χάριν ἔλαβόν, φησιν, ὡς ἐκείνου μὴ θέλοντος· ὃ καὶ Πέτρος σαφέστερον λέγει, *Ἐκείνου κρίναντος ἀπολύειν* (α).

30 Ὁ δὲ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ
31 ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς
Γαλιλαίας εἰς Ἰερουσαλὴμ, οἵτινές εἰσι μάρτυ-
32 ρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην· ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρωκε τοῖς τέ-
33 κνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν· ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται· « Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε (β). »

Οὐδὲν ἄτοπον τὸ τὸν Ἰησοῦν ἐγηγέρθαι ὑπὸ τοῦ θεοῦ λέγεσθαι· εἰ γὰρ Ἰησοῦς οὐκ ἄλλός ἐστιν ἢ ὁ Λόγος ὁ σαρκωθείς· οὗτος δέ ἐστιν ἡ δύναμις τοῦ Πατρὸς, δι' ἧς πάντα ἐνεργεῖ, (κατὰ τὸ « Χριστὸς θεοῦ δύναμις (γ) »)· αὐτὸς ἑαυτὸν ἀνεστακέναι νοηθήσεται, καίτοι ἐγηγέρθαι λεγόμενος ὑπὸ τοῦ πατρὸς, ἐφ' ᾧ, ὡς ἀρχὴν καὶ αἰτίαν ἄχρονον, ἅπαντα ἀναφέρεται· ἐπεὶ καὶ αὐτός φησι· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν (δ) ». *Ἀναστήσας Ἰησοῦν.*] Ἐπειδὴ τὸ, *Ἰησοῦς*, ὄνομα ἐπὶ τοῦ ἀνθρώπου κακῶς ἐκλαμβάνουσί τινες, καὶ προλαβὼν εἶπε, τεθεῖσθαι τὸν Λόγον ἐν μνημείῳ (ε), ἵνα μήτις ὑπολάβῃ, ἄσαρκον αὐτὸν εἰρηκέναι τὸν Λόγον, πάλιν αὐτὸν *Ἰησοῦν* καλεῖ, οὐδαμοῦ διαίρεσιν διδοὺς τῷ σαρκωθέντι Λόγῳ μετὰ τὴν ἕνωσιν, πανταχοῦ τῶν ἀσεβῶν ἐμφράττων τὰ στόματα. *Υἱός μου εἶ σύ.*] Ταῦτα ἐκ τοῦ

(α) Πραξ. Γ', 13. (β) Ψαλμ. Β', 7. (γ) Α' Κορ. Α' 24.
(δ) Ἰωαν. Β', 19. (ε) Πράξ. Η', 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψαλμοῦ τῇ ἐνανθρωπήσει τοῦ Χριστοῦ πρέπει τὰ ῥήματα· ἥτις χρονικὴν εἶχε τὴν ἐπιφοίτησιν· τὸ γὰρ, *σήμερον*, καὶ, *αὔριον*, ἡμερῶν ἐστὶ παραστατικά· οὗτος δὲ, καθὸ Λόγος, ἀχρόνως παρὰ τοῦ πατρὸς τίκτεται.

34 Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλ-
λοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν·
35 « Ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά (α) ». Διὸ
καὶ ἐν ἑτέρῳ λέγει· « Οὐ δώσεις τὸν ὅσιόν σου
36 ἰδεῖν διαφθοράν (β). » Δαυὶδ μὲν γὰρ, ἰδίᾳ γενεᾷ
ὑπηρετήσας τῇ τοῦ θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσ-
ετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε δια-
37 φθοράν· ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν.

Σημειωτέον τοίνυν ὅτι, οὐ δεῖ τὸ σῶμα τοῦ σωτῆρος καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὴν ἀνάστασιν παθητὸν ὁμολογεῖν, ἤτοι παθῶν δεκτικὸν, οὐδὲ πρὸ τῆς ἀναστάσεως ἀπαθὲς, τουτέστιν ἄφθαρτον καὶ ἀθάνατον. Τὴν γὰρ κατὰ τὸ ἀναμάρτητον ἀφθαρσίαν, πρόδηλον ὡς εἶχεν ἐξ αὐτοῦ τοῦ καιροῦ τῆς σαρκώσεως.

38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοὶ, ὅτι διὰ
39 τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται· καὶ
ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μω-
σέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δι-
καιοῦται.

Διὰ τί οὐκ ἐπήγαγε μαρτυρίαν, δι' ἧς ἔμελλον πείθεσθαι, ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γίνεται; Ὅτι τὸ σπουδαζόμενον τοῦτο ἦν, τὸ δεῖξαι τέως ὅτι ἀνέστη. Τούτου δὲ ὡμολογημένου, ἐκεῖνο ἀναμφισβήτητον.

40 Βλέπετε οὖν, μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον
41 ἐν τοῖς προφήταις· « Ἴδετε οἱ καταφρονηταὶ, καὶ
θαυμάσατε, καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐρ-

(α) Ἡσ. ΝΕ, 3. (β) Ψαλμ. ΙΕ, 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον, ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν (α)».

Κατακεκραγότος τοῦ προφήτου Ἀββακοὺμ τῆς ἀδίκου κρίσεως, καὶ περὶ τῆς ἄγαν ἀνεξικακίας τοῦ θεοῦ, καὶ λέγοντος· «Ἵνατί μοι ἔδειξας κόπους καὶ πόνους; ὅτι ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει, καὶ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα,» ἀποκρίνεται ὁ θεὸς, τοῖς ἀδικοῦσι τὰς ἐσομένας συμφορὰς προαπαγγέλλων. Θαυμάσια δὲ λέγει τὰ αὐτοῖς συμβήσεσθαι μέλλοντα. Ταῦτα δέ, φησι, τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθός ἐστιν, ὡς καὶ ἀπιστεῖσθαι, εἴ τις αὐτὰ ὑμῖν προαπαγγείλειεν. Καὶ ἦν πολλῆς ἐκπλήξεως, πῶς ὁ Ἰσραὴλ, υἱὸς πρωτότοκος ὠνομασμένος, δι' ὃν ἡ Αἴγυπτος ἀπώλετο, παραδέδοται τοῖς ἐχθροῖς, τοῖς Βαβυλωνίοις, ἐν μαχαίρᾳ καὶ αἰχμαλωσίᾳ καὶ δουλείᾳ.

42 Ἐξιόντων δὲ αὐτῶν ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων, παρεκάλουν τὰ ἔθνη εἰς τὸ μεταξὺ σάββατον, λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.
43 Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς,
44 ἔπειθον αὐτοὺς ἐπιμένειν τῇ χάριτι τοῦ θεοῦ. Τῷ δὲ ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη
45 ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέ-
46 γοντες καὶ βλασφημοῦντες. Παῤῥησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας, εἶπον· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ, στρεφόμεθα εἰς τὰ
47 ἔθνη. Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· «Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν
48 ἕως ἐσχάτου τῆς γῆς (β).» Ἀκούοντα δὲ τὰ

(α) Ἀββακ. Α', 5. (β) Ἡσ. ΜΘ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔθνη ἔχαιρον, καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ ἐπίσευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώ-
49 νιον. Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας.

Εἰς τὸ μεταξὺ σάββατον, ἀντὶ τοῦ, *τὸ ἑπόμενον*, ὡς σαφηνίζει κάτω. *Σεβομένους* δ' ἐνταῦθά τε καὶ προϊὼν τοὺς περὶ τὸ οἰκεῖον σέβας θερμοὺς καὶ διαπύρους καὶ ζηλωτὰς τῶν ἄλλων μᾶλλον καλεῖ. Καὶ γὰρ οἱ τοιοῦτοι καὶ θᾶττον τῶν ἄλλων τὴν εἰς Χριστὸν παρεδέχοντο πίστιν, ἅτε δὴ τὴν ὑπεροχὴν αὐτῆς καὶ τὸ μεγαλεῖον δυνάμενοι συνορᾶν, καὶ οὐκ ἀνθρωπίνῳ πάθει, ἀλλ' ἀληθείας σκοπῷ, καὶ εὐσεβείας ἔρωτι· καὶ ὁ προκατεῖχον σέβας, τούτου ζηλωταὶ καθιστάμενοι. Καὶ αὖ πάλιν οἱ τοιοῦτοι κατὰ τῶν μαθητῶν μᾶλλον καὶ τοῦ κηρύγματος παρωξύνοντο καὶ ἐμαίνοντο, ὡς περισσότερον τῶν ἄλλων ζῆλον ἔχειν περὶ τὸ οἰκεῖον σέβας ἐπιδεικνύμενοι. Ἢ *σεβομένους* ἰδίως τοὺς προσηλύτους καλεῖ. Καὶ δημηγορῶν ἔμπροσθεν, καὶ λέγων· Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεὸν (α)· *φοβουμένους τὸν θεὸν* τοὺς προσηλύτους ἐκάλει, τοὺς μὲν, ἀπὸ τοῦ γένους σεμνύνων, καὶ Ἰσραηλίτας ἐξονομάζων, τοὺς δὲ, ὅτι μὴ τοῦτο εἶχεν εἰπεῖν, ἀπὸ τῆς θρησκείας ἰσάζων. Ἵνα δὲ μή τις εὐλαβείας εἶναι νομίσῃ τὸ, *Οὐκ ἀξίους κρίνετε ἑαυτοὺς*, διὰ τοῦτο πρῶτον εἶπεν, *ἀπωθεῖσθε αὐτὸν*, καὶ τότε τὸ, *στρεφόμεθα εἰς τὰ ἔθνη*. Οὐκ εἶπε δὲ, Καταλιμπάνομεν ὑμᾶς, ἀλλ' ὡς δυνατόν φησι καὶ ἐντεῦθα πάλιν στραφῆναι. *Τέθεικά σε εἰς φῶς ἐθνῶν.*] Τουτέστιν, εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ· καὶ οὐχ ἁπλῶς *ἐθνῶν*, ἀλλὰ πάντων. Γένος τοῦ Κυρίου κατὰ σάρκα, κοινὸν μὲν, ἅπασα τῶν ἀνθρώπων ἡ φύσις· ἴδιον δὲ καὶ πλησιάζον, ὁ Ἰσραήλ. Ἐπειδὴ τοίνυν πρὸς μὲν τὸν Ἰσραὴλ παρεγένετο· τὰ δὲ ἔθνη διὰ τῶν ἀποστόλων ἐφώτισε, δέδωκά σοι, φησὶ, τούτους, διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν γενομένην ἐπαγγελίαν· φωτιῶ δὲ διὰ σοῦ τὰ ἔθνη, καὶ πᾶσιν

(α) Πραξ. Γ', 16. 26.

ἀνθρώποις παρέξω τὴν σωτηρίαν· (τοῦτο γὰρ σημαίνει τὸ, ἕως ἐσχάτου τῆς γῆς·) καὶ πέρας ἐπιθήσω ταῖς πρὸς τοὺς πατέρας αὐτῶν γεγενημέναις συνθήκαις· τὴν γὰρ διαθήκην, συνθήκην ἡρμήνευσεν οἱ λοιποί. *Καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι.*] Κατὰ πρόγνωσιν μὲν οἱ τεταγμένοι, ἦγουν ἀφωρισμένοι, εἰς ζωὴν, οὗτοι ἐπίστευσαν, πλὴν οἰκείᾳ γνώμῃ καὶ προαιρέσει· ἡ δὲ τοῦ θεοῦ πρόγνωσις οὐκ ἀναιρεῖ τῆς ἡμετέρας βουλήσεως τὸ αὐτεξούσιον· ὅπου πρὸ καταβολῆς κόσμου προορισθεὶς ὁ Παῦλος κατὰ τὴν τοῦ θεοῦ πρόγνωσιν, σκεῦος ἐκλογῆς ἔσεσθαι, οὐκ ἐκ κοιλίας μητρὸς ἔτυχε τούτου, οὐδὲ ἐν νέᾳ ἡλικίᾳ· ἀλλὰ μετὰ προκοπὴν χρόνου, ὅτε ἔσχε γνῶσιν ἑαυτοῦ καλοῦ καὶ πονηροῦ. Τὸ δὲ, *διεφέρετο ὁ λόγος*, ἀντὶ τοῦ, διεκρίζετο.

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν
51 ὁρίων αὐτῶν. Οἱ δὲ, ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς Ἰκό-
52 νιον. Οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος ἁγίου.

Εὐσχήμονας λέγει τὰς πλουσίας (1)· *σεβομένας* δὲ οὐ τὰς πισὰς λέγει, ἀλλὰ τὰς Ἑλληνίδας, ἤτοι Ἰουδαίας μὲν οὔσας, Ἕλλησι δὲ φθεγγομένας· διὸ καὶ σεβομένας αὐτὰς καλεῖ, διὰ τὸ τηρεῖν τὰ τοῦ νόμου. *Οἱ δὲ, ἐκτιναξάμενοι.*] Ἐνταῦθα πληροῦσιν ὃ προσέταξεν αὐτοῖς ὁ Κύριος, λέγων· « Ἐὰν μή τις ὑμᾶς δέξηται, ἐντινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν (α)». Οὗτοι δὲ οὐ μόνον οὐκ ἐδέξαντο, ἀλλὰ καὶ

(1) Εὐσχήμων. Τοῦτο μὲν οἱ ἁμαθεῖς ἐπὶ τοῦ πλουσίου καὶ ἐν ἀξιώματι ὄντος τάττουσιν· εἰ δὲ ἀρχαῖοι, ἐπὶ τοῦ καλοῦ καὶ τοῦ συμμέτρου. » Φρύνιχος. « Εὐσχήμων — οὐχ ὁ πολλὰ κεκτημένος καὶ πλούτῳ· ἀλλ' ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις καὶ συνιστῶν ». Σουίδας.

(α) Ματθ. Ι, 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπήλασαν αὐτοὺς τῶν ὁρίων αὐτῶν, ὅπερ ἐστι χεῖρον. Οὐδὲ γὰρ κονιορτὸν θέλει ἔχειν τοὺς μαθητὰς ὁ Κύριος ἐπὶ τῶν ποδῶν ἐκ τῆς τῶν ἀνοσίων ἀνθρώπων γῆς, δεικνῦντας διὰ τούτου, ὅτι οὐδὲν ἐκομίσαντο ἀπὸ τῶν ἀπειθῶν. Δεῖγμα δέ ἐστιν ὁ κονιορτὸς τοῦ κόπου, ὃν ὑπέμειναν δι' αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Οπως ἐν Ἰκονίῳ κηρύξαντες τὸν Χριςὸν, πολλῶν τε πιστευσάντων, ἐδιώχθησαν οἱ ἀπόστολοι.

ΚΕΦ. XIV, 1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ, κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε 2 καὶ Ἑλλήνων πολὺ πλῆθος. Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν 3 ἐθνῶν κατὰ τῶν ἀδελφῶν. Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παῤῥησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. 4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ, σὺν τοῖς ἀποστό- 5 λοις. Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λι- 6 θοβολῆσαι αὐτοὺς, συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν 7 περίχωρον· κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι.

Κατέφυγον.] Σημειωτέον ἐνταῦθα, ὅτι οὐ δεῖ ἐπιῤῥίπτειν ἡμᾶς τοῖς κινδύνοις· ἀλλ', εἰ δέοι, καὶ φεύγειν πρὸς καιρὸν, τῶν κορυφαίων τοῦτο ποιούντων, ὥσπερ ἐπίτηδες ἐκτεῖναι βουλομένων τὸ κήρυγμα, καὶ διὰ τῶν διωγμῶν μᾶλλον αὐξάνεσθαι.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τοῦ ἐν Λύστροις ἐκ γενετῆς χωλοῦ, ἰαθέντος διὰ τῶν ἀποστόλων· δι' ὅπερ εἶναι τε θεοὺς, καὶ παρεῖναι τοῖς ἐγχωρίοις ἔδοξαν. Ἔνθα δὴ καὶ μετέπειτα λιθάζεται ὁ Παῦλος παρὰ τῶν ἀστυγειτόνων Ἰουδαίων.

8 Καί τις ἀνὴρ ἐν Λύστροις, ἀδύνατος τοῖς ποσὶν,
ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρ-
9 χων, ὃς οὐδέποτε περιεπεπατήκει. Οὗτος ἤκουε
τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ
10 ἰδὼν, ὅτι πίστιν ἔχει τοῦ σωθῆναι, εἶπε μεγάλῃ
τῇ φωνῇ· Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός.
11 Καὶ ἥλλετο, καὶ περιεπάτει. Οἱ δὲ ὄχλοι, ἰδόντες ὃ
ἐποίησεν ὁ Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν,
Λυκαονιστὶ λέγοντες· Οἱ θεοὶ, ὁμοιωθέντες ἀν-
12 θρώποις, κατέβησαν πρὸς ἡμᾶς. Ἐκάλουν τε τὸν
μὲν Βαρνάβαν, Δία· τὸν δὲ Παῦλον, Ἑρμῆν· ἐπει-
13 δὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. Ὁ δὲ ἱερεὺς
τοῦ Διὸς, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύ-
ρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν
14 τοῖς ὄχλοις ἤθελε θύειν. Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ
ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον, κρά-
15 ζοντες καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε;
καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς, ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα
16 τὰ ἐν αὐτοῖς· ὃς ἐν ταῖς παρωχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν·
17 καίτοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν, ἀγαθοποιῶν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρ-
18 δίας ἡμῶν. Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν
19 τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι· καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνά-
20 ναι. Κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ ἐπαύριον ἐξῆλ-
21 θε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ Ἰκόνιον
22 καὶ Ἀντιόχειαν· ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, καὶ παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Διαῤῥήξαντες τὰ ἱμάτια.) Ἔθος ἐστὶν Ἰουδαίοις ἐπὶ ταῖς κατὰ θεοῦ δυσφημίαις περιῤῥηγνῦναι τὰ ἱμάτια. Καὶ γοῦν ὁ Καϊάφας, υἱὸν ἑαυτὸν τοῦ θεοῦ λέγοντος τοῦ Χριστοῦ περιέῤῥηξε τὴν ἐσθῆτα, διακεκραγώς τε καὶ λέγων· « ὅτι ἐβλασφήμησε (α).» Τοῦτο πεπράχασι καὶ οἱ θεσπέσιοι μαθηταὶ Βαρνάβας καὶ Παῦλος ἐνταῦθα, θεοὶ νομισθέντες, ἀπὸ διαθέσεως ψυχῆς ἀποστρεφόμενοι τὰ γινόμενα, καὶ πένθους ποιοῦντες σημεῖα. Πένθος γὰρ ἦν ὄντως, εἴγε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρείαν εἰσάγειν, ἣν ἦλθον καταλῦσαι, καὶ εἰς τέλος ἀφανίσαι.

23 Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο
24 αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν. Καὶ διελ-
25 θόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν· καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατέβησαν
26 εἰς Ἀττάλειαν· κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιό-

(α) Ματθ. ΚϚ'. 65.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ
27 εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν. Παραγενόμενοι δὲ, καὶ
συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ἐποίη-
σεν ὁ θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε τοῖς ἔθνε-
28 σι θύραν πίστεως. Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ
ὀλίγον σὺν τοῖς μαθηταῖς.

Διὰ τί οὐδὲ ἐν Κύπρῳ, οὐδὲ ἐν Σαμαρείᾳ ἐποίησαν πρεσβυτέρους οἱ ἀπόστολοι, ἀλλ' ἐνταῦθα; Ὅτι ἐκεῖναι μὲν ἐγγὺς ἦσαν τῆς Ἱερουσαλὴμ καὶ τῶν ἀποστόλων. Καὶ ἐν αὐτῇ δὲ τῇ Ἀντιοχείᾳ ὁ λόγος ἐκράτει. Ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν ὀφείλοντες πολλὰ διδάσκεσθαι. Σημειωτέον δὲ, ὅτι οἱ περὶ Παῦλον καὶ Βαρνάβαν ἐπισκόπων εἶχον ἀξίαν, ἐξ οὗ ἐχειροτόνουν οὐ μόνον διακόνους, ἀλλὰ καὶ πρεσβυτέρους· καὶ ὅτι μετὰ νηστειῶν καὶ εὐχῶν ἐποίουν οἱ μαθηταὶ τὰς χειροτονίας.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι οὐ δεῖ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας δόγματι καὶ κρίσει τῶν ἀποστόλων· ἐν ᾧ ἐπιστολὴ τῶν ἀποστόλων πρὸς τοὺς ἐξ ἐθνῶν περὶ τῶν φυλακτέων ἀντίῤῥησις Παύλου πρὸς Βαρνάβαν διὰ Μάρκον.

ΚΕΦ. XV, 1 Καί τινες, κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφούς· Ὅτι, ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι.
2 Γενομένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν, ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος
3 τούτου. Οἱ μὲν οὖν, προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν
4 χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. Παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ πρεσβυτέρων, ἀνήγ-
5 γειλάν τε ὅσα ὁ θεὸς ἐποίησε μετ' αὐτῶν. Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες· Ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.

Πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας ἐπιστολῇ, « Οὐδὲ ἀνῆλθόν, φησιν, εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· οὐδὲ ἀνεθέμην τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν (α);» ἐνταῦθα δέ φησιν, ὅτι « Ἔταξαν, Παῦλον καὶ Βαρνάβαν ἀναβαίνειν εἰς Ἱεροσόλυμα πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους; » Καὶ φαμὲν, ὅτι πρῶτον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον δὲ, ὅτι οὐ μαθησόμενος παρεγένετο, ἀλλ' ἑτέρους πείσων· αὐτὸς μὲν γὰρ ἐξ αὐτῆς τῆς ἀρχῆς, ταύτης εἶχετο τῆς γνώμης, ἣν καὶ οἱ ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν, τοῦ μὴ δεῖν περιτέμνεσθαι· ἐπειδὴ δὲ οὐκ ἐδόκει τέως αὐτοῖς ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς ἐν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν, οὐκ αὐτός τι εἰσόμενος πλεῖον, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις τούτοις ψηφίζονται. *Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων.*] Οὐχ οἱ ἀπὸ ἐθνῶν πιστοὶ, ἀλλ' οἱ ἀπὸ Ἰουδαίων ἀπῄτουν, τοὺς πιστοὺς περιτέμνεσθαι, καὶ τὰ ἄλλα τοῦ νόμου σαρκικὰ ποιεῖν· οὓς, ὡς ἔτι τὰ τοῦ νόμου τοῦ παλαιοῦ φρονοῦντας, καὶ εἰς ἰδίαν καύχησιν θέλοντας περιτέμνειν τοὺς πιστοὺς, οὐκ ἀπεδέξαντο οἱ μαθηταὶ, καίτοι καὶ αὐτοὶ ἐκ περιτομῆς ὄντες. Οὐ γὰρ τὸ ἑαυτῶν θέλημα ἐζήτουν στῆσαι, ἀλλὰ τὸ κοινωφελὲς τοῦ κόσμου καὶ σωτήριον.

(α) Γαλατ. Α', 17. Β', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6 Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι,
7 ἰδεῖν περὶ τοῦ λόγου τούτου. Πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ θεὸς ἐν ἡμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου,
8 καὶ πιστεῦσαι. Καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον,
9 καθὼς καὶ ἡμῖν· καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

Ἴσως παρῆσαν καὶ οἱ ἐγκαλέσαντες αὐτῷ πάλαι ἐπὶ Κορνηλίου, καὶ οἱ εἰσελθόντες μετ' αὐτοῦ. Διὰ τοῦτο παράγει αὐτοὺς μάρτυρας. Τί δέ ἐστι τὸ, *Ἐν ἡμῖν ἐξελέξατο*; Τουτέστι ἐν Παλαιστίνῃ, ἢ παρόντων ἡμῶν. *Καὶ οὐ διέκρινέ*, φησι, *μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν*, τουτέστι, καθαρισμὸν ποιήσας τῶν ἀπὸ τῆς καρδίας αὐτῶν ἐξιόντων ἁμαρτημάτων (α). Οὗτος δὲ ὁ καθαρισμὸς ἔοικε περιτομῇ· καὶ ἀντὶ τῆς ἐν σαρκὶ περιτομῆς, δίδοται ἡ ἐν πνεύματι περιτομὴ, καθαρίζουσα τῇ πίστει τῇ εἰς Χριστὸν τὰ κρυπτά. Ὅτι δὲ οὐ κοινωφελὴς ἡ σαρκικὴ περιτομὴ, ἐντεῦθεν δείκνυται· ὅτι μόνῳ τῷ Ἄρρενι ἐδόθη· ἐν δὲ Χριστῷ Ἰησοῦ, ἐν τῇ ἀληθινῇ πίστει, οὐκ ἔνι Ἄρρεν καὶ Θῆλυ· οὐκ ἔνι δοῦλος ἢ ἐλεύθερος· οὐκ ἔνι Ἕλλην ἢ βάρβαρος· ἀλλὰ πάντες ἓν ἐσμέν (β).

10 Νῦν οὖν τί πειράζετε τὸν θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πα-
11 τέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πι-
12 στεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι. Ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου

(α) Ἑβρ. Α', 3. (β) Γαλ. Γ', 28. Κολοσ. Γ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξηγουμένων, ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι' αὐτῶν.

Τί πειράζετε τὸν θεόν;] Τουτέστι, Τί ἀπιστεῖτε τῷ θεῷ, ὡς οὐκ ἰσχύοντι σῶσαι τῇ πίστει τοὺς προσερχομένους αὐτῷ; Σημειωτέον δὲ, ὅτι τὰ δυσκατόρθωτα ἐπιτάγματα τῆς σαρκὸς οὐ δεῖ ἐπικλᾶν τισίν, οἷον ἄκραν νηστείαν, ἢ γυμνότητα, ἢ σιωπὴν, εἰ μὴ γέ τις ἑαυτῷ ταῦτα ἐπιτάξῃ. Εἰ γὰρ καὶ δυσχερῆ, ἀλλὰ μὴν οὐκ ἀκατόρθωτα, ἀλλὰ καὶ γενόμενα ὑπὸ πολλῶν καὶ γινόμενα. *Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι.*] Ὥσπερ γὰρ πάλαι μὲν ὁ νόμος τοὺς διαφυλάττοντας τὰ ἐν αὐτῷ εἰρημένα ἔσωζεν, οὕτω νῦν ἡ χάρις τοῦ Κυρίου, καὶ δίχα τῆς τοῦ νόμου παραφυλακῆς, διὰ τῆς πίστεως σώζει.

13 Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, ἀπεκρίθη Ἰάκωβος, λέγων· Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου.

Οὗτος ὁ Ἰάκωβος, ὁ τῶν Ἱεροσολύμων ὑπὸ Κυρίου προχειρισθεὶς ἐπίσκοπος, υἱὸς Ἰωσὴφ ἦν τοῦ τέκτονος, ἀδελφὸς δὲ κατὰ σάρκα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Συνετῶς δὲ ἀπό τε νέων, ἀπό τε τῶν παλαιῶν προφητῶν βεβαιοῦται τὸν λόγον. Οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος δηλαδὴ καὶ Παῦλος. Καλῶς δὲ οἰκονομεῖται, δι' ἐκείνων ταῦτα γενέσθαι τῶν οὐ μελλόντων ἐγχρονίζειν τοῖς Ἱεροσολύμοις· τοῦτον τε τὸν διδάσκοντα αὐτοὺς, μὴ εἶναι ὑπεύθυνον, μηδὲ μὴν ἀπεσχίσθαι τῆς γνώμης.

14 Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο, λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόματι αὐτοῦ·

Τινὲς Συμεὼν τὸν ἐν τῷ Λουκᾷ προφητεύσαντα, « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτά, » φασι (α).

(α) Λουκ. Β', 25-30—Συμεὼν ἐνταῦθα ὁ Πέτρος, ὡς αὐτὸς ἑαυτὸν ὀνομάζει ἐν Β' Πέτρ. Α', 1. Αὐτὸς εἶπεν ἀνωτέρω ὅ,τι λέγει ἐνταῦθα ὁ Ἰακωβος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν,
16 καθὼς γέγραπται· « Μετὰ ταῦτα ἀναστρέψω, καὶ
ἀνοικοδομήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν·
καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ
17 ἀνορθώσω αὐτήν· ὅπως ἂν ἐκζητήσωσιν οἱ κατά-
λοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ
ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐ-
τούς· λέγει Κύριος, ὁ ποιῶν ταῦτα πάντα (α). »
18 Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ θεῷ πάντα τὰ ἔργα
19 αὐτοῦ. Διὸ ἐγὼ κρίνω, μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν
20 ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν· ἀλλὰ ἐπιςεῖλαι
αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν
εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ
21 αἵματος. Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πό-
λιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συνα-
γωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.

Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἐξῆς.] Οἱ μὲν Ἰουδαῖοι εἰς τὴν μετὰ τὴν αἰχμαλωσίαν οἰκοδομὴν τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τοῦτο εἰρῆσθαι νενοήκασι. Τοῦτο δὲ οὐκ ἔστιν ἀληθές. Καὶ μετὰ τοῦτο γὰρ πολλάκις κατέστραπται· ἡ δὲ προφητεία αἰωνίαν τὴν ἀνοικοδόμησιν ἐπαγγέλλεται. Οἱ δὲ εἰς τὸν Ζοροβάβελ τοῦτο εἰρῆσθαι λέγοντες, οὐ καλῶς νενοήκασιν, ὡς ἐκ Δαυὶδ τὸ γένος κατάγοντα. Οὐκ ἔστι δὲ οὐδὲ τοῦτο ἀληθές. Ὁ γὰρ Ζοροβάβελ, ὀλίγον ἡγεμονεύσας χρόνον, τοῦ θανάτου τὸν ὅρον ἐδέξατο· ἡ δὲ προφητεία αἰωνίων ἀγαθῶν ἐπαγγελίαν περιέχει, καὶ τῶν ἐθνῶν ἁπάντων τὴν εἰς θεὸν ἐπίγνωσιν· ὧν οὐδὲν τοῖς ὑπὸ Ζοροβάβελ γεγενημένοις συμβαῖνον εὑρίσκομεν. Πρόδηλον τοίνυν, ὅτι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ταύτην εἰρῆσθαι νοήσομεν. Ὁ γὰρ Κύριος ἡμῶν, ἐκ Δαυὶδ κατάγων κατὰ σάρκα τὸ γένος, τὴν πρὸς τὸν Δαυὶδ γεγενημένην ἐπαγγελίαν ἐπλήρωσεν. Ὁ γὰρ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν (β), τὴν ἐκ Δαυὶδ ἀναλαβὼν σκηνήν.

(α) Ἀμὼς Θ', 11. 12. (β) Ἰωαν. Α', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰκότως οὖν ὁ προφητικὸς λόγος, τοῦ Δαυὶδ τὴν σκηνὴν ἀνοικοδομηθήσεσθαι λέγει, καὶ οὐκ ἐπ' ὀλίγον χρόνον, ἀλλὰ πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. Ἐπαγγέλλεται δὲ τοῖς ἔθνεσι τῆς θεογνωσίας τὸ δῶρον, τουτέστι τοῖς ἐξ ἐθνῶν ἐπιστρέψασιν εἰς Χριστὸν, καὶ κληθεῖσι τῷ ὀνόματι τοῦ Χριστοῦ. Ἄλλοι δὲ εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ τοῦτο εἰρῆσθαί φασι. Τὴν γὰρ εἰς θάνατον αὐτοῦ πεσοῦσαν σκηνὴν, τουτέστι τὸ ἀπὸ γῆς σαρκίον, ἐγείραντος τοῦ θεοῦ καὶ πατρὸς, τότε πᾶν τὸ ἀνθρώπινον γένος πρὸς τὸ ἀρχαῖον ἀνέστη σχῆμα, καὶ πάντα ἡμῶν τὰ κατερριμένα πρὸς νέαν ὄψιν ἐγήγερται· συνεγηγέρμεθα γὰρ τῷ Χριστῷ. Κατέσκαψε μὲν γὰρ ὁ θάνατος τὰς ἁπάντων σκηνάς· ἀνῳκοδόμησε δὲ ὁ θεὸς καὶ πατὴρ ἐν Χριστῷ. Οὐκ ἦν γὰρ ἑτέρως ἀναστῆναι τὴν φύσιν τὴν ἡμετέραν, μὴ τοῦ τὴν ἀρχὴν διαπλάσαντος αὐτὴν χεῖρα ὀρέξαντος, καὶ διατυπώσαντος ἄνωθεν τῇ δι' ὕδατος ἀναγεννήσει καὶ πνεύματος. Ἐπεπτώκει γὰρ ὄντως πτῶμα ἀνίατον, καὶ τῆς κραταιᾶς ἐκείνης δεόμενον χειρός. Καὶ τοῦτο ἡμῖν οὐκ εἰς χρόνον φησὶν ὑπάρξειν μικρὸν, ἀλλ' εἰς ἡμέρας αἰῶνος· ἀναπόβλητον γὰρ ἐν ἡμῖν τὸ τῆς ἀφθαρσίας ἀγαθόν. Τότε δὲ, φησι, καὶ οἱ κατάλοιποι τῶν ἀνθρώπων μετὰ τοὺς πεπιστευκότας ἐξ Ἰσραὴλ, τὸν φύσει καὶ ἀληθῶς ἐγνώκασι θεὸν, τῆς ἀρχαίας πλάνης ἀποφοιτήσαντες. Κληθήσονται δέ, φησι, καὶ πάντα τὰ ἔθνη, καὶ ἐπ' αὐτοῖς ἔσται τὸ ἐμὸν ὄνομα, ἐφ' οἷς καὶ ἐξ ἀρχῆς ἐπικέκληται· οὓς γὰρ προέγνω, καὶ προώρισέ, φησι (α).

22 Τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν, πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν, τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς·
23 γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ τὴν

(α) Ῥωμ. Η', 29.

Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς, τοῖς
24 ἐξ ἐθνῶν, χαίρειν. Ἐπειδὴ ἠκούσαμεν, ὅτι τινὲς
ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνα-
σκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέ-
μνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλά-
25 μεθα· ἔδοξεν ἡμῖν, γενομένοις ὁμοθυμαδὸν, ἐκλε-
ξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγα-
26 πητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις πα-
ραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος
27 τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀπεστάλκα-
μεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου
28 ἀπαγγέλλοντας τὰ αὐτά. Ἔδοξε γὰρ τῷ ἁγίῳ
Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν
29 βάρος, πλὴν τῶν ἐπάναγκες τούτων· ἀπέχεσθαι
εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορ-
νείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε.
30 Ἔρρωσθε. Οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Ἀν-
τιόχειαν· καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν
31 τὴν ἐπιστολήν. Ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ πα-
32 ρακλήσει. Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται
ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς,
33 καὶ ἐπεστήριξαν. Ποιήσαντες δὲ χρόνον, ἀπελύθη-
σαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀπο-
34 στόλους. Ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ.
35 Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ,
διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων
36 πολλῶν τὸν λόγον τοῦ Κυρίου. Μετὰ δέ τινας ἡμέ-
ρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· Ἐπιστρέψαντες
δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶ-
σαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ
Κυρίου, πῶς ἔχουσι.

Ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι.] Ἔδει, μὴ τὴν ἐπι-
στολὴν παρεῖναι μόνον, ἵνα μὴ λέγωσιν, ὅτι συνηρπάγησαν,
ἄλλο ἀντ' ἄλλου εἰπόντες· ἀλλ' ὥστε καὶ ἀξιοπιστότερον γε-
νέσθαι τὰ πραχθέντα, πέμπουσι τοὺς παρ' αὐτῶν, ἵνα ἀνύποπτοι
ὦσι Βαρνάβας καὶ Παῦλος. Ἵνα δὲ μὴ δόξῃ διαβολῆς εἶναι

Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποσταλῆναι, ἐγκωμιάζουσιν αὐτούς. *Ἀνθρώποις, φασὶ, παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — Ἔδοξε, φασι, τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν.*] Ταῦτα ἡ Καινὴ οὐ διετάττετο· οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός· ἀλλ' οὗτοι ἀπὸ τοῦ νόμου ταῦτα λέγουσιν. Ἵνα οὖν μὴ δόξῃ ἀνθρώπινον εἶναι, *Ἔδοξε τῷ ἁγίῳ πνεύματι*, φασί. Καὶ ἵνα διδαχθῶσιν, ὅτι καὶ αὐτοὶ ἀποδέχονται, καίτοι ἐν περιτομῇ ὄντες, ἐπάγουσι, *καὶ ἡμῖν*. Ἠδύναντο μὲν γὰρ καὶ χωρὶς γραμμάτων ταῦτα δηλῶσαι· ἀλλὰ διὰ τὸ ἀνύποπτον, καὶ ὥστε νόμον ἔγγραφον βουλόμενοι ταῦθα γενέσθαι, γράφουσι τὴν ἐπιστολήν. Πάλιν, ὥστε πεισθῆναι τῷ νόμῳ, τὰ τέσσαρα ταῦτα ἀπαγορεύσαντες ποιεῖν τὰ ἔθνη, τὰ λοιπὰ αὐτοῖς συνεχώρησαν. Τί δέ ἐστι ταῦτα; Ἀπέχεσθαί, φασιν, εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας. Διὰ δὲ τοῦ, *ἀπέχεσθαι πνικτοῦ*, τὸν φόνον ἀπείργουσιν.

37 Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάν-
38 νην, τὸν καλούμενον Μάρκον. Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον.

Ἰωάννης, ὁ καλούμενος Μάρκος, ἦν συνοδοιπορῶν αὐτοῖς εἰς τὸν εὐαγγελικὸν δρόμον, ἀπὸ Παλαιστίνης μέχρι Πέργης καὶ Παμφυλίας. Εἶτα τῶν ἀποστόλων, εὐτόνῳ κεχρημένων δρόμῳ, καὶ ἀκαμπεῖ τῇ ψυχῇ πρὸς τοὺς ἀγῶνας ὁπλιζομένων, Μάρκος ὡς ἄνθρωπος ναρκήσας, καὶ μὴ εὐτονῶν πρὸς τὸν δρόμον τὸν τοσοῦτον, καὶ πρὸς τοὺς ἐν ἑκάστῃ πόλει ἀνακύπτοντας ἀγῶνας καὶ κινδύνους, ἀποταξάμενος τῷ δρόμῳ τῶν ἀποστόλων, ἐπανῆλθεν εἰς τὴν Παλαιστίνην, οὐ Χριστὸν ἀρνησάμενος, ἀλλὰ τὸν δρόμον τὸν πολὺν καὶ βαρὺν παραιτησάμενος (α). Ἐπα-

(α) Πραξ. ΙΓ', 13.

νῆλθον πάλιν Παῦλος καὶ Βαρνάβας, καρπῶν εὐσεβείας γέμοντες, καὶ εὐαγγελιζόμενοι τὴν ἐν Ἱεροσολύμοις ἐκκλησίαν. Τῶν ἐθνῶν οὖν πάντων ἐπαινούντων τὸν Παῦλον καὶ τὸν Βαρνάβαν ἐπὶ τοῖς κατορθώμασιν, ὁ Μάρκος λυπηθεὶς, ἐπλήγη τὴν ψυχὴν, καὶ ἴσως ἐνενόησε λέγων πρὸς ἑαυτὸν, ὅτι, Εἰ ἦμην κοινωνὸς τῶν πόνων, ἐγενόμην ἂν ἄρτι καὶ κοινωνὸς τῶν ἐπαίνων. Ἐβουλεύσατο οὖν πάλιν, τοῖς ἀποστόλοις συνεξελθεῖν εἰς τὸ κήρυγμα. Ὁ οὖν Βαρνάβας μετανοήσαντα αὐτὸν ἐδέξατο· ὁ δὲ Παῦλος ἐφιλονείκει, καὶ ἔλεγε· « Τὸν μὴ συνελθόντα ἡμῖν εἰς τὸ ἔργον Κυρίου οὐ δεῖ συμπαραλαμβάνειν. » Ἡ οὖν στάσις δικαιοσύνης ἦν, οὐ θυμοῦ· ὁ μὲν γὰρ Παῦλος ἐζήτει τὸ δίκαιον, ὁ δὲ Βαρνάβας, τὸ φιλάνθρωπον. Συνῆν τοίνυν ὁ Μάρκος τῷ Βαρνάβᾳ σπουδάζων καὶ τρέχων· ὁ δὲ Παῦλος ἐν ταῖς ἐκκλησίαις παρήγγειλε, μὴ δεχθῆναι τὸν Μάρκον, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα σπουδαιότερον ποιήσῃ. Ὡς δὲ εἶδεν ὁ Παῦλος προλαβόντα τῇ σπουδῇ τὸν Μάρκον, καὶ ἀπολογησάμενον διὰ τῶν δευτέρων, ἄρχεται αὐτὸν παρατίθεσθαι, καί φησιν. « Ἀσπάζεται ὑμᾶς Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολὰς, ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν (α).»

39 Ἐγένετο οὖν παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν, παραλα-
40 βόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον. Παῦλος δὲ, ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε, παραδοθεὶς τῇ χά-
41 ριτι τοῦ θεοῦ ὑπὸ τῶν ἀδελφῶν. Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

Παροξυσμός, φησιν, ἐγένετο, οὐκ ἔχθρα, οὐδὲ φιλονεικία. Τοσοῦτον δὲ ἴσχυσεν ὁ παροξυσμὸς, ὥστε χωρίσαι αὐτοὺς ἀπ' ἀλλήλων· καὶ εἰκότως· ὅπερ γὰρ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελὲς, τοῦτο μετὰ ταῦτα προσήκατο διὰ τὴν πρὸς ἐκεῖνον

(α) Κολοσ. Δ', 10.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κοινωνίαν. Δοκεῖ δὲ κατὰ σύνεσιν γεγενῆσθαι τὸν χωρισμὸν, καὶ πρὸς ἀλλήλους εἰπεῖν, ὅτι, Ἐπειδὴ ἐγὼ βούλομαι, σὺ δὲ οὐ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους. Ὥστε πάνυ εἰκότες ἀλλήλοις τοῦτο ἐποίουν. Ἐβούλετο γὰρ στῆναι τὸ Παύλου ὁ Βαρνάβας· διὰ τοῦτο καὶ ἀνεχώρησεν. Ὅμως δὲ καὶ ἐν τοῖς προφήταις εὑρίσκομεν καὶ γνώμας διαφόρους, καὶ διάφορα ἤθη· οἷον ὁ Ἠλίας, αὐστηρὸς, ὁ Μωσῆς, πρᾷος. Οὕτω δὴ καὶ ἐνταῦθα σφοδρότερός ἐστιν ὁ Παῦλος τοῦ Βαρνάβα. Πάνυ δὲ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη· τὸ μὲν γὰρ Παύλου φόβερὸν, ἐπέστρεφεν αὐτόν· τὸ δὲ Βαρνάβα χρηστὸν, ἐποίει μηκέτι ἀπολειφθῆναι. Ὥστε μάχονται μὲν, πρὸς ἓν δὲ τέλος ἅπαντᾷ τὸ κέρδος· καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἐφοβήθη, καὶ κατέγνω ἑαυτοῦ· καὶ Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ αὐτὸν ἐφίλησε· καὶ διωρθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων· τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι. Ὡς γὰρ εἶδεν ἑαυτὸν οὕτως ἐκβληθέντα διὰ τὴν ῥᾳθυμίαν ὑπὸ τοῦ Παύλου, ἔσπευδε τῇ προθυμίᾳ ἐν τῷ δευτέρῳ δρόμῳ καλῦψαι τὴν προτέραν νωχέλειαν, πάνυ ὠφεληθεὶς ἀπὸ τῆς ἀκριβείας τοῦ Παύλου. Τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; Μὴ γένοιτο! Ὅτι δὲ οὐ γέγονεν ἔχθρα τοῖς ἀποστόλοις, δείκνυται, πανταχοῦ μετὰ ταῦτο Βαρνάβας πολλῶν ἐγκωμίων ἀπολαύων παρὰ Παύλου ἐν ταῖς ἐπιστολαῖς.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῆς κατηχήσεως Τιμοθέου, καὶ τῆς κατὰ ἀποκάλυψιν ἀφίξεως Παύλου εἰς Μακεδονίαν· ἐν ᾧ περὶ πίστεως καὶ σωτηρίας τινὸς γυναικὸς Λυδίας· περὶ ἰάσεως τῆς πνεῦμα πύθωνος ἐχούσης παι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίσκης· δι' ἣν τὸν Παῦλον καθεῖρξαν οἱ δεσπόται· περὶ τοῦ συμβάντος ἐκεῖ σεισμοῦ καὶ θαύματος, καὶ ὅπως πιστεύσας ὁ εἱρκτοφύλαξ, ἐν αὐτῇ τῇ νυκτὶ ἐβαπτίσθη πανέστιος. Ὅτι παρακληθέντες ἐξῆλθον τότε ἐκ τοῦ δεσμωτηρίου οἱ ἀπόστολοι.

ΚΕΦ. XVI, 1 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν· καὶ, ἰδού, μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας, πιστῆς, πατρὸς δὲ 2 Ἕλληνος· ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ 3 Ἰκονίῳ ἀδελφῶν. Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν· καὶ λαβὼν περιέτεμεν αὐτόν, διὰ τοὺς Ἰουδαίους, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ἤδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην 4 ὑπῆρχεν. Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα, τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν 5 Ἱερουσαλήμ. Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.

Δόγματα κέκληκε τὴν ἀποχὴν τῶν εἰδωλοθύτων, πορνείας τε, καὶ αἵματος, καὶ πνικτοῦ· ἅπερ εἰς κανονικῆς ζωῆς ὁρᾷ διατύπωσιν. Ταῦτα γὰρ βίον ῥυθμίζει σώφρονα, καὶ λογικοῖς ἀνθρώποις πρέποντα.

6 Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος λαλῆ-7 σαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ, ἐλθόντες κατὰ τὴν Μυσίαν, ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι· 8 καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρωάδα.

Ἐν τῇ Ἀσίᾳ καὶ Βιθυνίᾳ κωλύει τὸ Πνεῦμα λαλῆσαι τὸν λόγον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς Ἀποστόλους, προγινῶσκον τὴν τῶν Πνευματομάχων αἵρεσιν κυριεύσειν τῶν ἐκεῖσε (1).

9 Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς, παρακαλῶν αὐτὸν, καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν.

Οὐκέτι δι' ἀγγέλου, καθάπερ Φιλίππῳ καὶ Κορνηλίῳ, ἀλλὰ δι' ὁράματος φαίνεται αὐτῷ ἀνθρωπινώτερον. Ἔνθα μὲν γὰρ εὔκολον τὸ πεισθῆναι, ἀνθρωπινώτερον· ἔνθα δὲ πολλῆ βίᾳ, θειότερον. Ἐπειδὴ γὰρ κηρύξαι μόνον ἠπείγετο, εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ· ὃ κηρύξαι δὲ οὐκ ἠνείχετο, εἰς τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον ἀποκαλύπτει. Ἐλθόντες γάρ, φησι, κατὰ τὴν Μυσίαν, ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Οὐ γὰρ δὴ καὶ τὰ εὔκολα τὸ πνεῦμα εἰργάζετο, ἀλλ' ἤρκει καὶ ὄναρ.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες, ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος, εὐαγγελίσασθαι αὐτούς.

11 Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρωάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθράκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν·

12 ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις, κολώνια. Ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς.

Σημειωτέον, ὅτι σὺν τῷ Παύλῳ ἦν ἐν ταῖς πόλεσι ταύταις καὶ ὁ Λουκᾶς, ὡς δῆλον ἐξ ὧν καὶ τὸ πρόσωπον αὐτοῦ συμπαραλαμβάνει, λέγων· Ἐζητήσαμεν, Εὐθυδρομήσαμεν, καὶ τὰ ὅμοια. Νεάπολιν δὲ τὴν νῦν Χριστόπολιν λέγει.

13 Τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι· καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις

(1) « Διατὶ μὲν οὖν ἐκωλύθησαν, οὐ λέγει· ὅτι δὲ ἐκωλύθησαν, εἶπε, παιδεύων ἡμᾶς, πείθεσθαι μόνον, καὶ μὴ ζητεῖν τὰς αἰτίας, καὶ δεικνὺς, ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν. » Χρυσόστομος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

14 γυναιξί. Καί τις γύνη, ὀνόματι Λυδία, πρεσβυτέρα πώλεως Θυατείρων, σεβομένη τὸν θεόν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν, προσέ-
15 χειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. Ὡς δὲ ἐβαπτίσθη, καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε, λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε. Καὶ παρεβιάσατο ἡμᾶς.

Οὐ μόνον ἔνθα συναγωγὴ ἦν, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες οἱ Ἰουδαῖοι. Ἢ μᾶλλον, μὴ οὔσης ἐκεῖ συναγωγῆς διὰ τὸ σπάνιον, παρὰ τὸν ποταμὸν ἔξω τῆς πόλεως λάθρα συνήγοντο οἱ δῆθεν θεοσεβεῖς (1).

16 Ἐγένετο δὲ, πορευομένων ἡμῶν εἰς προσευχὴν, παιδίσκην τινά, ἔχουσαν πνεῦμα Πύθωνος (2), ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς
17 κυρίοις αὐτῆς, μαντευομένη. Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν,
18 οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε· Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελ-
19 θεῖν ἀπ' αὐτῆς. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας.
20 Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν,

(1) Προσευχή, τόπος ἢ οἶκος προσευχῆς, εὐκτήριος. Ὑπῆρχον δὲ τοιαῦται προσευχαὶ, ἐν αἷς ἀνεγινώσκοντο καὶ τὰ ἱερὰ βιβλία, ὅπου δὲν ὑπῆρχον συναγωγαὶ εἴτε διὰ τὴν ὀλιγότητα τῶν Ἰουδαίων, εἴτε κατ' ἀπαγόρευσιν τῶν ἀρχῶν. Ὑπῆρχον δὲ ἐκτὸς τῶν πόλεων εἴτε παρὰ ποταμοὺς εἴτε πρὸς τῇ θαλάσσῃ· διότι οἱ Ἰουδαῖοι συνείθιζον, νὰ νίπτωνται πρὸ τῆς προσευχῆς.

(2) Τὸ δὲ τῆς Πυθοῦς πνεῦμα μαντείας ἐποίει· διὰ δὲ τοῦτο Πύθωνος πνεῦμα ἐκαλεῖτο· ἐπειδὴ ἡ Πυθία, ἤτοι ὁ ἐν τῇ Πυθίᾳ δαίμων, Ἀπόλλων καλούμενος, ἐμαντεύετο· καὶ ἠπάτα τοὺς ἀνθρώπους, λέγων αὐτοῖς τὰ γεγενημένα. —Ἀρμώνιος.

Εθνική Κεντρική Βιβλιοθήκη Βέλλας

21 Ἰουδαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν ἔθη, ἃ
οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥω-
22 μαίοις οὖσι. Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν,
καὶ οἱ στρατηγοὶ, περιρρήξαντες αὐτῶν τὰ ἱμάτια,
23 ἐκέλευον ῥαβδίζειν· πολλάς τε ἐπιθέντες αὐτοῖς
πληγὰς, ἔβαλον εἰς φυλακὴν, παραγγείλαντες τῷ
24 δεσμοφύλακι, ἀσφαλῶς τηρεῖν αὐτούς. Ὃς, παραγ-
γελίαν τοιαύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν
ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφα-
25 λίσατο εἰς τὸ ξύλον. Κατὰ δὲ τὸ μεσονύκτιον
Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν θεόν·
ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.

Λέγεται ἡ Πυθία, γυνή τις οὖσα, ἐπικαθῆσθαι τῷ τρίποδι τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων, πληροῦν τὴν γυναῖκα τῆς μανίας· καὶ ταύτην τὰς τρίχας λύουσαν, λοιπὸν βακχεύεσθαί τε καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀφιέναι· καὶ οὕτως ἐν παροινίᾳ γινομένην, τὰ τῆς μανίας ῥθέγγεσθαι ῥήματα. Τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐῤῥέγγετο, καὶ ὁ Παῦλος ἐκώλυεν; Ἐβούλετο γὰρ μὴ ἀξιόπιστον αὐτὸν ποιεῖν. Εἰ γὰρ προσήκατο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ' ἐκείνου δεχθείς. Διὰ τοῦτο ἀνέχεται καθ' ἑαυτοῦ εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ αὐτοῦ, καὶ αὐτὸς συγκαταβάσει κέχρηται πρὸς τὴν ἀπώλειαν. Τὸ μὲν οὖν πρῶτον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἁπλῶς ἑαυτὸν ἐπιῤῥίπτειν τοῖς σημείοις· ὡς δὲ ἐπέμενε τοῦτο ποιῶν, καὶ τὸ ἔργον ἐδείκνυ, τότε ἐκέλευσεν αὐτῷ ἐξελθεῖν. *Διαπονηθεὶς* γάρ, φησιν, ὁ *Παῦλος*, τουτέστι κινηθεὶς καὶ ὀχληθεὶς, καὶ ἀληθῆ λέγουσαν ἐπιστομίσας αὐτὴν, ἐκέλευσεν ἐξελθεῖν ἐξ αὐτῆς τὸ δαιμόνιον, διδάσκων ἡμᾶς, μηδὲ τῇ ἀληθείᾳ συνηγορεῖν προσποιουμένους δέχεσθαι δαίμονας· ἀλλὰ πᾶσαν αὐτοῖς ἀποτειχίζειν πλάνης ὁδὸν, καὶ ἀποφράττειν πρὸς τὰ παρ' αὐτῶν πάντα τὴν ἀκοήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Έρμου

26 Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

Ο σεισμὸς γέγονεν, ὥστε ἀφυπνισθῆναι τὸν δεσμοφύλακα· αἱ θύραι δὲ ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονὸς, καὶ πιστεῦσαι. Οὐ γὰρ πρὸς ἐπίδειξιν ταῦτα ἐγένετο, ἀλλὰ πρὸς σωτηρίαν. Ταῦτα δὲ οἱ δεσμῶται οὐχ ἑώρων· ἢ γὰρ ἂν ἔφυγον ἅπαντες.

27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπε-
28 φευγέναι τοὺς δεσμίους. Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· Μηδὲν πράξῃς σεαυτῷ κακόν·
29 ἅπαντες γὰρ ἐσμὲν ἐνθάδε. Αἰτήσας δὲ φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος γενόμενος προσέπεσε τῷ
30 Παύλῳ καὶ τῷ Σίλᾳ. Καὶ προαγαγὼν αὐτοὺς ἔξω,
31 ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; Οἱ δὲ εἶπον· Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν, καὶ σω-
32 θήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.
33 Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν· καὶ ἐβαπτίσθη
34 αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο, πανοικὶ πεπιστευκὼς τῷ θεῷ.
35 Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· Ἀπόλυσον τοὺς ἀν-
36 θρώπους ἐκείνους. Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον· Ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπολυθῆτε· νῦν οὖν ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ.

Ἔξυπνος γενόμενος ὁ δεσμοφύλαξ.] Οὗτός ἐστιν ὁ Στεφανᾶς,

(α) Α΄ Κορ. Α΄, 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗ μνημονεύει Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ (α).

37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· Δείραντες ἡμᾶς
δημοσίᾳ, ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους
ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν, καὶ νῦν λάθρα
ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ
38 ἡμᾶς ἐξαγαγέτωσαν. Ἀνήγγειλαν δὲ τοῖς στρατη-
γοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ ἐφοβή-
39 θησαν, ἀκούσαντες, ὅτι Ῥωμαῖοί εἰσι. Καὶ ἐλθόν-
τες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγαγόντες ἠρώτων,
40 ἐξελθεῖν τῆς πόλεως. Ἐξελθόντες δὲ ἐκ τῆς φυ-
λακῆς, εἰσῆλθον πρὸς τὴν Λυδίαν· καὶ ἰδόντες τοὺς
ἀδελφοὺς, παρεκάλεσαν αὐτοὺς, καὶ ἐξῆλθον.

Δείραντες ἡμᾶς δημοσίᾳ.] Δείκνυσι διπλοῦν τὸ ἔγκλημα, εἰπών· *Δείραντες ἡμᾶς δημοσίᾳ*, καὶ τὰ ἑξῆς· ὅτι Ῥωμαίους, καὶ ὅτι ἀκατακρίτους. Καὶ ἀνθρώπινα γὰρ κατεσκεύαζε διά τινα οἰκονομίαν πολλάκις, ἵνα μὴ δόξῃ ὡς κατάδικος ἀπολύεσθαι, καὶ ὡς ἡμαρτηκώς· καὶ ἵνα μὴ τῆς χάριτος αὐτῶν ᾖ τὸ πρᾶγμα. Καὶ εἰδὼς, ὅτι δεῖ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, ἐκάλει ἑαυτὸν Ῥωμαῖον· σχεδὸν γὰρ πάσης τῆς γῆς, καὶ αὐτῆς τῆς Ἰουδαίας, ὁ Ῥωμαίων βασιλεὺς ἐκράτει· καὶ αὐτοὶ φόρον ἐτέλουν Καίσαρι, μὴ ἀποσειόμενοι τὴν ἀρχὴν καὶ δεσποτείαν τὴν Ῥωμαϊκὴν, ὥσπερ οἱ λοιποὶ Ἰουδαῖοι, οἵτινες φρεναπατῶντες ἑαυτοὺς, τὸν μὲν θεὸν μόνον ἔλεγον ἴδιον βασιλέα, οὐ μὴν ἄνθρωπον· ἔργοις δὲ αὐτοῖς ὡς ὑποτελεῖς οἰκέται φόρον ἐτέλουν, τὸ μὲν ὄνομα ἀρνούμενοι, ἔργοις δὲ ὑποκείμενοι· οὓς καὶ ἐπόρθησεν Οὐεσπασιανὸς ὡς μὴ ὑποτασσομένους.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ στάσεως γενομένης ἐν Θεσσαλονίκῃ τοῦ κηρύγματος ἕνεκεν, φυγῆς τε Παύ-

(α) Α' Κορ. Δ', 16.

Δημόσιο Κεντρική Βιβλιοθήκη Ε

λου εἰς Βέροιαν, κἀκεῖθεν εἰς Ἀθήνας.

ΚΕΦ. XVII, 1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ
Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ
2 συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ
Παύλῳ, εἰσῆλθε πρὸς αὐτοὺς, καὶ ἐπὶ σάββατα
3 τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων
καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν,
καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ
Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

Ἐπειδὴ οὗτοι πρὸς τὰ σημεῖα ἐναντίως εἶχον, ὡς πλάνους καὶ γόητας διαβάλλοντες, ὧδε ἀπὸ τῶν γραφῶν πείθων ὁ Παῦλος, οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν.

4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώ-
θησαν τῷ Παύλῳ καὶ τῷ Σίλα, τῶν τε σεβομένων
Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ
5 ὀλίγαι. Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ
προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονη-
ροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν·
ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς,
6 ἀγαγεῖν εἰς τὸν δῆμον· μὴ εὑρόντες δὲ αὐτοὺς,
ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς
πολιτάρχας, βοῶντες· Ὅτι οἱ τὴν οἰκουμένην ἀνα-
7 στατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν· οὓς ὑπο-
δέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν
δογμάτων Καίσαρος πράττουσι, βασιλέα λέγοντες
8 ἕτερον εἶναι, Ἰησοῦν. Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ
9 τοὺς πολιτάρχας ἀκούοντας ταῦτα. Καὶ λαβόντες
τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέ-
10 λυσαν αὐτούς. Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς
ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν·
οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν τῶν
Ἰουδαίων ἀπῆεσαν.

Σεβομένους Ἕλληνας, τοὺς ἐξ Ἰουδαίων μὲν ὄντας, ἑλληνιστὶ

Αριστοτέλειο Κεντρική Βιβλιοθήκη Θεσσαλ

δὲ φθεγγομένους καλεῖ, διὰ τὸ φυλάττειν τὸν νόμον· ἢ τοὺς ἐξ Ἑλλήνων προσηλύτους Ἰουδαίων ὑπάρχοντας.

11 Οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς, εἰ
12 ἔχοι ταῦτα οὕτως. Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐ-
13 σχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι. Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ θεοῦ, ἦλθον κἀκεῖ, σαλεύοντες τοὺς ὄχλους.

Οὗτοι δὲ ἦσαν εὐγενέστεροι.] Τὸ, εὐγενέστεροι, ἀντὶ τοῦ, ἐπιεικέστεροι, φησιν. Οὐχ ὡς ἄπιστοι δὲ οὗτοι ἀνέκρινον, ἤτοι ἐξηρεύνων, τὰς γραφάς· ἤδη γὰρ ἦσαν πεπιστευκότες· ἀλλ' ὡς ἄμοιροι τῆς τῶν παλαιῶν προφητῶν παραδόσεως· καὶ διὰ τοῦτο μᾶλλον πιστότεροι ἐγίνοντο ἐρευνῶντες τὰς γραφὰς, καὶ εὑρίσκοντες τοῖς τῶν παλαιῶν προφητῶν λόγοις συνάδοντα τὰ περὶ τῆς ἐνσάρκου τοῦ Κυρίου οἰκονομίας πράγματα.

14 Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ, πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ
15 ὅ,τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. Οἱ δὲ καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν· καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξήεσαν.

Οἰκονομικῶς ἐνταῦθα, οὐ δειλιῶν ἔφυγεν ὁ ἀπόστολος, ἄλλως τε καὶ τὸ κήρυγμα αὔξειν βουλόμενος, καὶ τὸν θυμὸν αὐτῶν κατασβέσαι πραγματευόμενος.

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'.

Περὶ τῆς ἐν Ἀθήναις ἐπιβωμίου γραφῆς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φιλοσόφου τε κηρύγματος καὶ εὐσεβείας τοῦ Παύλου.

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεω-
17 ροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

Παρωξύνετο.] Οὐκ ὀργὴν ἐνταῦθά φησιν, οὐδὲ ἀγανάκτησιν· ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα. Τί οὖν ἐστὶ τὸ, *παρωξύνετο*; Ἀντὶ τοῦ, διεγείρετο, , οὐκ ἔφερεν, ἀλλ' ἐτήκετο· καθὰ καὶ ἀλλαχοῦ φησιν· Ἐγένετο δὲ παροξυσμὸς μεταξὺ αὐτῶν, καὶ τὰ ἑξῆς (α).

18 Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ· καί τινες ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δὲ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο.

Οἱ μὲν Ἐπικούρειοι αὐτόματον καὶ ἐξ ἀτόμων δοξάζουσιν εἶναι τὸ πᾶν· οἱ δὲ Στωϊκοὶ, σῶμα καὶ ἐκπύρωσιν. Τινὲς οὖν ἐξ αὐτῶν, ἐπὶ γνώσει μέγα φρονοῦντες, ἀνοήτως ἐπιγελῶντες τὸν θεσπέσιον Παῦλον, *Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος;* ἔλεγον. Ἐπειδὴ γὰρ ὄρνεόν ἐστιν ὁ σπερμολόγος βραχὺ καὶ εὐτελὲς, οὔτε πρὸς βρῶσιν, οὔτε πρὸς τέρψιν ἐπιτήδειον, τὰ ἐν ταῖς τριόδοις ἐρριμένα τῶν σπερμάτων εἰωθὸς συλλέγειν, τοὺς εὐτελεῖς καὶ οὐκ ἀξίους λόγου, *σπερμολόγους* ἐκάλουν. Καὶ ξένων δαιμονίων ἔφασκον αὐτὸν εἶναι διδάσκαλον, ἐπειδὴ τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο. Καὶ γὰρ καὶ τὴν ἀνάστασιν θεόν τινα εἶναι ἐνόμιζον, ἅτε εἰω-

(α) Πραξ. ιε', 39.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θότες καὶ θηλείας σέβειν θεάς. *Δαιμόνια* γὰρ τοὺς θεοὺς αὐτῶν ἐκάλουν.

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον
ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι, τίς ἡ καινὴ
20 αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; Ξενίζοντα γάρ
τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Βουλόμεθα οὖν
21 γνῶναι, τί ἂν θέλοι ταῦτα εἶναι. (Ἀθηναῖοι δὲ
πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον
εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.)

Ηγαγον αὐτὸν, φησιν, *ἐπὶ τὸν Ἄρειον πάγον*, οὐχ ὡς τι μαθεῖν, ἀλλ' ὥστε κολάσασθαι, ἔνθα αἱ φονικαὶ δίκαι. Ἄρειος δὲ *πάγος* ἐλέγετο ὁ τόπος· ἐπειδὴ ὁ Ἄρης ἐκεῖσε, ὥς φασι, τοῦ φόνου δίκας ἔδωκε. *Πάγος* δέ, ὁ ὑψηλὸς τόπος· ἐν γὰρ ὄχθῳ τινὶ ἦν ἐκεῖνο τὸ δικαστήριον. Ὅθεν καὶ Πάγαρχοι καλοῦνται παρά τισιν οἱ τόπων τινῶν ἢ κωμῶν ἄρχοντες.

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου,
ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμο-
23 νεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γὰρ καὶ ἀνα-
θεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν, ἐν
ᾧ ἐπεγέγραπτο· «Ἀγνώστῳ θεῷ.» Ὃν οὖν ἀγνο-
οῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

Ὡς δεισιδαιμονεστέρους.] *Δεισιδαίμων* λέγεται ὁ δεδιὼς τὰ δαιμόνια, ὁ πάντα θειάζων, καὶ ξύλον, καὶ λίθον, καὶ πνεῦμα. Ὥσπερ ἐγκωμιάζειν αὐτούς δοκεῖ. *Δεισιδαιμονεστέρους* δὲ, ἀντὶ τοῦ, εὐλαβεστέρους. *Ἀγνώστῳ θεῷ.*] Δύο αἰτίας εἶναι λέγουσι τοῦ ἐπιγράφεσθαι Ἀθήνῃσι τῷ βωμῷ, «*Ἀγνώστῳ θεῷ.*» Οἱ μὲν γάρ φασιν, ὡς Φιλιππίδην ἔπεμψαν Ἀθηναῖοι πρὸς Λακεδαιμονίους περὶ συμμαχίας, ἡνίκα Πέρσαι ἐπεστράτευσαν τῇ Ἑλλάδι. Ὃ κατὰ τὸ Παρθένιον ὄρος Πανὸς φάσμα ἐντυχὸν, ἠτιᾶτο μὲν Ἀθηναίους ὡς ἀμελοῦντας μὲν αὐτοῦ, ἄλλους δὲ θεοὺς θεραπεύοντας, καὶ βοηθεῖν ἐπηγγέλλετο. Νικήσαντες οὖν, ἐκείνῳ τε ἀνέστησαν ναὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλος

καὶ βωμὸν ᾠκοδόμησαν· καὶ ὡς φυλαττόμενοι, μὴ τὸ αὐτὸ δὴ καὶ ἄλλοτε πάθοιεν, παρέντες τινα θεὸν ἄγνωστον αὐτοῖς, ἀνέστησαν τὸν βωμὸν ἐκεῖνον ἐπιγράψαντες, «Ἀγνώστῳ θεῷ,» τοῦτο λέγοντες, ὅτι Καὶ εἴ τις ἕτερος ἀγνοοῖτο παρ' ἡμῶν, εἰς τιμὴν ἐκείνου οὗτος δὴ παρ' ἡμῶν ἐγήγερται, ὡς ἂν ἵλεως ἡμῖν εἴη, εἴπερ ἀγνοούμενος μὴ θεραπεύοιτο. Ἄλλοι δέ φασιν, ὅτι λοιμὸς κατέσκηψέ ποτε Ἀθήνησι, καὶ εἰς τοσοῦτον αὐτοὺς ἐξέκαυσεν, ὡς μηδὲ τῶν λεπτοτάτων σινδόνων ἀνέχεσθαι. Τοὺς νομιζομένους οὖν αὐτῶν θεοὺς θεραπεύοντες, οὐδὲν ἀπώναντο. Ἐννοήσαντες οὖν, ὅτι ἴσως ἐστὶν ὁ θεὸς, ὃν αὐτοὶ κατέλιπον ἀγέραστον, ὁ τὸν λοιμὸν καταπέμψας, νέον δειμάμενοι βωμὸν, καὶ ἐπιγράψαντες «Ἀγνώστῳ Θεῷ,» καὶ θύσαντες, εὐθέως ἐθεραπεύθησαν. Τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναί φησι τῶν ἁπάντων θεὸν ὁ Παῦλος, ὃν καὶ καταγγέλλειν αὐτοῖς ἔφασκεν. Ἔστι δὲ ἡ πᾶσα τοῦ βωμοῦ ἐπιγραφὴ τοιαύτη· ΘΕΟΙΣ ΑΣΙΑΣ ΚΑΙ ΕΥΡΩΠΗΣ ΚΑΙ ΛΙΒΥΗΣ, ΘΕΩ ΑΓΝΩΣΤΩ ΚΑΙ ΞΕΝΩι.

24 Ὁ θεὸς, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν
αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων,
25 οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· οὐδὲ ὑπὸ χει-
ρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος,
αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶπνοὴν καὶ τὰ πάντα·
26 ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων
κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς·

Ἵνα μὴ νομίσωσιν, ἕνα τῶν πολλῶν εἶναι θεὸν, τὸν ὑπ' αὐτοῦ κηρυττόμενον, διορθοῦται ἐπάγων· *Οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ.* Οἰκεῖ μὲν γὰρ ἐν ναοῖς, ἀλλ' οὐκ ἐν τούτοις, ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. Οὐδὲ γὰρ ἐν τῷ ναῷ τῶν Ἱεροσολύμων λέγεται οἰκεῖν, ἀλλ' ἐνεργεῖν. Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις ἐθεραπεύετο, ἀλλ' ὑπὸ διανοίας· ἐπεὶ κἀκεῖνά γε οὐκ ἐζήτει οὕτως, ὡς προσδεόμενος. Φησὶ γάρ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

« μὴ φάγωμαι κρέα ταύρων; ἢ αἷμα τράγων πίωμαι; καὶ τὰ ἑξῆς (α). »

26 Ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθε-
27 σίας τῆς κατοικίας αὐτῶν· ζητεῖν τὸν Κύριον, εἰ ἄραγε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.
28 Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι·
29 « Τοῦ γὰρ καὶ γένος ἐσμέν. » Γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.

Ὁρίσας προστεταγμένους καιρούς.] Ὥρισέ, φησι, ζητῆσαι τὸν θεόν· ἀλλ' οὐ διὰ παντὸς τοῦτο ὥρισεν, ἀλλὰ κατὰ *προστεταγμένους καιρούς*· δεικνὺς, ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον. Ἐπειδὴ γὰρ ζητήσαντες οὐχ εὗρον, δείκνυσιν, ὅτι οὕτως ἦν φανερὸς, ὥσπερ ἂν εἰς μέσον ψηλαφώμενος. Οὐ γὰρ ἐνταῦθα μὲν ἦν οὐρανὸς, ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. Ὥστε καὶ κατὰ πάντα καιρὸν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. Οὕτως γὰρ ᾠκονόμησεν, ὥςε *μήτε τόπῳ* κωλύεσθαι, *μήτε χρόνῳ*. Καὶ αὐτὸ δὴ τοῦτο μάλιστα αὐτοῖς συνεβάλλετο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανὸν, τὸ ἐν παντὶ χρόνῳ ἑστᾶναι. Καὶ τοῦτό ἐστιν ὃ φησι· *Καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὄντα*· πᾶσι γὰρ ἐγγύς ἐστι τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι· καὶ οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν. *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.*] Ὥσπερ ἐν σωματικῷ ὑποδείγματι δείκνυσιν· ὡς ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα, οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργὸν θεόν. Παρ' αὐτοῦ γάρ ἐστιν ἡμῖν τὸ εἶναι, τὸ ἐνεργεῖν, τὸ μὴ ἀπο-

(α) Ψαλμ. ΜΘ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Κέρκυρας

λέσθαι. Εἶτα καὶ χρῆσιν αὐτοῖς Ἀράτου ἐπάγει (1), ἑνός τινος τῶν παρ' αὐτοῖς ποιητῶν, εἰς κατασκευὴν τοῦ ἑαυτοῦ λόγου· « *Τοῦ γὰρ καὶ γένος ἐσμέν* » φησι. Καὶ οὗτος μὲν περὶ τοῦ δημιουργοῦ αὐτὸ ἐκλαμβάνει, εἰ καὶ περὶ τοῦ Διὸς τοῦτο εἰρῆσθαί φασιν, οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων, ἀλλὰ τοῦτο κυρίως ἐπ' αὐτῷ ἁρμόζειν λέγων. Εἴρηται μὲν γάρ τινα καὶ πράττεται εἰς αὐτὸν· ἀλλ' οὐκ ἴσασι τοῦτο Ἕλληνες· ἀλλ' εἰς ἕτερον αὐτὰ νενοήκασιν, ὥσπερ ἐστι καὶ τὸ « *Ἀγνώστῳ θεῷ,* » καὶ ἕτερα τινά. Γένος δὲ θεοῦ ἡμᾶς εἶναί φησιν ὁ Παῦλος, οὐχ ὡς ἐκεῖνοί φασιν, ἀλλ' ἑτέρῳ νῷ, τουτέστιν οἰκείους, ἐγγυτάτους, ὡς ἄν τις εἴποι, παροίκους καὶ γείτονας.

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι
31 πανταχοῦ μετανοεῖν· διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ, ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας
32 αὐτὸν ἐκ νεκρῶν. Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον· οἱ δὲ εἶπον· Ἀκουσόμεθά
33 σου πάλιν περὶ τούτου. Καὶ οὕτως ὁ Παῦλος
34 ἐξῆλθεν ἐκ μέσου αὐτῶν. Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ, ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Τοὺς *μὲν οὖν χρόνους τῆς ἀγνοίας*, καὶ τὰ ἑξῆς.] Οὐ τοῦτό φησιν, ὅτι οὐδεὶς κολάζεται τούτων, ἀλλ' ὅτι οὐδεὶς τῶν θελόντων μετανοεῖν. Οὐ περὶ τῶν ἀποθανόντων γὰρ τοῦτό φησιν, ἀλλὰ περὶ τούτων, οἷς παραγγέλλει. Οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησὶ, περὶ τῶν προτέρων ἐτῶν τῆς ἀγνοίας ὑμῶν. Οὐκ εἶπε δὲ, παρεῖδεν, ἢ, εἴασεν, ἀλλ' *ὑπερεῖδε*, τουτέστιν οὐκ ἀπαιτεῖ κόλασιν, ὡς ἀξίους ὄντας κολάσεως.

(1) Ἄρατος, Ἐν φαινομένοις ϛ. Κλεάνθης ἐν ὕμνῳ εἰς Δία.

Αριστοτέλειο Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ Ἀκύλα καὶ Πρισκίλλης, τῆς τε Κορινθίων ἀπειθείας καὶ τῆς κατὰ πρόγνωσιν ἐπ' αὐτοῖς εὐδοκίας τοῦ θεοῦ, ἀποκαλυφθείσης τῷ Παύλῳ· ἐν ᾧ περὶ Κρίσπου ἀρχισυναγώγου, πιστεύσαντος σὺν ἑτέροις τισὶ καὶ βαπτισθέντος· ὅτι, ςάσεως κινηθείσης ἐν Κορίνθῳ, ὁ Παῦλος ὑπανεχώρησεν· ἐλθών τε εἰς Ἔφεσον, καὶ διαλεχθεὶς ἐξῆλθε· περὶ Ἀπολλῶ, ἀνδρὸς λογίου τε καὶ πιστοῦ.

ΚΕΦ. XVIII 1, Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος
2 ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον. Καὶ εὑρών τινα Ἰουδαῖον, ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν, γυναῖκα αὐτοῦ, (διὰ τὸ διατεταχέναι Κλαύδιον, χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ
3 τῆς Ῥώμης,) προσῆλθεν αὐτοῖς· καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς, καὶ εἰργάζετο·
4 ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰου-
5 δαίους καὶ Ἕλληνας. Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ,τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰου-
6 δαίοις τὸν Χριστὸν Ἰησοῦν. Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγὼ, ἀπὸ τοῦ νῦν εἰς τὰ
7 ἔθνη πορεύσομαι. Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς, ὀνόματι Ἰούστου, σεβομένου τὸν θεὸν,

Δημόσιος Κεντρική Βιβλιοθήκη Βέροιας

8 οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες, ἐπίστευον, καὶ ἐβαπτίζοντο.

Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν.] Τοῦτο λέγει ὁ Παῦλος, ἐκτιναξάμενος τὰ ἱμάτια· ὥστε μὴ ῥήματι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι. Διὸ καὶ σφοδρότερον τοῦτο εἰπών, Τὸ *αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν*, ἀφίσταται αὐτῶν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἕκαστος τῶν ἀποστατούντων Χριστοῦ, ὃς ἐστι ζωή, δοκεῖ ἑαυτὸν φονεύειν, ἀπὸ τῆς ζωῆς μεταβαίνων εἰς θάνατον· τὸ αἷμα αὐτοῦ τρόπον τινὰ ἐκχέων διὰ τῆς σφαγῆς, ἣν ἐπιφέρει ἑαυτῷ. Τοῦτο οὖν φησίν· Ἀνθ' ὧν σφάζετε ἑαυτοὺς διὰ τῆς ἀπιστίας, αὐτοῦ τούτου ὑμεῖς ὑπόσχητε δίκην, ἐμοῦ ἀθῴου ὄντος. Ἐντεῦθεν δέ ἐστι συνιδεῖν, ὅτι ὁ σφάζων ἑαυτόν, τιμωρεῖται ὡς φονεὺς παρὰ τῷ θεῷ.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ·
10 Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς· διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε· διότι λαός ἐστί μοι πολὺς ἐν τῇ
11 πόλει ταύτῃ. Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ,
12 διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον
13 αὐτὸν ἐπὶ τὸ βῆμα, λέγοντες· Ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν
14 θεόν. Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν οὖν ἦν ἀδίκημά τι, ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰου-
15 δαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ
16 τούτων οὐ βούλομαι εἶναι. Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

Δι' ὁράματος ἐν νυκτί.) Σημειωτέον, ὅτι εἶδε τὸν Κύριον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰησοῦν ὁ Παῦλος δι' ὀνείρου. Διὸ καὶ αὐτὸς ἔλεγεν (α)· « Οὐχὶ Ἰησοῦν, τὸν Κύριον ἡμῶν, ἑώρακα; » Εἴτε δὲ δι' ὀνείρου, εἴτε καὶ ἐγρηγορὼς ἐθεάσατο τὸν Ἰησοῦν, οὐδεμία διαφορά· πλὴν καὶ ἐν ἡμέρᾳ ὤφθη αὐτῷ (ε).

17 Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν.

Ητοι διὰ τοῦτο ἔτυπτον τὸν Σωσθένην, ἐπειδὴ καὶ αὐτὸς ἦν μᾶλλον προστιθέμενος τῷ Παύλῳ, ὡς καὶ Κρίσπος ὁ ἀρχισυνάγωγος· ἢ εἰς τοσοῦτον ἦσαν ἐληλακότες μανίας, ὡς ἀποτυχόντες τοῦ σκοποῦ ἑαυτῶν, ἀντὶ τοῦ τύπτειν τὸν Παῦλον, Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον· ἢ διὰ τοῦτο ἔτυπτον αὐτόν· ἐπειδὴ μᾶλλον ἠβουλήθησαν φονεῦσαι τὸν Παῦλον, καὶ Σωσθένης διεκώλυσεν αὐτούς.

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

Πάλιν κάτεισι Παῦλος εἰς Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα, καὶ Ἀκύλας, *κειράμενος τὴν κεφαλήν*. Τὸ δὲ κείρεσθαι τὴν κεφαλὴν κατ' εὐχήν, Ἰουδαϊκὸν ἦν. Ἔδει δὲ καὶ θυσίαν γενέσθαι, ἥ τις οὐκ ἐγένετο ἔτι μετὰ τὸ τυφθῆναι τὸν Σωσθένην· ἤδη γὰρ ὁ νόμος κατελύετο, ἐπειδὴ τῷ συνειδότι κατείχοντο.

19 Κατήντησε δὲ εἰς Ἔφεσον, κἀκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διε-
20 λέχθη τοῖς Ἰουδαίοις. Ἐρωτώντων δὲ αὐτῶν, ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν·
21 ἀλλὰ ἀπετάξατο αὐτοῖς, εἰπών· Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα·

(α) Α' Κορ. Θ', 1. (ε) Πραξ. ΚΒ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ θεοῦ θέλοντος. Καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου.

Τοὺς περὶ Ἀκύλαν, φησὶ, κατέλιπεν εἰς Ἔφεσον· τοῦτο δὲ ἐποίησεν εἰκότως, ὡς διδάσκοντας. Τοσοῦτον γὰρ αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνηθείας αὐτοὺς οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. *Πάλιν ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ θεοῦ θέλοντος.* Τί δή ποτε προφήτης ὢν ὁ Παῦλος, καὶ εἰδὼς, ὅτι ἔμελλεν ἀναστρέφειν, οὐχ ἁπλῶς ἀναστρέφειν ἐπηγγείλατο, ἀλλὰ προστιθεὶς, *τοῦ Θεοῦ θέλοντος*; Ἡμᾶς διδάσκει, μηδὲν περὶ τῶν μελλόντων ὑπισχνεῖσθαι ποιεῖν, δίχα τοῦ εἰπεῖν « τοῦ Θεοῦ θέλοντος. » Οὐ γάρ τις οἶδε, τί τέξεται ἡ ἐπιοῦσα ἡμέρα (α).

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν.
23 Καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων
24 πάντας τοὺς μαθητάς. Ἰουδαῖος δέ τις, Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς
25 γραφαῖς. Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου· καὶ ζέων τῷ πνεύματι, ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος
26 μόνον τὸ βάπτισμα Ἰωάννου. Οὗτός τε ἤρξατο παῤῥησιάζεσθαι ἐν τῇ συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ θεοῦ
27 ὁδόν. Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς, ἀποδέξασθαι αὐτόν. Ὃς παραγενόμενος, συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάρι-
28 τος. Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο

(α) Παροιμ. ΚΖ', 1.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν Χριστὸν Ἰησοῦν.

Τινές φασιν, ὡς ὁ Ἀπολλὼς οὗτος ὁ αὐτὸς ἐστιν Ἀπελλῆς, ὁ τῶν Κορινθίων ἐπίσκοπος, περὶ οὗ φησιν ἀλλαχοῦ ὁ Παῦλος· «Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν (α).» Ἤ τοίνυν διώνυμος ὁ ἀνὴρ, ἢ ἄλλως μετεποιήθη θάτερον τῶν ὀνομάτων εἰς τὸ λοιπόν. *Ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.*] Ἄξιον ζητῆσαι, πῶς, εἰ τὸ βάπτισμα μόνον Ἰωάννου ἠπίστατο οὗτος, τῷ πνεύματι ἔζει; τὸ γὰρ Πνεῦμα οὐχ οὕτως ἐδίδοτο· καὶ εἰ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ, πολλῷ μᾶλλον καὶ οὗτος ἐδεήθη ἄν. Τί οὖν ἐστιν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα ὁ συγγραφεύς. Δοκεῖ τοίνυν οὗτος εἷς εἶναι τῶν ἑκατὸν εἴκοσι τῶν μετὰ τῶν ἀποστόλων βαπτισθέντων. Ἤ, εἰ μὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτου. Ἀλλ' οὐ βαπτίζεται· ἀλλ' ὅτε ἀκριβέστερον αὐτῷ ἐξέθεντο. Τοῦτο δὲ εἶναί μοι ἀληθὲς φαίνεται, ὅτι καὶ βαπτισθῆναι αὐτὸν ἔδει· ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι οὐδὲν ᾔδεισαν ἀκριβῶς, οὐδὲ τὰ περὶ τοῦ Ἰησοῦ. Εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι. Εἰ δὲ οὗτοι οἱ Ἰωάννου, μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τοὺς μαθητὰς τοῦτο ποιῆσαι.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ βαπτίσματος καὶ τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, δοθείσης διὰ προσευχῆς Παύλου τοῖς ἐν Ἐφέσῳ πιστεύσασι, καὶ περὶ ἰάσεως τοῦ λαοῦ· ἐν ᾧ περὶ τῶν υἱῶν Σκευᾶ, ὅτιπερ οὐ δεῖ ἐγχειρεῖν

(α) Α' Κορ. Γ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπίστοις καὶ ἀναξίοις τῆς πίστεως γενομένοις, καὶ περὶ ἐξομολογήσεως τῶν πιστευόντων· περὶ τῆς ἐν Ἐφέσῳ κινηθείσης στάσεως ὑπὸ Δημητρίου τοῦ ἀργυροκόπου κατα τῶν ἀποστόλων.

ΚΕΦ. XIX, 1. Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ
2 μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἀλλ' οὐ-
3 δὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· Εἰς τὸ Ἰωάννου βάπτισμα.

Πόθεν οὗτοι, ἐν Ἐφέσῳ ὄντες, τὸ βάπτισμα εἶχον Ἰωάννου; Ἴσως ἐπεδήμησαν τοῖς Ἱεροσολύμοις τότε, καὶ ἀπῆλθον πρὸς τὸν Ἰωάννην, καὶ ἐβαπτίσθησαν. Ἀλλὰ καὶ βαπτισθέντες, τὸν Ἰησοῦν οὐκ ἠπίσταντο. Καὶ οὐ λέγει αὐτοῖς· Πιστεύετε εἰς τὸν Ἰησοῦν; ἀλλὰ τί; *Εἰ Πνεῦμα ἅγιον ἐλάβετε.* Ἤδει γάρ, ὅτι οὐκ εἶχον· ἀλλὰ βούλεται αὐτοὺς τοῦτο εἰπεῖν, ἵνα, μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσιν.

4 Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Χρι-
5 στὸν Ἰησοῦν. Ἀκούσαντες δὲ, ἐβαπτίσθησαν εἰς τὸ
6 ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς· ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον·
7 Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελ-
8 θὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο, ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ.

Ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου προφητεύει, καὶ ἐνάγει αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς, ὅτι τοῦτο βούλεται τὸ βάπτισμα Ἰωάννου (1). Ἐντεῦθεν δὲ δείκνυται, ὅτι ἀτελὲς ἦν τὸ βάπτισμα Ἰωάννου. Οὐ γὰρ εἶπεν, *ἀφέσεως*, ἀλλὰ, *μετανοίας*, εἶναι. Εἶτα βαπτισθέντες εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, φησὶν, ὑπὸ τῶν χειρῶν Παύλου, εὐθέως τὸ πνεῦμα ἐλάμβανον. Τοῦτο δὲ οὐχ ἑώρων· ἀόρατον γάρ ἐστιν· αἰσθητὸν δὲ ὅμως τινὰ ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χάρις· καὶ ὁ μὲν, τῇ Περσῶν, ὁ δὲ, τῇ Ῥωμαίων, ὁ δὲ, τῇ Ἰνδῶν, ὁ δὲ, ἑτέρᾳ τινὶ τοιαύτῃ εὐθέως ἐφθέγγετο γλώσσῃ. Καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν, ὅτι τὸ πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ, δεικνῦντος τοῦ θεοῦ, ὅτι τοῦτό ἐστι τῆς ἐξουσίας τῆς ἀνωτάτω.

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν
10 διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός. Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο· ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

Κακολογοῦντες τὴν ὁδόν.] Ἡ ὁδὸν λέγει τὸν Χριστὸν, ἢ τὴν πίστιν τὴν ἀληθινήν. Αὕτη γάρ ἐστιν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς.] Ἐντεῦθεν διδάσκει ἡμᾶς, ἀπὸ τῶν βλασφημούντων τὸν υἱὸν τοῦ θεοῦ χωρίζεσθαι τοὺς εἰς αὐτὸν πιστεύοντας.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ θεὸς διὰ
12 τῶν χειρῶν Παύλου· ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν

(1) Ὁ Χρυσόστομος σαφέστερον « Ἀπ' αὐτοῦ τοῦ βαπτίσματος προφητεύουσι. Τοῦτο δὲ τὸ Ἰωάννου βάπτισμα οὐκ εἶχε· διὸ καὶ ἀτελὲς ἦν. Ἵνα δὲ τῶν τοιούτων ἀξιωθῶσι, παρεσκεύαζε μᾶλλον αὐτούς. Ἵστε τοῦτο ἐβούλετο Ἰωάννης βαπτίζων, πιστεῦσαι εἰς τὸν ἐρχόμενον μετ' αὐτόν. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν.

Σουδάρια καὶ σιμικίνθια.] Ἀμφότερα λινοειδῆ εἰσὶ· πλὴν τὰ μὲν σουδάρια ἐπὶ τῆς κεφαλῆς ἐπιβάλλεται· τὰ δὲ σιμικίνθια ἐν ταῖς χερσὶ κατέχουσιν οἱ μὴ δυνάμενοι ὁράρια φορέσαι, οἷοί εἰσιν οἱ φοροῦντες ὑπατικὰς στολὰς ἢ γουβία, πρὸς τὸ ἀπομάττεσθαι τὰς ὑγρότητας τοῦ προσώπου, οἷον, ἱδρῶτα, πτύελον, δάκρυον, καὶ τὰ ὅμοια.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· Ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν ὁ Παῦ-
14 λος κηρύσσει. Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ, Ἰουδαίου,
15 ἀρχιερέως, ἑπτὰ, οἳ τοῦτο ποιοῦντες. Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε· Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες
16 ἐστέ; Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.
17 Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν, Ἰουδαίοις τε καὶ Ἕλλησι, τοῖς κατοικοῦσι τὴν Ἔφεσον· καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

Ἐπεχείρησαν.] Αὕτη ἡ λέξις δείκνυσιν, ὅτι οὐχ ὡς πιστεύοντες τῷ Ἰησοῦ οἱ ἐξορκισταὶ, ἐξώρκιζον τὰ ἀκάθαρτα πνεύματα τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ' ὡς πειράζοντες. Διὸ καὶ, ὡς μὴ ὄντες πιστοὶ, ὡς τὸ ἀκάθαρτον πνεῦμά φησι, τῆς προπετείας δεδώκασι πρὸς ὀλίγου δίκην. Διήλεγξε γὰρ αὐτοὺς, καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησε, σφόδρα θυμωθεὶς ὁ δαίμων, ὡς ἂν εἴ τις περὶ τῶν ἐσχάτων κινδυνεύων ὑπό τινος οἰκτροῦ καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκεῖνον ἀφεῖναι βούλοιτο τὸν θυμόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομο-
λογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.
19 Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγ-
καντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων·
καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀρ-
20 γυρίου μυριάδας πέντε. Οὕτω κατὰ κράτος ὁ λόγος
21 τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν. Ὡς δὲ ἐπληρώθη
ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν
τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἰερου-
σαλήμ, εἰπών· Ὅτι μετὰ τὸ γενέσθαί με ἐκεῖ,
22 δεῖ με καὶ Ῥώμην ἰδεῖν. Ἀποστείλας δὲ εἰς τὴν
Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον
καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.
23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ
24 ὀλίγος περὶ τῆς ὁδοῦ. Δημήτριος γάρ τις ὀνόματι,
ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρ-
25 είχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην. Οὓς συν-
αθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· Ἄν-
δρες, ἐπίστασθε, ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία
26 ἡμῶν ἐστι· καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον
Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος
οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων, ὅτι
27 οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. Οὐ μόνον δὲ
τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν·
ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν
εἰς οὐδὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τὴν
μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκου-
28 μένη σέβεται. Ἀκούσαντες δὲ, καὶ γενόμενοι πλή-
ρεις θυμοῦ, ἔκραζον, λέγοντες· Μεγάλη ἡ Ἄρ-
29 τεμις Ἐφεσίων! Καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς
συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον,
συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον, Μακεδόνας,
30 συνεκδήμους Παύλου. Τοῦ δὲ Παύλου βουλο-
μένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ
31 μαθηταί. Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ
φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν, μὴ
32 δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. Ἄλλοι μὲν οὖν ἄλλό

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ἤδεισαν, τίνος ἕνεκεν συνεληλύθεισαν.
33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῷ
34 δήμῳ. Ἐπιγνόντων δὲ, ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων!

Ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις.) Δεῖ πάντα πιστὸν λέγειν τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ ἀποτάττεσθαι διὰ τοῦ ἑαυτὸν ἐλέγχειν τοῦ μηκέτι ποιεῖν τὰ αὐτά, ἵνα δικαιωθῇ κατὰ τὸ εἰρημένον· « Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας, ἵνα δικαιωθῇς (α) ». Σημειωτέον δὲ καὶ ἐν τοῖς ἐφεξῆς ὅτι, καίτοι πολυτίμους οὔσας τὰς γοητικὰς αὐτῶν βίβλους, ὡς τῶν ἐν βίῳ ἐχούσας τὰ κάλλιστα, οἱ εἰς Χριστὸν πιστεύσαντες, οὐκ ἐπώλησαν, ἀλλ' ἔκαυσαν, καίτοιγε ἄλλων ἐκεῖσε τοιούτων ὄντων τῶν θελόντων τὰς βίβλους κτήσασθαι, πρῶτον μὲν, ἵνα μή τις μετάσχῃ τῆς ἀπ' αὐτῶν ψυχοφθόρου λύμης· ἔπειτα δὲ, ἵνα μὴ ἀπὸ τοιαύτης αἰτίας κτήσωνταί τι. Ὥσπερ γὰρ τὸ ἀπὸ πορνείας κέρδος ἀπηγόρευται προσάγειν θεῷ (β), οὕτως οὐδὲ τὸ ἐκ τῆς αἰτίας ταύτης ἀργύριον τεθῆναι παρὰ τοὺς τῶν ἀποστόλων πόδας δίκαιον ἔκριναν ἡ εὐαπόδεκτον.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν, νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς;
36 Ἀναντιῤῥήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς
37 πράττειν. Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.
38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται

(α) Ἡσ. ΜΓ', 26. (β) Δευτερ. ΚΓ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχουσι πρός τινα λόγον, Ἀγοραῖοι ἄγονται, καὶ
39 Ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις. Εἰ δέ τι
περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ
40 ἐπιλυθήσεται. Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖ-
σθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου
ὑπάρχοντος, περὶ οὗ δυνησόμεθα ἀποδοῦναι
λόγον τῆς συστροφῆς ταύτης. Καὶ ταῦτα εἰπὼν,
ἀπέλυσε τὴν ἐκκλησίαν.

Δείκνυσι πολλὴν εἶναι τὴν δεισιδαιμονίαν τῶν Ἐφεσίων ὁ γραμματεὺς, ἔκπε τοῦ κοσμεῖν τὸν ναὸν τῆς Ἀρτέμιδος, καὶ τὸ εἴδωλον αὐτῆς τιμᾶν, ὅπερ καὶ *Διοπετὲς* ἔλεγον, ὡς ἐκ τοῦ Διὸς πεπτωκός. Ἤτοι γὰρ τὸ ὄστρακον ἔλεγον ἐκεῖνο πάντες Διοπετὲς, τὸ ἐξ οὐρανοῦ παρὰ τοῦ Διὸς πεμφθὲν, ἤτοι καταπτὰν, καὶ οὐ γενόμενον ὑπὸ ἀνθρώπου ἄγαλμα, ἤτοι τὸ Παλλάδιον, καθὼς ἐμύθευον οἱ Ἕλληνες, πρὸς κατάπληξιν τῶν ἀκεραιοτέρων, ὅπερ ἄνωθεν ἐκ τοῦ Διὸς διαπλασθῆναι ᾠοντο, καὶ οὐκ ἐξ ἀνθρώπων. Ἢ *Διοπετοῦς*, τοῦ ναοῦ τοῦ Διὸς, ἤτοι τοῦ στρογγυλοειδοῦς. Ἡ καὶ ἱερὸν ἕτερον οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς. *Νεωκόρον* δὲ, ἀντὶ τοῦ, ἱεροδουλόν φησι· *κόρημα* γάρ ἐστι τὸ σάρωμα, ἀφ' οὗ καὶ *νεωκόρος*, ὁ τὸν ναὸν κορῶν, ἤτοι σαρῶν. *Ἀγοραῖοι ἄγονται*, καὶ τὰ ἑξῆς.] Εἶδος ἦν δικαστῶν ἐν τῇ Ἀσίᾳ εὐτελῶν οἱ Ἀγοραῖοι, οἵ τινες ἐδίκαζον τοῖς πένησι καὶ ἀγοραίοις ἀνθρώποις· διὸ καὶ *Ἀγοραῖοι* ἐκαλοῦντο, ὥσπερ εἰσὶν ἔκδικοι κατὰ πόλεις τινάς. Οἱ δὲ Ἀνθύπατοι, τῆς τῶν πλουσίων ἢ τῶν ἐγκλημάτων δίκης ὑπήκουον. Λέγονται δὲ Ἀγοραῖοι καὶ οἱ δικολόγοι, παρὰ τὸ ἀγορεύειν λεχθέντες, ὅ ἐστι δημηγορεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περίοδος Παύλου· ἐν ᾧ τὰ περὶ θανάτου καὶ ἀνακλήσεως Εὐτύχου διὰ προσευχῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν Τρῳάδι· παραίνεσίς τε αὐτοῦ ποιμαντικὴ πρὸς τοὺς ἐν Ἐφέσῳ πρεσβυτέρους· ἔν ᾧ παράπλους Παύλου ἀπὸ Ἐφέσου ἄχρι Καισαρείας τῆς Παλαιστίνης.

ΚΕΦ. XX, 1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς, καὶ ἀσπασάμενος, ἐξῆλθε, πορευθῆναι εἰς τὴν Μακεδο-
2 νίαν. Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα·
3 ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων, μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μα-
4 κεδονίας. Συνεῖπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος, Βεροιαῖος· Θεσσαλονικέων δὲ, Ἀρίσταρχος, καὶ Σεκοῦνδος, καὶ Γάϊος, Δερβαῖος, καὶ Τι-
5 μόθεος· Ἀσιανοὶ δὲ, Τυχικὸς καὶ Τρόφιμος. Οὗ-
6 τοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι. Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέ-
7 ρας ἑπτά. Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων τῶν μαθητῶν τοῦ κλᾶσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον·
8 παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦσαν συν-
9 ηγμένοι. Καθήμενος δέ τις νεανίας, ὀνόματι Εὔτυχος, ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριστέγου
10 κάτω, καὶ ἤρθη νεκρός. Καταβὰς δὲ ὁ Παῦλος, ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν, εἶπε· Μὴ θορυ-
11 βεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον, καὶ γευσάμενος, ἐφ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν.
12 Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν
13 οὐ μετρίως. Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν. Ὡς δὲ συνέβαλεν
14 ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν, ἤλθομεν
15 εἰς Μιτυλήνην. Κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον· καὶ μείναντες ἐν Τρωγυλ-
16 λίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γὰρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

Γαΐου, *Δερβαίου*, καὶ *Τιμόθεου*.] Τῶν μὲν ἄλλων καὶ τὰς πατρίδας λέγει, ὅθεν ἦσαν, γνωριμωτέρους ἐντεῦθεν ποιῶν· ἐπὶ δὲ Τιμοθέῳ ἠρκέσθη μόνῳ τῷ ὀνόματι, ὅτι τε αὐτὸς ἐκ τῶν αὐταῦ τρόπων καὶ τῆς ἀρετῆς ἐξαρκοῦν εἶχε τὸ γνώρισμα, καὶ ὅτι καὶ πρὶν μνήμην αὐτοῦ τῆς πατρίδος ἐποιήσατο, ἐν οἷς ἔλεγε· «Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν· καὶ ἰδοὺ, μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος (α).» Εἰ δὲ καὶ τὸ *Δερβαῖος* νῦν ἐθνικόν ἐστι, καὶ μὴ κύριον, καὶ νῦν τάχα τῆς πατρίδος ἐμνημόνευσεν.

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετε-
18 καλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. Ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον
19 ἐγενόμην· δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων·

(α) Πραξ. ιϛ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

20 ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ
ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ
21 κατ' οἴκους· διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ
Ἕλλησι τὴν εἰς τὸν θεὸν μετάνοιαν, καὶ πίστιν
τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Επειδὴ λανθάνει τοὺς πολλοὺς ἡ συνήθεια, μάλιστα τῆς καινῆς Διαθήκης, τοὺς ἐπισκόπους πρεσβυτέρους ὀνομάζουσα, καὶ τοὺς πρεσβυτέρους ἐπισκόπους, σημειωτέον τοῦτο ἐντεῦθέν τε, καὶ ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς, ἔτι δὲ καὶ ἐκ τῆς πρὸς Φιλιππησίους, καὶ ἐκ τῆς πρὸς Τιμόθεον πρώτης. Ἀπὸ μὲν οὖν τῶν Πράξεων ἐντεῦθέν ἐστι πεισθῆναι περὶ τούτου. Γέγραπται γὰρ οὕτως· « Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας », καὶ οὐκ εἶρηκε τοὺς ἐπισκόπους. Εἶτα ἐπιφέρει· « Ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν. » Ἀπὸ δὲ τῆς πρὸς Τίτον ἐπιστολῆς· « Καταστήσεις κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην (α).» Ἀπὸ δὲ τῆς πρὸς Φιλιππησίους· « Τοῖς οὖσιν ἐν Φιλίπποις σὺν ἐπισκόποις καὶ διακόνοις (β).» Οἶμαι δὲ ὅτι καὶ ἐκ τῆς προτέρας πρὸς Τιμόθεον ἀναλογισάμενον τοῦτο ἐκλαβεῖν ἐστι. « Εἴ τις γάρ, φησιν, ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι (γ) ». Καὶ μετ' ὀλίγα· « Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα (δ) ». Κανὼν γάρ ἐστιν ἐκκλησίας, διαγράφων, ὁποῖον εἶναι δεῖ τὸν τοιοῦτον. *Μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων.*] Ἐνταῦθα χαρακτῆρα διδασκαλίας δείκνυσι, τὸ ἄφθονον, τὸ ἄοκνον, καὶ τὸ συμπαθές· ἔπασχε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων, ὑπὲρ τῶν ἀπολλύντων· καὶ τὸ ταπεινόν· καὶ οὐχ ἁπλῶς, ἀλλὰ *μετὰ πάσης*, φησί, *ταπεινοφροσύνης*· (πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης, ἐν λόγῳ, ἐν ἔργῳ, πρὸς ἄρ-

(α) Τιτ. Α', 5. (β) Φιλιπ. Α', 1. (γ) Α' Τιμ. Γ', 1. 2.
(δ) Α' Τιμ. Ε, 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χοντας, πρὸς ἀρχομένους·) καὶ τὸ τὰ *συμφέροντα* λέγειν· ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν. Ὥσπερ γὰρ τὸ τινὰ κρύπτεσθαι, φθόνου, οὕτω τὸ, τὸ πᾶν λέγειν αὐτοῖς, ἀνοίας. Καὶ διὰ τοῦτο προσέθηκε, *τῶν συμφερόντων*, δηλῶν, ὅτι οὐκ εἶπε μόνον, ἀλλὰ καὶ ἐδίδαξεν.

22 Καὶ νῦν ἰδοὺ, ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι
23 μὴ εἰδώς· πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι, λέγον, ὅτι δεσμά με καὶ θλίψεις
24 μένουσιν. Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι
25 τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ. Καὶ νῦν ἰδοὺ, ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασι-
26 λείαν τοῦ θεοῦ. Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάν-
27 των· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ.

Ἐνταῦθα εἰς τὸ, *δεδεμένος*, δεῖ ὑποστίξαι, ἵνα ᾖ ἡ διάνοια τοιαύτη· Πορεύομαι εἰς Ἱερουσαλὴμ, προγνοὺς διὰ τοῦ πνεύματος τὰ ἐσόμενα· πορεύομαι δὲ δέσμιος ὤν. Εἶτα, ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃ τις, καὶ ἵνα δείξῃ, ὅτι ἑκὼν ἀπέρχεται, φησὶν, ὅτι *Κατὰ πόλιν δεσμά με καὶ θλίψεις μένουσιν*. Ὅτι μὲν πειρασμοὶ, οἶδα· ὁποῖοι δὲ, οὐκ οἶδα, ὅπερ ἦν χαλεπώτερον.—*Καθαρὸς εἰμὶ, φησὶν, ἀπὸ τοῦ αἵματος πάντων*, εἰ νυστάξαντες ἀποθάνητε ἀπὸ τοῦ φονευτοῦ τῶν ψυχῶν. Τὸ γὰρ τοῦ διδασκάλου, φησὶ, πεποίηκα· *οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ*. Ἆρα ὁ μὴ λέγων, ὑπεύθυνος τοῦ αἵματός ἐστι, τουτέστι, τῆς σφαγῆς αὐτῶν. Δείκνυσι τοίνυν, ὅτι κἀκεῖνοι ἂν μὴ ποιῶσιν, ὑπεύθυνοί εἰσι τοῦ ἰδίου αἵματος. Διὸ καὶ φοβεῖ αὐτούς.

28 Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. 29 Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς 30 εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες, λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. 31 Διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν 32 ἕνα ἕκαστον. Καὶ τανῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι, καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.

Δύο προσάσσει ποιεῖν τοὺς διδασκάλους. Οὔτε γὰρ τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει κέρδος, οὔτε τὸ ἑαυτοῦ μόνου ἐπιμελεῖσθαι· ὁ γὰρ τοιοῦτος, φίλαυτος. Σημειωτέον δὲ ὅτι, οὓς ὀπίσω φησὶ *πρεσβυτέρους*, ὧδε *ἐπισκόπους* καλεῖ, ἤτοι διὰ τὸ καὶ τοὺς πρεσβυτέρους ἀνάγκην ἔχειν, ἐποπτεύειν τὰ τῆς ἐκκλησίας λογικὰ ποίμνια, μή τις ἀσθενῇ τῇ πίστει, μή τις πεινᾷ ἢ διψᾷ, ἢ ἐλέγχου καὶ ἐπιστροφῆς δεῖται· ἢ ἐπισκόπους ὧδε, τοὺς ὄντως ἐπισκόπους καλεῖ.

33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύ-
34 μησα. Αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.
35 Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε·
36 « Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. » Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν
37 αὐτοῖς προσηύξατο. Ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων· καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύ-
38 λου, κατεφίλουν αὐτόν· ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. Προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

Αργυρίου ἢ χρυσίου, καὶ τὰ ἑξῆς.] Τὴν ῥίζαν ἀναιρεῖ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κακῶν, τὴν φιλαργυρίαν. Οὐ γὰρ ἁπλῶς, φησὶν, οὐκ ἔλαβον, ἀλλ' οὐδὲ ἐπεθύμησα. Εἶτα δείκνυσιν, ὅτι ἡ ἀληθὴς ἐλεημοσύνη ἐκ τῶν ἰδίων κόπων ὀφείλει γίνεσθαι τοῖς ἐνδεέσιν· ἐπεὶ ἐκ τῶν ἀλλοτρίων διδόναι, οὐ καλόν. Εἶτα καὶ χρῆσιν εἰς κατασκευὴν τούτου διὰ φωνῆς τοῦ Κυρίου εἰρῆσθαι φησὶν, ὅπερ νῦν οὐχ εὕρηται ἐν τῇ Γραφῇ, καὶ ἴσως ἀγράφως παρέδωκαν οἱ ἀπόστολοι· ἢ ἐξ ὧν ἄν τις συλλογίσαιτο, δυνατὸν εἰρῆσθαι δι' ἑτέρων λέξεων, τοῦτο δηλουσῶν. Οὐ τοῦτο δέ φησιν, ὅτι κακὸν τὸ λαβεῖν καὶ μεταδιδόναι, ἀλλὰ βέλτιον τὸ μὴ λαβεῖν. Τοῦτο γὰρ συμπαθείας τῆς πρὸς τοὺς ἀσθενεῖς· τὸ γὰρ ἐκ τῶν ἀλλοτρίων διδόναι, οὐ καλόν. Ἔστι τοίνυν εἷς βαθμὸς, ῥίψαι τὰ αὐτοῦ· δεύτερος, ἑαυτῷ ἐπαρκεῖν· τρίτος, καὶ ἑτέροις· τέταρτος, τὸ καὶ κηρύττοντα καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν. Ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος βελτίων ἐστί.

ΚΕΦ. XXI, 1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν, τῇ δὲ ἑξῆς, εἰς τὴν Ῥόδον, κἀκεῖθεν 2 εἰς Πάταρα· καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς 3 Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γό- 4 μον. Καὶ ἀνευρόντες τοὺς μαθητὰς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος, μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ.

Καὶ εὑρόντες πλοῖον, καὶ τὰ ἑξῆς.] Ὃ λέγει τοιοῦτό ἐστι· Μὴ εὑρίσκοντες πλοῖον ἀπερχόμενον εἰς Καισάρειαν, ἀλλ' εἰς Φοινίκην, ἀνήλθομεν εἰς αὐτό· Κύπρον δὲ εἰάσαμεν· τὸ γὰρ «*καταλιπόντες αὐτὴν εὐώνυμον*» οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα δείξῃ, ὅτι οὐδὲ ἐγγὺς γενέσθαι ἠξίωσε, κατευθὺ πλέων τῆς Συρίας· οὕτως ἔσπευδεν. Ἦλθον οὖν εἰς Λυκίαν, καὶ τὴν Κύπρον ἀφέντες, εἰς Τύρον κατέπλευσαν· ἐκεῖσε γὰρ τὸ πλοῖον ἀπεφόρτιζε τὸν γόμον. *Οἵτινες ἔλεγον διὰ τοῦ πνεύματος.*]

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ τοῦτό φησιν, ὅτι τὴν παραίνεσιν διὰ τοῦ πνεύματος ἐποιοῦντο· ἀλλ' ὅτι διὰ τοῦ πνεύματος εἰδότες. Οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προὐλεγον, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρὴ, φειδόμενοι αὐτοῦ.

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως· καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσηυξάμεθα.
6 Καὶ ἀσπασάμενοι ἀλλήλους, ἐπέβημεν εἰς τὸ πλοῖον·
7 ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες, ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμεί-
8 ναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. Τῇ δὲ ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος
9 ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι.

Ἐξαρτίσαι τὰς ἡμέρας.] Τὸ, ἐξαρτίσαι, ἀντὶ τοῦ, πληρῶσαί, φησι. Μετὰ γὰρ τὸ πληρῶσαι τὰς τεταγμένας ἡμέρας ἐξῆλθον τῆς Τύρου. Ὅρα μοι λοιπὸν καὶ τὰς ἡμέρας. Μετὰ τὰ ἄζυμα, εἰς Τρῳάδα ἦλθον δι' ἡμερῶν πέντε. Εἶτα ἐκεῖ ἑπτά· τὰς πάσας δώδεκα· εἶτα εἰς τὴν Ἄσσον, εἰς Μιτυλήνην, ἀντικρὺ Χίου εἰς Τρωγύλλιον, εἰς Σάμον, καὶ εἰς Μίλητον· δεκαοκτὼ ἡμέραι αἱ πᾶσαι. Εἶτα εἰς Κῶν, εἰς Ῥόδον, εἰς Πάταρα, εἴκοσι καὶ μία. Εἶτα ἐκεῖθεν δι' ἡμερῶν πέντε εἰς Τύρον, ἓξ καὶ εἴκοσι. Λοιπὸν ἐκεῖ ἑπτὰ, τριάκοντα καὶ τρεῖς. Εἶτα εἰς Πτολεμαΐδα, μίαν, τριακοντατέσσαρες. Εἶτα εἰς Καισάρειαν πλείους μένει τῶν ἄλλων· καὶ τότε λοιπὸν ἐκεῖθεν αὐτοὺς ἀνάγει ὁ προφήτης. Οὕτως ἡ πεντηκοστὴ πληροῦται, καὶ ἐκεῖ αὐτὴν ποιεῖ. — Τοῦ διακόνου Φιλίππου ἦσαν αἱ θυγατέρες. Ὥστε οὖν καὶ τῷ κοινωνήσαντι γάμων διακονεῖν ἔξεστι. Σημείωσαι δὲ, ὅτι αἱ προφήτιδες αἱ θυγατέρες αὐτοῦ, παρθένοι ἦσαν, καὶ ὅτι ἤσκουν δι' εὐλάβειαν μᾶλλον τοῦτο, ὥστε καὶ προφη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τείας ἠξιῶσθαι. Ὥςε δῆλον, ὅτι περισπούδαστον ἦν καὶ αὐταῖς ἡ παρθενία· εἰ γὰρ μὴ ἦν περισπούδαστον, οὐκ ἂν προσέθηκεν ὁ συγγραφεὺς, ὅτι καὶ *παρθένοι* ἦσαν.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Ἀγάβου προφητεία περὶ τῶν συμβησομένων τῷ Παύλῳ ἐν Ἱερουσαλήμ.

10 Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κατῆλθέ τις
11 ἀπὸ τῆς Ἰουδαίας προφήτης, ὀνόματι Ἄγαβος· καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, εἶπε· Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα, οὗ ἐστὶν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας
12 ἐθνῶν. Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν
13 εἰς Ἱερουσαλήμ. Ἀπεκρίθη δὲ ὁ Παῦλος· Τί ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος
14 τοῦ Κυρίου Ἰησοῦ. Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω.

Ἄγαβος, ὁ πάλαι τὸν λιμὸν μηνύσας οὗτος (α). Τὸ χαλεπὸν δὲ, ὅτι εἰς χεῖρας ἐθνῶν παραδώσουσιν. Ὅρα δὲ ὅτι, ὅτε ἤκουσεν ὁ Παῦλος, ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται. Οὐκ εἶπε δὲ Ἄγαβος, ὅτι Παῦλον δήσουσιν, ἵνα μὴ δόξῃ ἐκ συνθήκης λέγειν· ἀλλὰ τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη.

(α) Πραξ. ΙΑ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Παραίνεσις Ἰακώβου πρὸς Παῦλον, περὶ τοῦ μὴ δοκεῖν κωλύειν Ἑβραίους περιτέμνεσθαι

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι ἀνεβαί-
16 νομεν εἰς Ἱερουσαλήμ. Συνῆλθον δὲ καὶ τῶν μαθητῶν
ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν,
17 Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ. Γενομέ-
νων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο
18 ἡμᾶς οἱ ἀδελφοί. Τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος
σὺν ἡμῖν πρὸς Ἰάκωβον· πάντες τε παρεγένοντο
19 οἱ πρεσβύτεροι. Καὶ ἀσπασάμενος αὐτοὺς, ἐξηγεῖ-
το καθ' ἓν ἕκαστον, ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς
20 ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. Οἱ δὲ ἀκούσαντες,
ἐδόξαζον τὸν Κύριον· εἶπόν τε αὐτῷ· Θεωρεῖς,
ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπι-
στευκότων· καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρ-
21 χουσι. Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν
διδάσκεις ἀπὸ Μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας
Ἰουδαίους, λέγων, μὴ περιτέμνειν αὐτοὺς τὰ τέ-
22 κνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. Τί οὖν ἐστί; πάν-
τως δεῖ πλῆθος συνελθεῖν· ἀκούσονται γὰρ, ὅτι ἐλή-
23 λυθας. Τοῦτο οὖν ποίησον, ὃ σοι λέγομεν· Εἰσὶν
ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν.
24 Τούτους παραλαβὼν, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ
δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφα-
λήν, καὶ γνῶσι πάντες, ὅτι ὧν κατήχηνται περὶ
σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νό-
25 μον φυλάσσων. Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν
ἡμεῖς ἐπεστείλαμεν, κρίναντες, μηδὲν τοιοῦτον τη-
ρεῖν αὐτοὺς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό,τε εἰ-
δωλόθυτον, καὶ τὸ αἷμα, καὶ πνικτὸν, καὶ πορνείαν.

Ἐπισκευασάμενοι.] Τουτέστι τὰ πρὸς ὁδοιπορίαν λαβόντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες.] Συμβουλεύουσιν, οὐκ ἐπιτάττουσι τούτῳ οἱ περὶ τὸν Ἰάκωβον· ὅθεν καὶ πείθουσι. *Τούτους παραλαβὼν, ἁγνίσθητι.*] Οἰκονομίας ἦν ἡ συγκατάβασις, οὐ νομοθεσίας. Οὐκ ἄρα ἐγκαπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ἀλλ' οἰκονομία. Οἱ γὰρ ἐν Ἱεροσολύμοις πιστεύσαντες ἀπὸ Ἰουδαίων, τὰ ἔθη τὰ νομικὰ ἤθελον ἔτι φυλάττειν. Ἔργῳ οὖν τὴν ἀπολογίαν ποιῆσαι αὐτῷ συμβουλεύουσιν, οὐ λόγῳ. Τοῦτο οὖν φασί· Τὰς προσφερομένας ὑπὲρ αὐτῶν κατὰ τὸν νόμον θυσίας, σὺ πάρασχε, ἵνα λύσῃς τὴν ὑποψίαν, καὶ δείξῃς, ὅτι οὐ μόνον οὐ διδάσκεις ἔξω τοῦ νόμου, ἀλλ' ὅτι καὶ αὐτὸς φυλάττεις τὰ ἐν τῷ νόμῳ. Ἵνα δὲ μὴ λέγῃ ὅτι· Ἂν τὰ ἔθνη τοῦτο μάθωσι, σκανδαλισθήσονται· ἐπάγει λοιπόν· *Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες, μηδὲν τοιοῦτον τηρεῖν αὐτούς.* Ὥσπερ οὖν ἡμεῖς ἐκείνοις ἐπετάξαμεν, καίτοι Ἰουδαίοις κηρύττοντες, οὕτω καὶ σὺ τοῖς ἔθνεσι κήρυττων, σύμπραξον ἡμῖν. Συγκατάβασις τοῦτό ἐστι· μηδὲν ὑποπτεύσῃς. Καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν, φορητόν· ποίησον οὖν τοῦτο ἐνταῦθα, ἵνα ἐξῇ σοι ἔξω ποιεῖν ἐκεῖνο. Εἶτα ἐπείσθη αὐταῖς, καὶ ἐξυρᾶτο, καὶ πάντα τὰ Ἰουδαϊκὰ ἐπετέλεσεν.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῆς ἐν Ἱερουσαλὴμ κατὰ τοῦ Παύλου κινηθείσης ἀταξίας· ὅπως τε αὐτὸν ὁ χιλίαρχος τοῦ πλήθους ἐξαιρεῖται· ἐν ᾧ Παύλου κατάστασις περὶ ἑαυτοῦ καὶ τῆς εἰς ἀποστολὴν αὐτοῦ κλήσεως. Περὶ ὧν ὁ Ἀνανίας εἶπε πρὸς τὸν Παῦλον ἐν Δα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μασκῷ, ὀπτασίας τε καὶ φωνῆς θεοῦ, γενομένης ποτὲ πρὸς αὐτὸν ἐν τῷ ἱερῷ. Ὅτι μέλλων ἐπὶ τούτοις ὁ Παῦλος τύπτεσθαι, εἰπὼν, ὅτι Ῥωμαῖός ἐστιν, ἀνέθη.

26 Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου
27 αὐτῶν ἡ προσφορά. Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον,
28 καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν, κράζοντες· Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κεκοί-
29 νωκε τὸν ἅγιον τόπον τοῦτον. (Ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.)
30 Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ· καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.
31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι ὅλη συγκέχυται Ἱερου-
32 σαλήμ· ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς. Οἱ δὲ, ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο
33 τύπτοντες τὸν Παῦλον. Τότε ἐγγίσας ὁ χιλίαρχος, ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο, τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς.
34 Ἄλλοι δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ. Μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

35 λευσεν, ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου· 36 ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζον· Αἶρε 37 αὐτόν. Μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ· Εἰ ἔξεστί μοι εἰ- 38 πεῖν τι πρὸς σέ; Ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις; Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;

Αἶρε αὐτόν.] Ἔθος τοῖς Ἰουδαίοις, ταύτην λέγειν τὴν φωνὴν καθ' ὧν ἂν ἀπεφαίνοντο, ὡς καὶ κατὰ τοῦ Κυρίου (α). *Αἶρε αὐτὸν*, ἀντὶ τοῦ, Ἔπαρον αὐτὸν ἐκ τῶν ζώντων. Ἄλλοι δὲ τοῦτο φασὶ εἶναι ὃ παρ' ἡμῖν λέγουσι κατὰ τὴν Ῥωμαϊκὴν συνήθειαν· Ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε. *Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος.*] Οὗτος ὁ Αἰγύπτιος, ἄνθρωπός τις ἦν νεωτεροποιός, καὶ στασιαστὴς, καὶ ἀπατεὼν, καὶ γόης (1). Καὶ θέλων ὁ διάβολος, κοινωνὸν ποιεῖν Παῦλον τῶν ἐκείνῳ προσηκόντων ἐγκλημάτων, ὥσπερ καὶ ἐπὶ τοῦ Χριστοῦ κατὰ τὸν καιρὸν ἐκεῖνον, διήγειρεν αὐτὸν τερατεύεσθαι ἐν τοῖς Ἰουδαίοις. Ἐπειδὴ δέ φησιν ὁ χιλίαρχος, *Σὺ εἶ ὁ Αἰγύπτιος*; εὐθέως αὐτὸν ταύτης ἀπήγαγε τῆς ὑποψίας, καὶ τὸ ἔθνος εἰπὼν, καὶ τὴν θρησκείαν. Καὶ γὰρ ἀλλαχοῦ ἔννομον ἑαυτὸν τῷ Χριστῷ καλεῖ (β). *Σικάριοι* δὲ λέγονται λῃσταὶ, ξιφιδίοις χρώμενοι, παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ ὁμοίοις ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις *σίκαις*, ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον (2). Ἄλλοι δὲ αἱρέσίν τινα παρὰ Ἰουδαίοις ἔφασαν εἶναι. Τρεῖς γάρ εἰσιν αἱρέσεις γενικαὶ παρὰ Ἰουδαίοις, Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Ἐσσηνοί. Οὗτοι δὲ τὸν βίον σεμνότερον ἀσκοῦσι, φιλάλληλοι ὄντες καὶ

(α) Ἰωαν. ΙΘ', 15. (1) Ἴδε περὶ τοῦ γόητος Αἰγυπτίου τούτου Ἰωσηπ. Ἰουδ. ἀρχ. Κ', Ἡ, §. ς'. καὶ Περὶ τοῦ Ἰουδ. πολέμου Βιβλ. Β'. Κεφ. ΙΓ'. §. έ.
(β) Λ' Κορ. Θ', 21. (2) Ἰδ. Ἰωσηπ. Ἰουδ. ἀρχ. Κ', Ἡ. §. ς'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγκρατεῖς· διὸ καὶ Ἐσσηνοὶ προσαγορεύονται, ἤγουν Ὅσιοι. Ἄλλοι δὲ αὐτοὺς Σικαρίους ἐκάλεσαν, ἤγουν, ζηλωτάς.

39 Εἶπε δὲ ὁ Παῦλος· Ἐγὼ ἄνθρωπος μέν εἰμὶ Ἰουδαῖος, Ταρσεὺς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι, λαλῆσαι
40 πρὸς τὸν λαόν. Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος, ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων·

ΚΕΦ. XXII, 1 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκού-
2 σατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. (Ἀκούσαντες δὲ, ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει
3 αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν· καί φησιν·) Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ, παρὰ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστὲ σήμερον·
4 ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδράς τε καὶ γυναῖ-
5 κας, ὡς καὶ ὁ ἀρχιερεύς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον· παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας, δεδεμένους εἰς
6 Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν. Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ, περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι
7 φῶς ἱκανὸν περὶ ἐμέ· ἔπεσόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ, Σαοὺλ,
8 τί με διώκεις; Ἐγὼ δὲ ἀπεκρίθην· Τίς εἶ, Κύριε; Εἶπέ τε πρός με· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος,
9 ὃν σὺ διώκεις. Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν
10 οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. Εἶπον δέ· Τί ποιήσω, Κύριε; Ὁ δὲ Κύριος εἶπε πρός με· Ἀναστὰς πορεύου εἰς Δαμασκὸν· κἀκεῖ σοι λαληθήσε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

11 ται περὶ πάντων, ὧν τέτακταί σοι ποιῆσαι. Ὡς δὲ
οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου,
χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς
12 Δαμασκόν. Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς κατὰ τὸν
νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούν-
13 των Ἰουδαίων, ἐλθὼν πρός με, καὶ ἐπιστὰς, εἶπέ μοι·
Σαοὺλ, ἀδελφὲ, ἀνάβλεψον. Κἀγὼ αὐτῇ τῇ ὥρᾳ
14 ἀνέβλεψα εἰς αὐτόν. Ὁ δὲ εἶπεν· Ὁ θεὸς τῶν πα-
τέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα
αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν
15 ἐκ τοῦ στόματος αὐτοῦ· ὅτι ἔσῃ μάρτυς αὐτῷ
πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκου-
16 σας. Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ
ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ
17 ὄνομα τοῦ Κυρίου. Ἐγένετο δέ μοι ὑποστρέψαντι
εἰς Ἱερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ
18 ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν αὐτὸν
λέγοντά μοι· Σπεῦσον, καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱε-
ρουσαλὴμ· διότι οὐ παραδέξονταί σου τὴν μαρτυ-
19 ρίαν περὶ ἐμοῦ. Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστα-
νται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς
20 συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· καὶ ὅτε ἐξ-
εχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ
αὐτὸς ἤμην ἑφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει
αὐτοῦ, καὶ φυλλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων
21 αὐτόν. Καὶ εἶπε πρός με· Πορεύου· ὅτι ἐγὼ εἰς
ἔθνη μακρὰν ἐξαποστελῶ σε. . . .
22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν
τὴν φωνὴν αὐτῶν, λέγοντες· Αἶρε ἀπὸ τῆς γῆς τὸν
23 τοιοῦτον· οὐ γὰρ καθῆκεν, αὐτὸν ζῆν. Κραυγαζόντων
δὲ αὐτῶν, καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν
24 βαλλόντων εἰς τὸν ἀέρα, ἐκέλευσεν αὐτὸν ὁ χιλίαρ-
χος ἄγεσθαι εἰς τὴν παρεμβολὴν, εἰπὼν, μάστιξιν ἀνε-
τάζεσθαι αὐτόν· ἵνα ἐπιγνῷ, δι' ἣν αἰτίαν οὕτως ἐπε-
25 φώνουν αὐτῷ. Ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶ-
σιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦ-
λος· Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 στιν ὑμῖν μαστίζειν; Ἀκούσας δὲ ὁ ἑκατόνταρχος,
προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὅρα,
τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖ-
27 ός ἐστι. Προσελθὼν δὲ ὁ χιλίαρχος, εἶπεν αὐτῷ·
Λέγε μοι, σὺ Ῥωμαῖος εἶ; Ὁ δὲ ἔφη· Ναί.
28 Ἀπεκρίθη τε ὁ χιλίαρχος· Ἐγὼ πολλοῦ κεφαλαίου
τὴν πολιτείαν ταύτην ἐκτησάμην. Ὁ δὲ Παῦλος ἔφη·
29 Ἐγὼ δὲ καὶ γεγέννημαι. Εὐθέως οὖν ἀπέστησαν ἀπ'
αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. Καὶ ὁ χιλιάρ-
χος δὲ ἐφοβήθη, ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ
ὅτι ἦν αὐτὸν δεδεκώς.

Πῶς φησὶν ὁ Παῦλος· *Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, Ταρσεὺς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης*· καὶ μετὰ μικρόν· *Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον*, καὶ τὰ ἑξῆς; Πῶς οὖν ταῦτα εἰπὼν, οὐδὲ ἐν ἑτέρῳ καιρῷ, ἀλλ' ἐν αὐτῷ τούτῳ, ἐν ᾧ ταῦτα ἔλεγε, καὶ πρὸς τοὺς αὐτοὺς ἀκροατὰς φησιν· *Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν*; Καὶ τοῦ χιλιάρχου πυνθανομένου, *Σὺ Ῥωμαῖος εἶ*, διεβεβαιοῦτο, ὅτι Ῥωμαῖος ἦν· καὶ οὐχ ἁπλῶς τοῦτο λέγων, ἀλλὰ καί φησιν ὅτι, *Ἐγὼ καὶ γεγέννημαι*; Ἐξ αὐτοῦ τούτου μάλιστα δῆλον, ὅτι ἠλήθευεν. Εἰ γὰρ ἐν ἄλλῳ μὲν καιρῷ ἔλεγεν ἑαυτὸν Ταρσέα, ἐν ἄλλῳ δὲ Ῥωμαῖον, ἢ πρὸς ἄλλους μὲν ἀκροατὰς ἐκεῖνο, πρὸς ἄλλους δὲ τοῦτο, εἰκὸς ἦν, λέγειν τινὰς, ὅτι τὸ, *Ῥωμαῖος*, ἴσως ἐπλάττετο, λανθάνειν νομίζων τοὺς παρόντας, ὅτι ἐστὶ Ταρσεύς. Ὁ δὲ αὐτὸς ἑαυτὸν Ταρσέα εἰπὼν, εἰ μὴ τὰ μάλιστα ἑαυτῷ ἀληθεύοντι συνήδει, οὐκ ἂν ἐθάρσησεν εἰπὼν πρὸς τοὺς αὐτοὺς, ὅτι Ῥωμαῖός ἐσι, καὶ τότε τύπτεσθαι μέλλων. Δῆλον γὰρ ὡς τὸ ψεύδεσθαι αὐτὸν, οὐ μόνον οὐκ ἀπήλλαττε τῶν πληγῶν, ἀλλὰ καὶ σφοδροτέραν τὴν τιμωρίαν ἐποίει· ἐποίει δὲ πιστὰς καὶ τὰς κατ' αὐτοῦ διαβολὰς τῶν Ἰουδαίων, ὅτι ἀπατεών ἐστι, καὶ ψεύστης, καὶ γόης, ἃ πάντων μάλιστα Παῦλος ἠγωνίζετο ἀποσκευάζειν. Ἄλλως τε καὶ ὁ χιλίαρχος, εἰ μὴ ἐβεβαιώθη, ὅτι Ῥωμαῖός ἐσιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἄν ἀπέστη τοῦ τύπτειν, οὐκ ἂν ἐξεῖλε σπουδαίως, ὑπὸ τῶν Ἰουδαίων ἐπιβουλευόμενον, οὐκ ἂν ἔγραφεν ὑπὲρ αὐτοῦ πρὸς Φήλικα, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ὡς Ῥωμαῖον τῆς τῶν Ἰουδαίων ἐπιβουλῆς ἐξήρπασεν, οὐκ ἂν παρέδραμον αὐτὸν οἱ Ἰουδαῖοι, οἱ καὶ τὰς μὴ οὔσας αἰτίας κατ' αὐτοῦ ἀναπλάττοντες: ἀλλ' ἐξ αὐτοῦ τούτου, εἴπερ ἐψεύδετο, λέγων ἑαυτὸν Ῥωμαῖον, ἀρξάμενοι τῆς διαβολῆς, καὶ περὶ τῶν ἄλλων ἔδοξαν ἂν τ' ἀληθῆ λέγειν. Ἀλλὰ πῶς ἔνι καί Ταρσέα καὶ Ῥωμαῖον εἶναι; Ἄκουσον γοῦν τοὺς Φιλιππησίους, ὅτε Παῦλον καὶ Σίλαν εἵλκυσαν ἐπὶ τοὺς ἄρχοντας εἰς τὴν ἀγοράν, ἐπεὶ τοῦ Πύθωνος ἡ παιδίσκη ἀπήλλακτο, τί φασιν· «Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεσιν ὑμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν (α)». Ὁρᾷς τοὺς Φιλιππησίους Ῥωμαίους ἑαυτοὺς ἀποκαλοῦντας; Οὕτως οὖν οὐδὲν κωλύει καὶ Παῦλον, Ταρσέα καὶ Ῥωμαῖον εἶναι. Καὶ γὰρ ἐπεὶ τίμιον ἐδόκει, τὸ καλεῖσθαι Ῥωμαῖον, καὶ περισσότερόν τι τῶν ἄλλων εἰς λόγον δόξης ἐνομίζετο κτᾶσθαι ὁ ταύτῃ καλούμενος τῇ ὀνομασίᾳ, πολλοὶ καὶ κατὰ πόλεις ἅμα, καὶ κατ' ἄνδρα ἔνιοι, ἐσπούδαζον ταύτην ἑαυτοῖς τὴν ὀνομασίαν περιποιήσασθαι. Καὶ ἀπὸ μὲν τῆς πατρίδος ἕκαστος ὠνομάζετο, ὅπερ ἔτυχε, τὴν ἐνεγκαμένην δηλῶν· Ῥωμαῖος δὲ πάλιν ἐκαλεῖτο, ὡς ἀξιώματι ταύτην ἐπιγραφόμενος τὴν ὀνομασίαν. Οὕτω γοῦν καὶ ὁ Παῦλος, ἡνίκα αὐτὸν ἔμελλον ἀτιμάζειν καὶ τύπτειν, ταύτην προεκομίζετο τὴν προσηγορίαν, δεδιττόμενος καὶ ἀνακόπτειν αὐτοὺς τοῦ τολμήματος ἐπιχειρῶν. Ἀλλὰ φασίν· Ἔστω ταῦτα· πῶς δὲ ἐγχωρεῖ καὶ ἐν Ταρσῷ γεγεννῆσθαι Παῦλον καὶ ἐν Ῥώμῃ; Ἐν Ταρσῷ μὲν γὰρ γεγεννῆσθαι καὶ Ῥωμαῖον καλεῖσθαι, ταύτην ἑαυτῷ διὰ τιμήν τινα τῆν ὀνομασίαν ἐπικτησάμενον, ἐδείχθη μηδὲν ἀδύνατον ὄν· γεγεννῆσθαι δὲ καὶ ἐν Ταρσῷ καὶ ἐν Ῥώμῃ,

(α) Πράξ. ιϛ', 20. 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῶς οἷόν τέ ἐστι; Καὶ ποῦ φησὶ Παῦλος, ὅτι ἐν Ῥώμῃ γεγέννηται; Ναί, φησιν· ἐπειδὴ γὰρ ὁ χιλίαρχος εἶπεν· « Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην », ὁ Παῦλός φησιν· « Ἐγὼ δὲ καὶ γεγέννημαι ». Καὶ τί τοῦτο; Οὐ γὰρ εἶπεν, Ἐν τῇ Ῥώμῃ γεγέννημαι. Ἀλλὰ τί φησιν; Αὐτόθεν δῆλον. Εἰπόντος γὰρ, *πολιτείαν*, τοῦ χιλιάρχου, οὐχὶ δὲ Ῥώμην, ἀλλὰ Ῥωμαϊκὴν πολιτείαν, ἐπήγαγεν, « Ἐγὼ δὲ καὶ γεγέννημαι », οὐκ ἐν τῇ Ῥώμῃ· (οὐ γὰρ τοῦτο εἶπεν ὁ χιλίαρχος, ὅτι *πολλοῦ κεφαλαίου ἐκτησάμην*·) ἀλλ' ἐν τῇ Ῥωμαϊκῇ πολιτείᾳ καὶ τιμῇ, ὥσπερ καὶ κτήσασθαι ἔλεγε. Πῶς οὖν ἐγεννήθη ἐν τῇ Ῥωμαϊκῇ πολιτείᾳ, εἰ μὴ ἐν Ῥώμῃ ἐγεννήθη; Ὅτι κτησαμένου τοῦ πατρὸς αὐτοῦ τὴν τιμὴν ταύτην, καὶ ταύτῃ σεμνυνομένου καὶ περιδόξου ὄντος, αὐτὸς ἐγεννήθη αὐτῷ. Τὸ οὖν, « *Ἐγὼ δὲ καὶ γεγέννημαι* », φησὶν, ὅτι Αὐτὸς μὲν πρόσφατον ἔχεις τὴν τιμὴν, αὐτὸς αὐτὴν κτησάμενος· ἐγὼ δὲ πατρικὴν φέρω τὴν δόξαν καὶ συναποτεχθεῖσάν μοι. Διὰ τοῦτό φησιν, *Ἐγὼ δὲ καὶ γεγέννημαι.*

Καὶ ἄλλως. Οὐκ ἐψεύσατο ὁ Παῦλος Ῥωμαῖον ἑαυτὸν καλέσας, καίτοι Ἰουδαῖος ὑπάρχων, ὡς καὶ αὐτὸς πρὸ ὀλίγου ἔφη. Ἀπὸ γὰρ Ἀδριανοῦ συνέβη πάντας εἶναι Ῥωμαίους. Μεγάλην γὰρ εἶχον τότε πρόνοιαν οἱ οὕτως ἀξιούμενοι καλεῖσθαι. Ταῦτα δέ φησιν, ἵνα μὴ μαστιχθεὶς εὐκαταφρόνητος γένηται. Εἰ γὰρ ἐμάστιξαν, καὶ παρέτρεψαν ἂν τὸ πρᾶγμα, καὶ ἀπέκτειναν ἂν αὐτόν. Νῦν δέ, εἰ καὶ μὴ δι' ἕτερον, ἀλλά γε διὰ τοῦτο, οὐ μόνον οὐκ ἐμάστιξαν, ἀλλὰ καὶ ἀπέλυσαν. *Ὁ δὲ Παῦλος ἔφη· Ἐγὼ δὲ καὶ γεγέννημαι.*] Δείκνυσιν οὖν ὁ Παῦλος, ὅτι καὶ ὁ πατὴρ αὐτοῦ Ῥωμαῖος ἦν. Πρὸ γὰρ τοῦ γεννηθῆναι τὸν Παῦλον, γεγενημένης τῆς Κιλικίας ὑπὸ Ῥωμαίοις, ἀνάγκη καὶ αὐτὸν, ὡς ὄντα ὑπ' αὐτοὺς, Ῥωμαῖον εἶναι. Τέως δὲ κατὰ τὴν προφητείαν ἐδεσμεύθη ἐν Ἱερουσαλὴμ, καὶ ὁ λόγος ἐξέβη. Τί οὖν ἀπὸ τούτου γίνεται; Λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ἰουδαίους. Οὐκ ἄρα ψεῦδος ἦν, ὅτι Ῥωμαῖος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἦν. Ἐφοβήθη γάρ, φησιν, ὁ χιλίαρχος, ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, τουτέστιν ἀξιωματικοῦ γένους.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Ὅσα ὁ Παῦλος καταβὰς εἰς τὸ συνέδριον ἔπαθέ τε καὶ εἶπε, καὶ εὐθυβόλως ἔπραξεν.

30 Τῇ δὲ ἐπαύριον, βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ἐκέλευσεν, ἐλθεῖν τοὺς ἀρχιερεῖς, καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

ΚΕΦ. XXIII, 1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ, εἶπεν· Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ
2 πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης τῆς ἡμέρας... Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ,
3 τύπτειν αὐτοῦ τὸ στόμα. Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· Τύπτειν σε μέλλει ὁ θεὸς, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον,
4 καὶ παρανομῶν κελεύεις με τύπτεσθαι; Οἱ δὲ παρεστῶτες εἶπον· Τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς;
5 Ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· « Ἄρχοντα τοῦ λαοῦ σοῦ οὐκ ἐρεῖς κακῶς (α).»

Τύπτειν σε μέλλει ὁ θεὸς, τοῖχε κεκονιαμένε.] Ἄξιον ζητῆσαι, πῶς ὁ αὐτὸς ἀλλαχοῦ εἰπών· « Λοιδορούμενοι εὐλογοῦμεν· βλασφημούμενοι παρακαλοῦμεν (β)· » ἐνταῦθα τοὐναντίον, οὐ μόνον λοιδορεῖ, ἀλλὰ καὶ ἐπαρᾶται; Καὶ φαμὲν, ὅτι ταῦτα τὰ ῥήματα παῤῥησίας μᾶλλον ἐστὶν ἢ θυμοῦ. Οὐ γὰρ ἐβούλετο, εὐ-

(α) Ἐξοδ. ΚΒ', 28. (β) Α' Κορ. Δ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταφρόνητος φανῆναι τῷ χιλιάρχῳ. Εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι, ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα· τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκεῖνον θρασύτερον εἰργάσατο. Τοῦτο δὲ οὐχ, ὡς φασί τινες, πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα· διὸ καὶ ἀπολογεῖται εὐθέως. Εἰδὼς γὰρ, ὅτι δεῖ καὶ θυμὸν δίκαιον περιστέλλειν, καὶ ἀγανάκτησιν δικαίαν καλύπτειν, ὥσπερ μεταμεληθεὶς, λέγει· *Οὐκ ᾔδειν, ὅτι ἐστὶν ἀρχιερεύς*, καίτοι εἰδώς· ἔλεγε γάρ· *Καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον*· ἀλλὰ προσποιεῖται ἄγνοιαν, οὐ βλάπτουσαν, ἀλλ' οἰκονομοῦσαν. Ἔστι γὰρ καὶ μεταχειρισμῷ χρήσασθαι ἰσχυροτέρῳ παῤῥησίας. Πολλάκις μὲν γὰρ παῤῥησία ἄκαιρος ἔβλαψε τὴν ἀλήθειαν· μεταχειρισμὸς δὲ εὔκαιρος κατώρθωσε τὸ προκείμενον. *Οὐκ ᾔδειν, ἀδελφοί*, καὶ τὰ ἑξῆς.] Τινές φασιν, μὴ εἰδέναι αὐτὸν, ὅτι ἐστὶν ἀρχιερεὺς, διὰ μακροῦ μὲν ἐπανελθόντα χρόνου, μὴ συγγενόμενον δὲ Ἰουδαίοις, ὁρῶντα δὲ αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων· οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεὺς, πολλῶν ὄντων καὶ διαφόρων· διὸ ὡς μὴ εἰδὼς, εὐλόγως ἀπολογεῖται, ὡς κατηγορίας οὔσης, καὶ ἐπάγει· «Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς» (1).

6 Γνοὺς δὲ ὁ Παῦλος, ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον, Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· Ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι,

(1) Ὁ Χρυσόστομος λέγει, ὅτι ὁ Παῦλος ἠγνόει τῷόντι, ὅτι ὁ Ἀνανίας ἦτον ἀρχιερεὺς κατ' ἐκεῖνον τὸν καιρόν. Ἰδοὺ τὰ ῥήματα αὐτοῦ: « Τινὲς μὲν οὖν φασιν, ὅτι εἰδὼς εἰρωνεύεται· ἐμοὶ δὲ δοκεῖ, ὅτι οὐδὲ ὅλως ᾔδει, ὅτι ἔστιν ἀρχιερεύς· ἡ γὰρ ἂν, καὶ ἐτίμησε· διὸ καὶ ἀπολογεῖται, ὡς κατηγορίας οὔσης· καὶ ἐπάγει· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. ——— Καὶ σφόδρα πείθομαι, μὴ εἰδέναι αὐτὸν, ὅτι ἀρχιερεύς ἐστι· διὰ μακροῦ μὲν ἐπανελθόντα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις· ὁρῶντα δὲ καὶ ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων· οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεὺς, πολλῶν ὄντων καὶ διαφόρων——— Οὐκ ᾔδειν, φησὶν, ὅτι ἀρχιερεύς ἐστιν. Ἆρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν. Εἰ γὰρ μὴ τοῦτο ἦν, κἂν λαβὼν αὐτὸν ἀπῆλθε, καὶ οὐκ ἐσίγησε, κἂν ἐξέδωκεν αὐτοῖς αὐτὸν ὁ χιλίαρχος. ——— Οὐκ ᾔδειν, ὅτι ἀρχιερεύς ἐστί, φησὶ, τοῦ θεοῦ· τοῦτο εἶπε, καὶ οὐκ ἔστιν· ἀλλὰ δεικνὺς, ὅτι οὐκ εἰρωνεύεται, ἐπάγει· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.» Τομ. Θ'. Σελ. 360. A. D. Σελ. 361. C. E

Δημόσια Κοινωφελής Βιβλιοθήκη Βέροιας

υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νε-
7 κρῶν ἐγὼ κρίνομαι. Τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων· καὶ ἐσχίσθη τὸ πλῆθος.

Πάλιν ἀνθρωπίνως διαλέγεται, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει· ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν, ὃ δὴ καὶ ποιεῖ. Καὶ ἐν τούτῳ καὶ μετὰ ταῦτα ἀπολογεῖται· βουλόμενος σχίσαι τὸ πλῆθος, τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. Καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα· Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων.

8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι, μὴ εἶναι ἀνάστασιν,
μηδὲ ἄγγελον, μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμο-
9 λογοῦσι τὰ ἀμφότερα. Ἐγένετο δὲ κραυγὴ μεγάλη· καὶ ἀναστάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο, λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ.

Σαδδουκαῖοι, παχεῖς τινὲς ὄντες, τάχα οὐδὲ τὸν θεὸν ἴσασιν· ὅθεν οὐδὲ ἀνάστασιν βούλονται πιστεύειν εἶναι. *Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.*] Καὶ μὴν τρία ἐσί· πῶς οὖν λέγει, *ἀμφότερα*; Ἢ ὅτι πνεῦμα καὶ ἄγγελον ἓν φησιν εἶναι, ἢ ὅτι ἡ λέξις οὐ μόνον περὶ δύο λέγει, ὅπερ κυρίως δηλοῖ τὸ, *ἀμφότερα*· ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. Ὥστε οὖν οὐ δεῖ ἐκ τῆς ἔξωθεν ἀκριβολέκτου κυριότητος κρίνειν τὰς τῶν ἁπλῶν καὶ ἀγραμμάτων ἀλιέων συγγραφάς.

9 Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος, μὴ θεο-
10 μαχῶμεν. Πολλῆς δὲ γενομένης στάσεως, εὐλαβηθεὶς ὁ χιλίαρχος, μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβο-
11 λήν. Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλὴμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι,

Εἰ *δὲ πνεῦμα ἐλάλησεν αὐτῷ.*] Διχῶς ἐστι νοῆσαι τὸ εἰρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένον. Ἢ γὰρ λείπει τι αὐτῷ πρὸς ἀναπλήρωσιν τοῦ νοήματος, ἵνα ᾖ οὕτως· Εἰ δὲ πνεῦμα ἢ ἄγγελος ἐλάλησεν αὐτῷ, ἄδηλον. Ἢ ὡς ἀπὸ τῶν Φαρισαίων τὸ ῥῆμα λεκτέον· *Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος·* ἀντὶ τοῦ, Ἰδού, τὰ περὶ ἀναστάσεως λαλῶν, δῆλός ἐστιν, ἢ διὰ Πνεύματος ἁγίου, ἢ δι' ἀγγέλου κατηχηθεὶς τὸν τῆς ἀναστάσεως λόγον (1).

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ ἐπιβουλῆς μελετωμένης ὑπὸ Ἰουδαίων κατὰ Παύλου, καὶ μηνύσεως αὐτῆς πρὸς Λυσίαν· ἐν ᾧ, ὅτι παρεπέμφθη ὁ Παῦλος τῷ ἡγεμόνι εἰς Καισάρειαν μετὰ στρατιωτῶν καὶ γραμμάτων.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς, λέγοντες, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι
13 τὸν Παῦλον· ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ
14 ταύτην τὴν συνωμοσίαν πεποιηκότες· οἵτινες, προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς, μηδενὸς
15 γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον. Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ, ὅπως αὔριον καταγάγῃ αὐτὸν πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ, πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί
16 ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὴν ἐνέδραν, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ.
17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· Τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς

(1) Ἐκ τῆς ἑρμηνείας ταύτης δῆλον γίνεται, ὅτι τὸ, θεομαχῶμεν, ἦτον ἄγνωστον εἰς τὸν συγγραφέα· ἀλλ' ἔχει καὶ ἑρμηνεύει αὐτὸ καὶ ὁ Χρυσόστομος Τομ. Θ'. Σελ. 963. Α.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. Ὁ
μὲν οὖν, παραλαβὼν αὐτὸν, ἤγαγε πρὸς τὸν χιλίαρ-
χον, καί φησιν· Ὁ δέσμιος Παῦλος, προσκαλεσά-
μενός με, ἠρώτησε, τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς
19 σέ, ἔχοντά τι λαλῆσαί σοι. Ἐπιλαβόμενος δὲ τῆς
χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ'
ἰδίαν, ἐπυνθάνετο· Τί ἐστιν, ὃ ἔχεις ἀπαγγεῖλαί
20 μοι; Εἶπε δέ· Ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρω-
τῆσαί σε, ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς
τὸν Παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυν-
21 θάνεσθαι περὶ αὐτοῦ. Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς·
ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους
τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς, μήτε
φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ
νῦν ἕτοιμοί εἰσι, προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγ-
22 γελίαν. Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν,
παραγγείλας, μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἐνεφά-
23 νισας πρός με. Καὶ προσκαλεσάμενος δύο τινὰς
τῶν ἑκατοντάρχων, εἶπεν· Ἑτοιμάσατε στρατιώτας
διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ
ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους,
24 ἀπὸ τρίτης ὥρας τῆς νυκτός· κτήνη τε παρασῆσαι,
ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φή-
25 λικα τὸν ἡγεμόνα· γράψας ἐπιστολὴν περιέχουσαν
26 τὸν τύπον τοῦτον· « Κλαύδιος Λυσίας τῷ κρατίστῳ
27 ἡγεμόνι Φήλικι, χαίρειν. Τὸν ἄνδρα τοῦτον, συλλη-
φθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖ-
σθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξει-
28 λόμην αὐτὸν, μαθὼν, ὅτι Ῥωμαῖός ἐστι. Βουλό-
μενος δὲ γνῶναι τὴν αἰτίαν, δι' ἣν ἐνεκάλουν αὐτῷ,
29 κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν· ὃν εὗρον
ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν,
μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα.
30 Μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν
ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς
σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ
31 πρὸς αὐτὸν ἐπὶ σοῦ. Ἔρρωσο. » Οἱ μὲν οὖν στρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τιῶται, κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντι-
32 πατρίδα. Τῇ δὲ ἐπαύριον, ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμ-
33 βολήν. Οἵτινες, εἰσελθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέ-
34 στησαν καὶ τὸν Παῦλον αὐτῷ. Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν, καὶ ἐπερωτήσας, ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ
35 πυθόμενος, ὅτι ἀπὸ Κιλικίας· Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου φυλάσσεσθαι.

Ανεθεμάτισαν ἑαυτούς, τουτέστιν, Ἔξω εἶναι τῆς κατὰ θεὸν πίστεως εἶπον ἑαυτοὺς, εἰμὴ ποιήσειαν τὰ δόξαντα. Εἴτε οὖν ἐψεύσαντο τὴν ὑπόσχεσιν, ὡς καὶ ἐψεύσαντο, ἀνάθεμά εἰσιν· εἴτε καὶ τὸν Παῦλον, δίκαιον ἄνδρα καὶ ἀκατάκριτον, ἐξεγεγόνει αὐτοῖς φονεῦσαι, πάλιν, ὡς φονεῖς, ἀνάθεμά ἑαυτοὺς ἐποίουν· ἤτοι ὁ θεὸς ἐποίει αὐτοὺς, εἰ καὶ παρεσιώπων οἱ ἀρχιερεῖς. Τοῦ ἀναθέματος οὖν δισσοῦ νοουμένου, τοῦ μὲν, ὡς τοῖς πᾶσιν ἢ πολλοῖς ἀνεφίκτου, θεῷ δὲ μόνῳ ἀνατιθεμένου· τοῦ δὲ, ὡς πάσῃ τῇ κτίσει καὶ ταῖς ἁγίαις δυνάμεσιν ἀψαύστου, καὶ θεῷ ἀλλοτρίου, ὡς τῷ διαβόλῳ ἀνακειμένου, διὰ τὴν ἀμιγῆ τοῦ καλοῦ ἀλλοτρίωσιν, τοιούτῳ νῦν καὶ οὗτοι ὑποβάλλουσιν ἑαυτοὺς ἀναθέματι. Τοῦτ' οὖν πολλάκις κατ' ἐπίτασιν εἰρῆσθαι νομίζομεν *κατάθεμα*. Τῷ γὰρ ὄντι τὸ τοιοῦτον οὐκ ἀνατίθεται, ἀλλὰ κατατίθεται, τῷ διαβόλῳ ὑποτατόμενον καὶ συγκαταδικαζόμενον.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Τερτύλλου περὶ Παύλου κατηγορία, καὶ αὐτοῦ ἀπολογία ἐπὶ τοῦ ἡγεμόνος.

ΚΕΦ. XXIV, 1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων, καὶ ῥήτορος Τερτύλλου τινός· οἵτινες ἐνεφάνισαν τῷ
2 ἡγεμόνι κατὰ τοῦ Παύλου. Κληθέντος δὲ αὐτοῦ,
3 ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος, λέγων· Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε
4 Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν
5 συντόμως τῇ σῇ ἐπιεικείᾳ. Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσιν πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην
6 τε τῆς τῶν Ναζωραίων αἱρέσεως· ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ
7 τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν
8 χειρῶν ἡμῶν ἀπήγαγε· κελεύσας τοὺς κατηγόρους αὐτοῦ, ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας, περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς
9 κατηγοροῦμεν αὐτοῦ. Συνεπέθεντο δὲ καὶ οἱ Ἰου-
10 δαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν. Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολο-
11 γοῦμαι· δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς ἀνέβην προσ-
12 κυνήσων ἐν Ἱερουσαλήμ. Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε
13 κατὰ τὴν πόλιν· οὔτε παραστῆσαι δύνανται, περὶ ὧν
14 νῦν κατηγοροῦσί μου. Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις·
15 ἐλπίδα ἔχων εἰς τὸν θεὸν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν,
16 δικαίων τε καὶ ἀδίκων. Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ,

ἀπρόσκοπον συνειδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ
17 τοὺς ἀνθρώπους διαπαντός. Δι' ἐτῶν δὲ πλειόνων
παρεγενόμην, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος
18 μου, καὶ προσφοράς. Ἐν οἷς εὗρόν με ἡγνισμένον
ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου,
19 τινὲς ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι· οὓς ἔδει ἐπὶ σοῦ
20 παρεῖναι, καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με. Ἢ
αὐτοὶ οὗτοι εἰπάτωσαν, τί εὗρον ἐν ἐμοὶ ἀδί-
21 κημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου· ἢ περὶ μιᾶς
ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς· Ὅτι
περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον
ὑφ' ὑμῶν.

Ὅτι κατὰ τὴν ὁδὸν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ θεῷ.] Μετὰ τὴν κλῆσιν τοῦ εἶναι ἀπόστολος Χριστοῦ, λέγων, λατρεύειν τῷ πατρῴῳ θεῷ, δείκνυσιν ἕνα ὄντα θεὸν Παλαιᾶς τε καὶ Νέας, ὃν οἱ προφῆται καὶ ὁ νόμος κατήγγειλαν, ὃν ὁ Παῦλος ἐκήρυσσεν, εἰπών· *Πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις.* Κατὰ τὸ σιωπώμενον δὲ κάνταῦθα τὸν Χριστὸν εἰσήγαγεν· ἀλλὰ τέως τῷ τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ. Καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν ἀνάστασιν ἐκήρυττον. Τούτου γὰρ δειχθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο, ὅτι ἀνέστη.

22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ, ἀνεβάλετο αὐτοὺς,
ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· Ὅταν
Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ'
23 ὑμᾶς. Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ, τηρεῖ-
σθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κω-
λύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι
24 αὐτῷ. Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ
Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ, οὔσῃ Ἰου-
δαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ
25 περὶ τῆς εἰς Χριστὸν πίστεως. Διαλεγομένου δὲ
αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ, ἀπεκρίθη· Τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ
26 μεταλαβὼν μετακαλέσομαί σε· ἅμα δὲ καὶ ἐλπίζων, ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος, ὡμίλει αὐτῷ.

Ἀκούσας ταῦτα ὁ Φῆλιξ.] Σημειωτέον, ὅτι ᾔδει ὁ Φῆλιξ τὴν πίστιν ἀκριβῶς, κατηχηθεὶς ἐκ τῆς Παλαιᾶς τὰ περὶ τοῦ Χριστοῦ, καὶ πρὸς χάριν τῶν Ἰουδαίων οὐκ ἀπέλυσε τὸν Παῦλον, ἔτι γεμὴν καὶ χρήματα ἐλπίζων λαβεῖν παρ' αὐτοῦ, ὡς παρακατιὼν ὁ λόγος ἔδειξεν. Ἤιδει δὲ καὶ ὡς ἔχων γυναῖκα Ἰουδαίαν, παρ' ἧς συνεχῶς ἤκουε ταῦτα. Αὕτη δὲ παρὰ τὸν νόμον συνήφθη αὐτῷ, Ἰουδαία οὖσα Ἕλληνι. Ἦ τάχα ἦν μὲν Ἰουδαία, γαμηθεῖσα δὲ αὐτῷ, ἐγένετο Ἑλληνίς· διὸ καὶ ἐξέλεγεν αὐτῷ τὴν ἑαυτῆς πίστιν, πείθουσα καὶ τὸν ἄνδρα παραβάτην γενέσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΛΣ'.

Περὶ τῆς Φήλικος διαδοχῆς καὶ τῆς Φήστου προαγωγῆς, τῆς τε ἐπ' αὐτοῦ ἀνακρίσεως Παύλου καὶ ἐφέσεως.

27 Διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον.

ΚΕΦ. XXV, 1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισα-
2 ρείας. Ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ πα-
3 ρεκάλουν αὐτὸν, αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ· ἐνέδραν
4 ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. Ὁ μὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν Φῆστος ἀπεκρίθη, τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. 5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησί, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν 6 αὐτοῦ. Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. 7 Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ 8 οὐκ ἴσχυον ἀποδεῖξαι· ἀπολογουμένου αὐτοῦ· Ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱε- 9 ρὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον. Ὁ Φῆστος δὲ, τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ, εἶπε· Θέλεις, εἰς Ἱεροσόλυμα ἀνα- 10 βὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; Εἶπε δὲ ὁ Παῦλος· Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, 11 ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν, ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. 12 Καίσαρα ἐπικαλοῦμαι. Τότε ὁ Φῆστος, συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι· ἐπὶ Καίσαρα πορεύσῃ.

Τὸ, *ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι*, ἔφη ὁ Παῦλος, βουλόμενος τὰς τῶν Ἰουδαίων χεῖρας ἐκφυγεῖν· ἔχει δὲ ἀντὶ τοῦ, Ἐν τῇ Ῥώμῃ θέλω ἀπελθεῖν παρὰ τῷ βασιλεῖ, κἀκεῖ δικάσασθαι. Ἐκκαλοῦμαί σε φησί. Τὸ δὲ, *Καῖσαρ*, ὄνομα, Ῥωμαϊστὶ Βασιλέα σημαίνει, ὡς κοινῷ ὀνόματι πάντας βασιλεῖς Ῥωμαίων Καίσαρας μὲν καλεῖσθαι, καθὸ δὴ βασιλεῖς, οὐ μὴν καὶ ἰδικὰ αὐτῶν ὀνόματα εἶναι ταῦτα. Ἐπὶ μὲν γὰρ τῆς τοῦ Χριστοῦ γεννήσεως ὁ τότε βασιλεύων, *Καῖσαρ Αὔγουστος* ἐκαλεῖτο· ἔπαθε δὲ ἐπὶ Τιβερίου Καίσαρος· ὁ δὲ μακάριος Παῦλος ἐπὶ Νέρωνος Καίσαρος ἀναιρεῖται ἐν Ῥώμῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Ἀγρίππα καὶ Βερνίκης παρουσία, καὶ πεῦσις τῶν κατὰ Παῦλον· ἐν ᾧ Παύλου ἀπολογία ἐπ' αὐτῶν, περὶ τῆς ἐν νόμῳ θρησκείας αὐτοῦ καὶ κλήσεως εἰς τὸ εὐαγγέλιον· καὶ ὡς οὐδὲν ἀδικεῖ Ἰουδαίους ὁ Παῦλος, Ἀγρίππας ἔφη τῷ Φήστῳ.

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ
βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν,
14 ἀσπασόμενοι τὸν Φῆστον. Ὡς δὲ πλείους ἡμέρας
διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ
κατὰ τὸν Παῦλον, λέγων· Ἀνήρ τις ἐστὶ κατα-
15 λελειμμένος ὑπὸ Φήλικος δέσμιος· περὶ οὗ, γενο-
μένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιε-
ρεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι
16 κατ' αὐτοῦ δίκην. Πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ
ἔστιν ἔθος Ῥωμαίοις, χαρίζεσθαί τινα ἄνθρωπον
εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρό-
σωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας
17 λάβοι περὶ τοῦ ἐγκλήματος. Συνελθόντων οὖν
αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος,
τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι
18 τὸν ἄνδρα. Περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδε-
19 μίαν αἰτίαν ἐπέφερον, ὧν ὑπενόουν ἐγώ. Ζητήματα
δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς
αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν
20 ὁ Παῦλος ζῆν. Ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ
τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι
εἰς Ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων.
21 Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου, τηρηθῆναι αὐτὸν
εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα, τηρεῖ-

σθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα.
22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· Ἐβουλόμην
καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Ὁ δὲ, Αὔριον,
23 φησὶν, ἀκούσῃ αὐτοῦ. Τῇ οὖν ἐπαύριον ἐλθόντος
τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς
φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον, σύν
τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν
οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου,
24 ἤχθη ὁ Παῦλος. Καί φησιν ὁ Φῆστος· Ἀγρίππα
βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες,
θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰου-
δαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε,
25 ἐπιβοῶντες, μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. Ἐγὼ δὲ κα-
ταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπρα-
χέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν
26 Σεβαστὸν, ἔκρινα πέμπειν αὐτόν. Περὶ οὗ ἀσφαλές
τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν
ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα,
ὅπως, τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι.
27 Ἄλογον γάρ μοι δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ
τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.

Αγρίππας ὁ βασιλεύς.] Ἤτοι εἰς τάξιν βασιλέως κατῄει ἐν ταῖς ἐπαρχίαις ὁ Ἀγρίππας, καὶ διὰ τοῦτο καὶ *βασιλεὺς* ἐχρημάτιζεν· ἢ τάχα βασιλεὺς ἦν καὶ αὐτὸς τῶν ἀνατολικῶν μερῶν, τοῦ Νέρωνος τῶν δυτικῶν ἄρχοντος, καὶ ὄντος ἐν Ῥώμῃ. *Εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν.*] *Σεβαστὸν* καταχρηστικῶς τὸν βασιλέα καλεῖ, ὥσπερ καὶ Καίσαρα, ὃν παρακατιὼν καὶ *Κύριον* καλεῖ λέγων· *Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ Κυρίῳ οὐκ ἔχω.*

ΚΕΦ. XXVI, 1 Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη·
Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ
2 Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα· Περὶ πάν-
των, ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ
Ἀγρίππα, ἡγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 λων σήμερον ἀπολογεῖσθαι· μάλιστα γνώστην ὄντα
σε πάντων τῶν κατὰ Ἰουδαίους ἠθῶν τε καὶ ζη-
τημάτων. Διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου.
4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ'
ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις,
5 ἴσασι πάντες οἱ Ἰουδαῖοι· προγινώσκοντές με
ἄνωθεν, (ἐὰν θέλωσι μαρτυρεῖν,) ὅτι κατὰ τὴν
ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα
6 Φαρισαῖος. Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς
πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ
7 ἕστηκα κρινόμενος· εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν,
ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει κα-
ταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ
8 Ἀγρίππα, ὑπὸ Ἰουδαίων. Τί; ἄπιστον κρίνε-
9 ται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; Ἐγὼ μὲν
οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Να-
10 ζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι. Ὃ καὶ ἐποίησα
ἐν Ἱεροσολύμοις· καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυ-
λακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξου-
σίαν λαβών· ἀναιρουμένων τε αὐτῶν, κατήνεγκα
11 ψῆφον· καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις
τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν· περισσῶς
τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς
ἔξω πόλεις.

Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει;] Δύο τίθησι περὶ ἀναστάσεως λογισμούς· ἕνα μὲν τὸν ἀπὸ τῶν προφητῶν· καὶ οὐ παράγει προφήτην, ἀλλ' αὐτὴν τῶν Ἰουδαίων τὴν δόξαν· ἄλλον δὲ, τὸν ἰσχυρότερον, τὸν ἀπὸ τῶν πραγμάτων· ὅτι διελέχθη αὐτῷ ὁ Χριστὸς, ἀναστὰς ἐκ νεκρῶν· καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν πρατέραν αὐτοῦ μανίαν διηγούμενος. Πρῶτος λογισμός: *Τί; ἄπιστον, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει;* Καὶ ἄλλος· Εἰ γὰρ μὴ τοιαύτη [τῶν Ἰουδαίων] δόξα ἦν, εἰ γὰρ μὴ ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, νῦν δὲ εἰσεφέρετο, δικαίως ἄν τις οὐκ ἐδέξατο τὸν λόγον. Ὑπὲρ τῆς αἱρέσεως ταύτης, φησὶν, ἐγκαλοῦμαι, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη παρ' αὐτοῖς πρεσβεύεται, διὰ ταύτην εὔχονται, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι. Καὶ ταύτην ἐγὼ καταγγέλλω.

12 Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς, τῆς παρὰ τῶν ἀρχιερέων,
13 ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν, εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.
14 Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν
15 σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώ-
16 κεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθή-
17 σομαί σοι· ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν
18 ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.

Ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου.] Τῶν αἰσθητῶν τὸ φωτεινότερον παράγων, καὶ μὴ δυνάμενος ἀντισῶσαι τῷ φωτὶ ἐκείνῳ τὸ τοῦ Ἰησοῦ φῶς, καθὼς δύναται παραδέξασθαι ἀκαὶ ἀνθρώπου λαλεῖν, ὑπερνικᾷν τὸ ἡλιακὸν φῶς ἐκεῖνό φησι.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·

Ὀπτασία ἐστὶν ἡ καθαρὰ θέα, ἡ ὑπερβαίνουσα ἄνθρωπον, ἥνπέρ τις, ἐν σαρκὶ ὢν, δίχα τοῦ ἀποκαλυφθῆναι αὐτοῦ τοὺς ὀφθαλμοὺς, οὐκ ἔστιν ἰδεῖν δυνατός.

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελλον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

21 τὸν θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. Ἕνε-
κα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ,
22 ἐπειρῶντο διαχειρίσασθαι. Ἐπικουρίας οὖν τυχὼν
τῆς παρὰ τοῦ θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης
ἕστηκα, μαρτυρούμενος μικρῷ τε καὶ μεγάλῳ,
οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν
23 μελλόντων γίνεσθαι, καὶ Μωσῆς· εἰ παθητὸς ὁ
Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς
μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

Ὧν τε οἱ προφῆται ἐλάλησαν.] Ἵνα μὴ δόξῃ αὐτὸς διδά-
σκαλος εἶναι τούτου, ἐπάγει τοὺς προφήτας, καὶ τὸν Μωσέα
λέγοντα, *Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως*
νεκρῶν, καὶ τὰ ἑξῆς· τὸ δὲ, Εἰ, ἐνταῦθα, ἀντὶ τοῦ, Ὅτι, ἐστίν.
Μωσῆς, φησὶν, εἶπεν, ὅτι *παθητὸς* ὁ Χριστὸς, καὶ *πρῶτος*
ἐξ ἀναστάσεως. Πρῶτος γὰρ οὗτος ἀνέστη, καὶ οὐκέτι ἀπο-
θνήσκει (α)· οἱ γὰρ ἀναστάντες δι' αὐτοῦ ἢ διὰ τῶν μαθητῶν,
καὶ οἱ διὰ τῶν προφητῶν, πάλιν ἀπέθανον, ἕως τῆς καθολικῆς
ἀναστάσεως μένοντες.

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ
τῇ φωνῇ ἔφη· Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμ-
25 ματα εἰς μανίαν περιτρέπει. Ὁ δὲ, Οὐ μαίνομαι,
φησι, κράτιστε Φῆστε, ἀλλ' ἀληθείας καὶ σωφρο-
26 σύνης ῥήματα ἀποφθέγγομαι. Ἐπίσταται γὰρ περὶ
τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παῤῥησιαζόμενος
λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι
οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.
27 Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; Οἶδα,
28 ὅτι πιστεύεις. Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον
ἔφη· Ἐν ὀλίγῳ με πείθεις, χριστιανὸν γενέσθαι.
29 Ὁ δὲ Παῦλος εἶπεν· Εὐξαίμην ἂν τῷ θεῷ, καὶ ἐν
ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας
τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους,

(α) Ῥωμ. ϛ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάρου

ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.
30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ
ὁ ἡγεμὼν, ἥτε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς·
31 καὶ ἀναχωρήσαντες, ἐλάλουν πρὸς ἀλλήλους, λέγον-
τες· Ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει
32 ὁ ἄνθρωπος οὗτος. Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη·
Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰμὴ
ἐπεκέκλητο Καίσαρα.

Ἐπειδὴ ἀεὶ πρὸς τὸν βασιλέα διελέγετο, ὥσπερ ἔπαθέ τι ὁ Φῆστος, καὶ ἰδὼν τὴν παῤῥησίαν, ἀπὸ θυμοῦ καὶ ὀργῆς, *Μαίνῃ* φησί, *Παῦλε*. Ὁ δὲ Παῦλος τὴν αἰτίαν διδάσκει, δι' ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέῤῥιψεν. Εἶτα δεικνὺς, ὅτι πανταχοῦ τῆς οἰκουμένης τοῦτο γέγονε τὸ δόγμα, ἐπήγαγεν· *Οὐ γὰρ ἐν γωνίᾳ πεπραγμένον τοῦτο*, τὸ περὶ τοῦ σταυροῦ λέγων καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. *Ἐν ὀλίγῳ με πείθεις.*] *Ἐν ὀλίγῳ*, τουτέστι, δι' ὀλίγων ῥημάτων, ἐν βραχέσι λόγοις, ἐν ὀλίγῃ διδασκαλίᾳ, χωρὶς πολλοῦ πόνου καὶ συνεχοῦς διαλέξεως. Διὸ καὶ πρὸς αὐτὸν καταλλήλως ὁ Παῦλος φησίν· *Εὐξαίμην ἂν τῷ θεῷ, καὶ ἐν ὀλίγῳ*, καὶ τὰ ἑξῆς· οἷον, Ὅτι ἐμοὶ τοῦτο σπουδὴ, τὸ γενέσθαι πάντας χριστιανοὺς· καὶ τοῦτό μοί ἐστιν εὐχὴ πρὸς θεόν· ἐπεὶ ἕτοιμός εἰμι καὶ διὰ πολλῶν λόγων, καὶ δι' ὀλίγων τὴν ἐν Χριστῷ κηρύσσειν πίστιν, καὶ μετὰ κόπου καὶ πόνου, καὶ ἐκ τοῦ παραχρῆμα. Κόπος γὰρ καὶ πόνος ἐν τῇ διδασκαλίᾳ καὶ τῷ κηρύγματι οὐδαμῶς λογίζεταί μοι· ἀλλ' ἴσόν ἐστι κοπιᾷν, καὶ μὴ, καὶ πολὺν χρόνον τρίβειν κηρύττοντα καὶ ὀλίγον, εἴ τινας ὁρῶ πρὸς τὸν Χριστὸν ἐπιστρέφοντας. Ταῦτα δὲ ἔλεγεν, ἅμα μὲν τὸ αὐτοῦ πρόθυμον καὶ διάπυρον ἐνδεικνύμενος· ἅμα δὲ κἀκεῖνον ἐκκαλούμενος, ὡς, εἰ βούλοιτο, καὶ πλείονα ἀκοῦσαι, καὶ πλειοτέρας διδασκαλίας ἀπολαῦσαι, οὐ μόνον οὐδὲν ἀποκνήσει, ἀλλ' οὕτως ἐστὶ πρόθυμος, ἕτοιμον καὶ τὸ πρόθυμον παρέχων, ὥστε καὶ εὐχῆς ἔργον αὐτὸ ποιεῖσθαι, ἂν μόνον τυγχάνῃ τοῦ σκοποῦ. Τὸ, *Ἐν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀλίγῳ, Ἀγρίππας μὲν ἀντὶ τοῦ, Παρ' ὀλίγον, Μικροῦ δέοντος, εἴληφεν· ὁ δὲ εἴπέρ τις ἄλλος σοφὸς τὰ θεῖα Παῦλος καὶ τὰ ἀνθρώπινα, τῇ προφορᾷ μᾶλλον τῆς λέξεως ἢ τῷ σημαινομένῳ πρὸς τὸ τῶν λόγων συμφέρον χρησάμενος, τὸ, *ἐν ὀλίγῳ καὶ ἐν πολλῷ*, ἀντὶ τοῦ, ἐν ὀλίγῳ λόγων ἀγῶνι, εἰ δέοι δὲ, καὶ ἐν πλείονι, εὐξαίμην ἂν σε χριστιανὸν γενέσθαι, προσήνεγκεν. ὡς ἂν εἴπῃ· Καὶ δι' ὀλίγων λόγων, καὶ διὰ πολλῶν, εὐξαίμην ἄν σε χριστιανὸν γενέσθαι. Διὰ πάντων πρόθυμός εἰμι, πάντα πράττειν ἐπὶ τῇ σῇ σωτηρίᾳ· οὐ τῇ σῇ δὲ μόνον, ἀλλὰ καὶ τῇ τῶν συνόντων. *Παρεκτὸς τῶν δεσμῶν τούτων.*] Οὐκ ἀπευχόμενος ἑαυτῷ τὰ δεσμὰ, οὐδὲ αἰσχυνόμενος, τοῦτο ἔλεγε· τοῦτο γὰρ ἦν αὐτῷ, εἴπερ ἄλλο τι, ἄξιον δόξης καὶ καύχημα· ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀφορῶν, καὶ τῇ ἐκείνων ἀσθενείᾳ συγκαταβαίνων, Γένοιτό μοι, φησι, πάντας τοιούτους γενέσθαι, οἷος ἐγὼ εἰμὶ, παρεκτὸς τῶν δεσμῶν τούτων.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Πλοῦς Παύλου ἐπὶ Ῥώμην, κινδύνων τε πλείστων καὶ μεγίστων ἔμπλεως· ἐν ᾧ παραίνεσις Παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας. Ναυάγιον Παύλου, ὅπως τε διεσώθησαν εἰς Μελίτην τὴν νῆσον, καὶ ὅσα ἐν αὐτῇ ὁ Παῦλος ἐθαυματούργησεν.

ΚΕΦ. XXVII, 1 Ὡς δὲ ἐκρίθη, τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι
2 Ἰουλίῳ, σπείρης Σεβαστῆς. Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου,
3 Μακεδόνος, Θεσσαλονικέως. Τῇ τε ἑτέρᾳ κατήχθη-
μεν εἰς Σιδῶνα· φιλανθρώπως τε ὁ Ἰούλιος τῷ
Παύλῳ χρησάμενος, ἐπέτρεψε, πρὸς τοὺς φίλους
4 πορευθέντα ἐπιμελείας τυχεῖν. Κἀκεῖθεν ἀναχθέν-
τες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους
5 εἶναι ἐναντίους. Τό τε πέλαγος τὸ κατὰ τὴν Κι-
λικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν
6 εἰς Μύρα τῆς Λυκίας. Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρ-
χος πλοῖον Ἀλεξανδρῖνον, πλέον εἰς τὴν Ἰταλίαν,
7 ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. Ἐν ἱκαναῖς δὲ ἡμέραις
βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν
Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπε-
8 πλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην· μόλις τε
παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ, κα-
λούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λα-
9 σαία. Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος
ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ τὴν νηστείαν
10 ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος, λέγων
αὐτοῖς· Ἄνδρες, θεωρῶ, ὅτι μετὰ ὕβρεως καὶ πολ-
λῆς ζημίας οὐ μόνον τοῦ φόρτου καὶ τοῦ πλοίου,
ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν
11 πλοῦν. Ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ
ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου
12 λεγομένοις. Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος
πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν,
ἀναχθῆναι κἀκεῖθεν, εἴπως δύναιντο καταντήσαντες
εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης,
13 βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον. Ὑποπνεύ-
σαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρα-
τηκέναι, ἄραντες, ἆσσον παρελέγοντο τὴν Κρήτην.
14 Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφω-
15 νικὸς, ὁ καλούμενος Εὐροκλύδων. Συναρπασθέντος
δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ
16 ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. Νησίον δέ τι ὑποδρα-
μόντες, καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν πε-
17 ρικρατεῖς γενέσθαι τῆς σκάφης· ἣν ἄραντες, βοη-

θείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί
τε, μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ
18 σκεῦος, οὕτως ἐφέροντο. Σφοδρῶς δὲ χειμαζομένων
19 ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο· καὶ τῇ τρίτῃ
20 αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. Μήτε
δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας
ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοι-
πὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

Διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι.] Νηστείαν ἐνταῦθα τὴν τῶν Ἰουδαίων λέγει. Μετὰ γὰρ τὴν πεντηκοστὴν ἐξῆλθεν ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραγενέσθαι εἰς τὰ μέρη τῆς Κρήτης. Ἰδοὺ προφητεύει καὶ νῦν ὁ Παῦλος, ναυαγῆσαι λέγων αὐτοῖς. Εἰ καὶ οὐ γέγονεν αὐτοῖς μετὰ ζημίας ψυχῶν τὸ ναυάγιον, κατὰ τὸν λόγον αὐτοῦ· ἀλλ' ὅσον κατὰ τὴν φύσιν τοῦ πράγματος ἐγένετο ἄν, εἰμὴ ὁ Θεὸς διέσωσεν αὐτόν, καὶ δι' αὐτὸν καὶ ἐκείνους διασωθῆναι ἐποίησε. Τὸ μὲν οὖν γενόμενον ναυάγιον ἀπὸ τοῦ καιροῦ ἐγένετο· ἐπειδὴ μέγας ἦν ὁ χειμών· τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων, αὐτός τε ὁ ἀπόστολος, καὶ δι' αὐτὸν οἱ λοιποί. Ὥστε οὐ διέψευσται. Ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο.] Οὐ προσέχει τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις ὁ ἑκατοντάρχης, πειθόμενος τοῖς ἐμπείρως ἔχουσι μᾶλλον πρὸς τὸ πλεῖν, ἢ ἐπιβάτῃ ἀπείρῳ ναυτικῆς. Καὶ ἐκ τούτου διδάσκει, ὅτι γνώμης ἐστι, καὶ οὐ τύχης τὸ ἁμάρτημα. Ὅτι γάρ ἐστι κατὰ φύσιν ἐκφυγεῖν κίνδυνον, αὐτὴ ἡ πεῖρα διδάσκει, μὴ κατακρημνίζειν ἑαυτόν τινα, ὡς ἀναμφιβόλως τοῦ πράγματος κίνδυνον φέροντος, τῆς τύχης καὶ εἱμαρμένης ἐπὶ τῶν προὔπτων κοιμωμένης, ἢ γρηγορούσης μὲν, μηδὲν δὲ δυναμένης ἀντιπράξασθαι κατὰ τῆς προαιρέσεως τῶν ἀνθρώπων, καθ' ἣν ὡς ἂν βούλωνται τὰ ἐφ' ἑαυτοῖς πράγματα ἄγουσι καὶ φέρουσιν, ὡς καὶ οἱ σὺν τῷ Παύλῳ ἐκδημοῦντες. Οὕτω γὰρ κατὰ προαίρεσιν ἔπραττον, ὥστε εὐθέως, ἐπιτηδείου

Δημόσιο Κέντρικη Βιβλιοθήκη Βέμου

τυχόντες ἀνέμου, χαίροντες διήνυον τὸν πλοῦν. Ἰστέον δὲ ὅτι τὸ, *ἀντοφθαλμεῖν*, ἐπὶ πλοίου λέγειν, οὐκ ἔστι κυριολεξία. Τοῦτο γὰρ ἐπὶ ἀνθρώπου μόνον ἁρμόζει. Ὥστε οὐ δεῖ κυριολεκτεῖν ἀπαιτεῖν ἀεὶ τὴν Γραφήν.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦ-
λος ἐν μέσῳ αὐτῶν, εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πει-
θαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης,
22 κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. Καὶ
τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυ-
χῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου.
23 Παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ
24 θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λατρεύω, λέγων· Μὴ φοβοῦ,
Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ, κε-
χάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ
25 σοῦ. Διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ,
ὅτι οὕτως ἔσται, καθ' ὃν τρόπον λελάληταί μοι.
26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. Ὡς δὲ τεσ-
27 σαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν
ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν
28 οἱ ναῦται, προσάγειν τινὰ αὐτοῖς χώραν· καὶ βο-
λίσαντες, εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστή-
σαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δε-
29 καπέντε· φοβούμενοί τε, μήπως εἰς τραχεῖς τό-
πους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσ-
30 σαρας, ηὔχοντο ἡμέραν γενέσθαι. Τῶν δὲ ναυτῶν
ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων
τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει, ὡς ἐκ
31 πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν, εἶπεν ὁ Παῦ-
λος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· Ἐὰν
μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι
32 οὐ δύνασθε. Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοι-
33 νία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι
δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦ-
λος ἅπαντας, μεταλαβεῖν τροφῆς, λέγων· Τεσσα-
ρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

34 τοι διατελεῖτε, μηδὲν προσλαβόμενοι. Διὸ παρα-
ρακαλῶ ὑμᾶς, προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς
τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ
35 ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται. Εἰπὼν δὲ ταῦ-
τα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ ἐνώ-
36 πιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. Εὔθυ-
μοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο
37 τροφῆς. Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ,
38 διακόσιαι ἑβδομήκοντα ἕξ. Κορεσθέντες δὲ τροφῆς,
ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς
39 τὴν θάλασσαν. Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ
ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα
αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δυνατὸν, ἐξῶσαι
40 τὸ πλοῖον. Καὶ τὰς ἀγκύρας περιελόντες, εἴων
εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας
τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ
41 πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. Περιπεσόν-
τες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν·
καὶ ἡ μὲν πρῶρα ἐρείσασα, ἔμεινεν ἀσάλευτος· ἡ
δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

Καὶ ἰδοὺ, κεχάρισταί σοι ὁ θεός.] Ἐντεῦθεν δείκνυται ψευδὴς ὁ περὶ τῆς εἱμαρμένης ἡ τύχης λόγος. Ἰδοὺ γὰρ, εἰ μὴ διὰ Παύλου ἐσώθησαν, πάντες ἂν εἶχον ἐν τῷ πλοίῳ ἀπολέσθαι, τοῦ θεοῦ τούτους ῥυσαμένου, τιμῇ τοῦ δικαίου. Οὕτω γὰρ τῷ θεῷ δόξαν· φησὶ γάρ· *Ἰδοὺ, κεχάρισταί σοι ὁ θεὸς τοὺς πλέοντας μετὰ σοῦ.* Καὶ ὧδε μὲν διὰ τὸν δίκαιον ζῶσιν οἱ ἀσεβεῖς· ἔστι δὲ ὅτε καὶ πρὸ ὥρας ὁ ἀσεβὴς ἀπόλλυται διὰ τὴν ἑαυτοῦ κακίαν, κατὰ τὸ εἰρημένον· « Μὴ ἀσεβήσῃς πολὺ, μηδὲ γίνου σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου (α). » Τὸ δὲ, *Ἐὰν δὲ μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς οὐ δύνασθε σωθῆναι*, οἰκονομικῶς ἔλεγεν ὁ Παῦλος, ἵνα κατάσχῃ αὐτοὺς, καὶ μὴ διαπέσῃ ἡ προφητεία. Ὅτε οὖν εἶδον, ὅτι ἡ ἀβουλία αὐτῶν ἐποίησεν αὐτοὺς κινδυνεῦσαι, τό-

(α) Ἐκκλ. Ζ', 18.

Δημόσιο Κεντρική Βιβλιοθήκη Μυτιλήνης

εἶδον, ὅτι ἡ ἀβουλία αὐτῶν ἐποίησεν αὐτοὺς κινδυνεῦσαι, τότε ἤρξαντο αὐτῷ πείθεσθαι, ὡς μᾶλλον τῆς εὐκαίρου συμβουλῆς, τῆς παρὰ ἁγίου ἀνδρὸς γινομένης, δυναμένης σῶσαι, ἢ τῆς εἱμαρμένης τῆς ἐν κινδύνῳ, μηδὲ ὄνομα ἐχούσης. Εἰ γὰρ εἱμαρμένῃ ἐπείθοντο ἐκεῖνοι, καίτοι ὄντες ἐθνικοί, παριδόντες τὴν τοῦ ἁγίου συμβουλὴν, εἶων ἂν ἀπελθεῖν τοὺς ναύτας. *Διὸ παρακαλῶ ὑμᾶς, μεταλαβεῖν τροφῆς.*] Παραινεῖ ὁ Παῦλος, μεταλαβεῖν τροφῆς, καὶ αὐτὸς πρῶτος μεταλαμβάνει, οὐ λόγῳ, ἀλλ' ἔργῳ πείθων· *Τοῦτο γάρ φησι, πρὸς τῆς ὑμετέρας σωτηρίας ἐστί*, τουτέστι τὸ φαγεῖν, μή ποτε τῷ λιμῷ διαφθαρῆτε. Οὐ γὰρ ἦν αὐτοῖς φροντὶς τροφῆς, ἅτε οὐ περὶ τῶν τυχόντων ὄντος τοῦ κινδύνου. Πόθεν δὲ γέγονεν αὐτοῖς δῆλος τῶν συμπλεόντων ὁ ἀριθμός; Εἰκὸς ἦν αὐτοὺς, ἐρωτᾶν τὴν αἰτίαν, δι' ἣν πλέουσι, καὶ μαθεῖν πάντα.

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δε-
σμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύ-
43 γῃ. Ὁ δὲ ἑκατόνταρχος, βουλόμενος διασῶσαι
τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος· ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν, ἀπορρί-
44 ψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι· καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. Καὶ οὕτως ἐγένετο, πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

ΚΕΦ, XXVIII, 1 Καὶ διασωθέντες, τότε ἐπέγνωσαν,
2 ὅτι Μελίτη ἡ νῆσος καλεῖται. Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντό πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν, τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος.
3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρ-
4 μης ἐξελθοῦσα καθῆψε τῆς χειρὸς αὐτοῦ. Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς
5 θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασεν. Ὁ μὲν οὖν, ἀπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κα-
6 κόν· οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι,
ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ πολὺ δὲ αὐτῶν
προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς
αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον, θεὸν αὐ-
7 τὸν εἶναι. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρ-
χε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ·
ὃς ἀναδεξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως
8 ἐξένισεν. Ἐγένετο δὲ, τὸν πατέρα τοῦ Ποπλίου, πυ-
ρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον, κατακεῖσθαι·
πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν, καὶ προσευξάμενος,
9 ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. Τούτου
οὖν γενομένου, καὶ οἱ λοιποὶ, οἱ ἔχοντες ἀσθενείας
10 ἐν τῇ νήσῳ, προσήρχοντο, καὶ ἐθεραπεύοντο· οἳ
καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομέ-
νοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο.] Πάλιν ἐκ τούτου δείκνυται, ὅτι τῷ Παύλῳ ἐχαρίσθησαν· ὅτι καίτοι βουλομένων τινὰς ἀναιρεῖν, ἵνα μὴ διαπέσῃ ἡ προφητεία Παύλου, οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναί ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ. **Ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα.**] Ὁ ἔχις, τῇ τοῦ ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλὼν, καὶ τὸ χαῦνον τῆς ἁμαρτίας οὐχ εὑρὼν, ἀπεπήδησε παραυτίκα, καὶ κατὰ τῆς πυρᾶς ἤλατο, ὥσπερ δίκας ἑαυτὸν εἰσπραττόμενος, ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι. Ἡμεῖς δὲ τὰ θηρία δεδοίκαμεν· ἐπειδὴ τῆς ἀρετῆς τὴν πανοπλίαν οὐκ ἔχομεν. Ἰδόντες οὖν τοῦτον οἱ βάρβαροι ἐκφυγόντα τὸν ἀναμφίβολον θάνατον, θεὸν αὐτὸν ἐνόμισαν εἶναι, ὡς ἔχοντες ἔθος, πάντα τὸν ποιοῦντά τι παράδοξον, θεὸν νομίζειν, ὥσπερ καὶ τοὺς πάλαι, οὓς θεοὺς ὠνόμαζον, ἢ δι' ἰσχὺν περισσόν τι τῶν καθ' ἑαυτοὺς ποιοῦντας, οἷος ἦν ὁ Ἡρακλῆς, ἢ διὰ μαγείας ἐξιστάνοντας τοὺς ὁρῶντας, οἷος ἦν ὁ ἐν Σαμαρείᾳ Σίμων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Ὅπως ἀπὸ Μελίτης εἰς Ῥώμην κατήντησεν ὁ Παῦλος.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ, παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ, παρα-
12 σήμῳ Διοσκούροις. Καὶ καταχθέντες εἰς Συρα-
13 κούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς. Ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον· καὶ μετὰ μίαν ἡμέραν, ἐπιγενομένου Νότου, δευτεραῖοι ἤλθομεν
14 εἰς Ποτιόλους· οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτὰ· καὶ οὕ-
15 τως εἰς τὴν Ῥώμην ἤλθομεν. Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ θεῷ,
16 ἔλαβε θάρσος. Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· τῷ δὲ Παύλῳ ἐπετράπη, μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.

Παρασήμῳ Διοσκούροις.] Ἔθος ἦν πως, ἐν ταῖς Ἀλεξανδρέων μάλιστα ναυσὶ, πρός γε τῇ πρώρᾳ, δεξιά τε καὶ εἰς εὐώνυμα, γραφὰς εἶναι τοιαύτας. Ἐπειδὴ δὲ ἦν εἰκὸς, εἰδωλολατρείας κρατούσης κατ' ἐκεῖνο καιροῦ, γεγράφθαι τῇ νηῒ τοὺς Διοσκούρους, ἐκ τούτου νοεῖν ἀκόλουθον, ἀλλόφυλον εἶναι [τὸν ναύκληρον], τουτέστιν εἰδωλολάτρην. Περὶ τούτου καὶ Ἡσαΐας ἔφη· « Πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύσουσιν (α).» **Ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερνῶν.**] Τόπους τινὰς ἐπισημαίνεται πρὸ τῆς Ῥώμης, τὸν μὲν εἰκόνα τινὰ Ἀππίου ἔχοντα, ὡς εἰκὸς, καὶ Φόρον ἐκείνου καλούμενον, ὡς μέχρι νῦν οἱ τόποι, ἐν οἷς αἱ τῶν βασιλέων

(α) Ἡσ. ΙΑ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰκόνες, παρὰ Ῥωμαίοις *φόροι* προσαγορεύονται· τὰ δὲ τῶν Ταβερνῶν, πανδοχείων τινῶν ἢ καπηλίων χρῆσιν αἰνίσσονται, τῇ Ῥωμαίων φωνῇ οὕτως ὀνομαζόμενα.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ διαλέξεως Παύλου τῆς πρὸς τοὺς ἐν Ῥώμῃ Ἰουδαίους.

17 Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. Συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύ-
18 μων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων· οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ
19 μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων
20 τι κατηγορῆσαι. Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περί-
21 κειμαι. Οἱ δὲ πρὸς αὐτὸν εἶπον· Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλά-
22 λησέ τι περὶ σοῦ πονηρόν. Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι, ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγε-
23 ται. Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἦκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες· οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ νόμου Μωσέως καὶ
24 τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας. Καὶ οἱ μὲν, ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ, ἠπίστουν,

Εἰδὼς ὁ Παῦλος, ὅτι ἄτοπον ἦν ὅλως τὸ δικάσασθαι, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάλιστα παρὰ ἀπίστοις, περὶ ἀμφοτέρων ἀπολογεῖται, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. Διὰ ταύτην γάρ, φησι, τὴν αἰτίαν ἐβουλόμην ὑμᾶς ἰδεῖν, ὥστε μὴ ἐξεῖναί τινι κατηγορεῖν. Καὶ τὰ παριστάμενα λέγει, ὅτι δὴ τὰς χεῖρας αὐτῶν διαφυγεῖν βουλόμενος, ἠναγκάσθη ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς ἑτέροις διδοὺς κακά, ἀλλ' αὐτὸς φεύγων κακά. *Περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης*, καὶ τὰ ἑξῆς.] Πρὶν ἐπιδημῆσαι τὸν Παῦλον ἐν τῇ Ῥώμῃ, παρηγγελμένοι ἦσαν οἱ Ἰουδαῖοι, μὴ παραδέξασθαι τὸ περὶ Χριστοῦ κήρυγμα· οὐκ αὐτοὶ δὲ μόναι, ἀλλὰ καὶ οἱ πανταχοῦ γῆς. Πόθεν δὲ δῆλον; Εὕρομεν ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν, ὡς οἱ τὴν Ἱερουσαλὴμ οἰκοῦντες ἱερεῖς καὶ γραμματεῖς καὶ πρεσβύτεροι γράμματα διαχαράξαντες, εἰς πάντα διεπέμψαντο τὰ ἔθνη, τοῖς ἀπανταχοῦ Ἰουδαίοις διαβάλλοντες τὴν τοῦ Χριστοῦ διδασκαλίαν, ὡς ἀλλοτρίαν τοῦ θεοῦ· παρήγγειλάν τε δι' ἐπιστολῶν, μὴ παραδέξασθαι αὐτήν. Τοῦτο δὴ αὐτὸ σημαίνειν ἔοικε καὶ ἡ λέγουσα προφητεία Ἡσαΐου· «Οὐαὶ γῆς, πλοίων πτέρυγες, ἐπέκεινα ποταμῶν Αἰθιοπίας. Ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὕμηρα, καὶ ἐπιστολὰς βυβλίνας ἐπάνω τοῦ ὕδατος (α). » Δι' οὗ σημαίνει, ὡς καὶ πέραν τῆς Αἰθιόπων χώρας καὶ τῶν ἐσχατιῶν τῆς γῆς ὁ τῆς πονηρίας ἦχος τῶν τὴν Ἰουδαίαν οἰκούντων, διά τινων, ὥσπερ ἱπταμένων πλοίων, προῆλθεν· οἵ τε ἀπόστολοι αὐτῶν, ἐπιστολὰς βυβλίνας ἐπικομιζόμενοι, ὑπεράνω τε τῶν ὑδάτων ναυτιλλόμενοι, καὶ τὴν θάλασσαν πλέοντες, πανταχοῦ γῆς διέτρεχον, τὸν περὶ τοῦ Σωτῆρος ἡμῶν διαβάλλοντες λόγον. *Ἀποστόλους* δὲ εἰσέτι καὶ νῦν ἔθός ἐστιν Ἰουδαίοις ὀνομάζειν τοὺς ἐγκύκλια γράμματα παρὰ τῶν ἀρχόντων αὐτῶν ἐπικομιζομένους.

25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἓν· Ὅτι καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφή-

(α) Ἡσ. ιη', 1. 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 του πρὸς τοὺς πατέρας ἡμῶν, λέγον· « Πορεύθητι
πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· Ἀκοῇ ἀκούσετε,
καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ
27 μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τού-
του, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μή ποτε ἴδωσι τοῖς
ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρ-
δίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς
28 (α) » Γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπε-
στάλη τὸ σωτήριον τοῦ θεοῦ· αὐτοὶ καὶ ἀκούσον-
29 ται. Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰου-
δαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.
30 Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώ-
ματι· καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους
31 πρὸς αὐτόν· κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ, καὶ
διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ
πάσης παῤῥησίας, ἀκωλύτως.

Τὸ *Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου, καὶ τὰ ἑξῆς.*] Τοῖς ὑπουργὸν λέγουσι τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Παῦλος ἐνταῦθα καιρίαν δίδωσι πληγήν. Τὸν γὰρ Κύριον, τὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὃν εἶδεν Ἡσαΐας, ὧδε λέγει « *τὸ Πνεῦμα τὸ ἅγιον* »· ὁμοούσιον γάρ ἐστι τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῆς ἴσης ἐξουσίας μετέχει. Καὶ τοῦτο τὸ ῥητὸν, τὸν προφήτην ὡς θεόθεν ἀποφθεγγόμενον, ὁ Παῦλος περὶ τῶν κατὰ τὸν Ἰησοῦν λέγειν παρασκευάζει· ἐπείπερ ἤκουσεν ὁ λαὸς τῶν τοῦ Ἰησοῦ λόγων, καὶ οὐ συνῆκε, καὶ βλέπων τὰ ὑπ' αὐτοῦ γινόμενα τεράστια, οὐχ ἑώρα. Εἰς μέλλοντα γὰρ χρόνον ἐγκλίνων τὸ ῥητὸν, ἐμφαίνει τὴν εἰς ὑστέρους χρόνους τῶν προφητευομένων ἀναφοράν. Σκόπει δὲ τὴν τοῦ πνεύματος ἀκρίβειαν! Οὐκ εἶπε, *Καὶ οὐ μὴ βλέψητε*, ἀλλ' ὅτι, *Βλέψετε, καὶ οὐ μὴ ἴδητε*· οὐδὲ ὅτι, *Οὐκ ἀκούσεσθε*, ἀλλ' ὅτι, *Ἀκούσετε, καὶ οὐ μὴ συνῆτε*. Αὐτοὶ ἑαυτοὺς ἀφεῖ-

(α) Ἡσ. ϛ', 9. 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

λον, πρῶτοι τὰ ὦτα βύσαντες, τοὺς ὀφθαλμοὺς καμμύσαντες, τὴν καρδίαν βαρύναντες. Οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ βαρέως ἤκουον. Ἐποίησαν δὲ τοῦτό, φησι, «*Μή ποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς*», ἐπιτεταμένην αὐτῶν λέγων τὴν πονηρίαν καὶ τὴν μετὰ σπουδῆς ἀποστροφήν. Καὶ τοῦτο λέγει ἐφελκόμενος αὐτοὺς καὶ ἐρεθίζων, καὶ δεικνὺς, ὅτι, ἐὰν ἐπιστρέψωσιν, ἰάσεται αὐτούς.

Ἱστέον δὲ ὅτι μέχρι τούτου ἱστορεῖ Λουκᾶς τὰ περὶ τὸν μακάριον Παῦλον ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, κατ' ἐκεῖνο καιροῦ τὸ βιβλίον συγγραψάμενος, καὶ τὰ καθεξῆς ἥκιστα γινώσκων. Οὐδὲ τὸ μαρτύριον τούτου ἐγκατέθετο τῷ βίβλῳ. Καταλιπόντες γὰρ αὐτὸν ἐκεῖ Λουκᾶς τε καὶ Ἀρίσταρχος ἐξῆλθον. Εὐσέβιος δὲ τοὺς μετέπειτα χρόνους ἱστόρησεν ἀκριβῶς (1). Τότε μὲν ἐπὶ Νέρωνος ἀπολογισάμενον τὸν Παῦλον, αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι, πρὸς Καίσαρος ἀπολυθέντα, καὶ εὐαγγελίσασθαι ἐφ' ἑτέροις δέκα ἔτεσιν. Εἰς ἄκρον δὲ μανίας ὁ Νέρων ἀφικόμενος, ἐπὶ τὰς τῶν ἀποσπόλων ἤρθη σφαγάς. Μεταστειλάμενος γὰρ τὸν Παῦλον τριακοστῷ ἕκτῳ ἔτει τοῦ σωτηρίου πάθους, τρισκαιδεκάτῳ δὲ ἑαυτοῦ, ἐποίησε μαρτυρῆσαι, ξίφει τὴν κεφαλὴν ἀποτμηθέντα. Ἔστι τοίνυν ἀπὸ τοῦ ἐννεακαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, δευτέρου δὲ ἔτους τοῦ σωτηρίου πάθους, ἐξ οὗ κηρύσσειν τὸ εὐαγγέλιον ἤρξατο, ἕως εἰκοστοῦ δευτέρου τοῦ αὐτοῦ Τιβερίου, ἔτη τέσσαρα· καὶ τὰ Γαΐου δὲ ὡσαύτως ἔτη τέσσαρα· αὖθις δὲ καὶ τὰ Κλαυδίου ἔτη τεσσαρεσκαίδεκα· ὃν διαδεξάμενος Νέρων τῷ τρισκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἀρχῆς, τὸν ἀπόστολον ἀνεῖλεν. Ἔστι τοίνυν ὁ πᾶς χρόνος τοῦ κηρύγματος τοῦ Παύλου εἴκοσι καὶ ἓν ἔτος, καὶ ἕτερα δύο ἔτη, ἃ διετέλεσεν ἐν τῷ κατὰ Καισάρειαν δεσμωτηρίῳ. Πρὸς δὲ τούτοις πάλιν, τὰ ἐν

(1) Εὐσεβ. Ἐκκλ. Ἱς. Βιβ. Β'. Κεφ. ΚΒ'.

Θεσσαλική Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥώμῃ πρότερα δύο ἔτη, καὶ τὰ τελευταῖα δὲ ἔτη δέκα. Ὥστε εἶναι τὰ πάντα ἔτη ἀπὸ τῆς κλήσεως αὐτοῦ μέχρι τῆς τελειώσεως αὐτοῦ, τριάκοντα καὶ πέντε· ἀπὸ δὲ τοῦ σωτηρίου πάθους, τριάκοντα ἓξ. Μετὰ γὰρ τὴν τοῦ Κυρίου ἀνάληψιν, μεθ' ἡμέρας τινὰς ὀλίγας, προχειρίζονται οἱ ἀπόστολοι εἰς διακονίαν Στέφανον καὶ τοὺς ἀμφὶ αὐτὸν· ἔπειτα τὸν Στέφανον εὐθέως εὑρίσκομεν λιθαζόμενον, καὶ τὸν Παῦλον συνευδοκοῦντα τῷ φόνῳ· ὃς μικρὸν ὕστερον εἰς Δαμασκὸν ὁρμᾷ, ὡς τοὺς ἐκεῖσε ὄντας ἁγίους ἀναιρήσων· κατὰ μέσην δὲ τὴν ὁδὸν ἡ κλῆσις αὐτῷ γεγένηται παρὰ θεοῦ, ὡς μικρῷ προσαναλωθῆναι τὸ ἔτος ἐκεῖνο. Εὐθέως δὲ ἤρξατο κηρύσσειν, ἐπιλαβομένου ἐννεακαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, καὶ τῷ τρισκαιδεκάτῳ ἔτει Νέρωνος τελειοῦται, ξίφει τὴν κεφαλὴν ἀποτμηθείς.

ΤΕΛΟΣ

ΣΥΝ ΘΕΩ ΤΩΝ ΠΡΑΞΕΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΘΑΛΙΟΥ ΔΙΑΚΟΝΟΥ

ΠΡΟΛΟΓΟΣ.

ΠΑΥΛΟΣ ὁ ἀπόστολος, Ἑβραῖος μὲν ἦν τὸ γένος, ἐκ φυλῆς Βενιαμίν· Φαρισαῖος δὲ τὴν αἵρεσιν, ὑπὸ διδασκάλῳ γε πιστῷ, τῷ Γαμαλιὴλ, τὸν Μωϋσέως νόμον ἐκπεπαιδευμένος· πρὸς δὲ τούτοις, τὸν τῆς Κιλικίας ὀφθαλμὸν οἰκῶν, τὴν Ταρσὸν, διώκων δὲ καὶ πορθῶν τὴν ἐκκλησίαν τοῦ θεοῦ· διὸ δὴ καὶ συμπαρῆν τῇ ἀναιρέσει Στεφάνου τοῦ ἀποστόλου καὶ πρωτομάρτυρος, καὶ κοινωνὸς ἦν τότε τοῦ φόνου, τὰ πάντων ἱμάτια τῶν λιθοβολούντων αὐτὸν καταδεξάμενος φυλάττειν, ἵνα ταῖς πάντων χερσὶ χρήσηται πρὸς τὸν φόνον· καὶ πρῶτος δὲ μετὰ τῶν στασιαζόντων ἐωρᾶτο, πανταχοῦ σπουδάζων καθαιρεῖν τοὺς τῆς εὐσεβείας λογάδας. Πολλά τε ἦν καὶ μεγάλα τὰ παρ' αὐτοῦ κατὰ τῆς ἐκκλησίας γινόμενα, καὶ οὐδὲν εἰς ὑπερβολὴν μανίας ἐνέλιπεν. Ἐν τούτῳ γὰρ εὐσεβεῖν καὶ τὰ μέγιστα κατορθοῦν ἐνόμιζε, καθὼς αὐτός τε ἐν ταῖς ἐπιστολαῖς ὁμολογεῖ (α), καὶ Λουκᾶς ἱστορεῖ ἐν τῇ δευτέρᾳ βίβλῳ ἑαυτοῦ (β). Οὐ μόνον γὰρ οὗτος πάλαι κατὰ τοὺς πολλοὺς τῶν Ἰουδαίων ἐμίσει τε καὶ ἀπεστρέφετο τὸ τῆς ἀληθείας κήρυγμα, ἀλλὰ δὴ καὶ μείζονα παντὸς τοῦ ἔθνους ὀργὴν ἐποιεῖτο. Ὡς γὰρ οἶδε τὸ κήρυγμα διαλάμψαν, καὶ τὸν τῆς ἀληθείας εὐθαλῆ λόγον ἐπικρατέστερον τῆς Ἰουδαϊκῆς διδασκαλίας γινόμενον, παθὼν πρὸς τοῦτο, καὶ νομίσας ἀδικεῖσθαι τὰ μέγιστα, τῆς διδασκαλίας αὐτῶν ἀνατρεπομένης, πᾶσαν προθυμίαν καὶ σπουδὴν κατὰ τῶν τῆς ἐκκλησίας θρεμμάτων ἐποιεῖτο, ὅπως ἂν αὐτοὺς ἢ τῆς ἀληθοῦς διδασκαλίας ἀποστήσειεν, ἢ δίκην

(α) Γαλατ. Α', 13. 14. (β) Πραξ. Ἱ, 3. Θ'. ΚΒ'. ΚϚ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀξίαν τῆς εἰς τὸν Χριστὸν πίστεως εἰσπράξειεν. Κομισάμενος δὲ ὁ Παῦλος παρὰ τῶν ἱερέων καὶ διδασκάλων ἐπιστολὰς κατ' ἐκεῖνο καιροῦ πρὸς τοὺς ἐν Δαμασκῷ Ἰουδαίους, ὥρμησε μορμύρων, ὥσπερ τις χείμαρρος λάβρος, περικλύσειν δοκῶν τοὺς ἐν Δαμασκῷ μαθητὰς, καὶ εἰς τὸ τῆς ἀπωλείας αὐτοὺς βάραθρον ἐκπέμψειν. Γνοὺς δὲ ὁ Κύριος, ὅτι ἄδικον μανίαν ἐν δικαίᾳ δῆθεν προαιρέσει ἐκέκτητο, ἐν μέσῃ τῇ ὁδῷ ἐπιφανεὶς, ἀπεστέρησε μὲν αὐτὸν τῆς ὄψεως τῷ μεγέθει τοῦ φωτὸς, καὶ εἰς τοσοῦτον δὲ μέτεισιν, ὥςε, τὸν πάλαι οὐδὲν, ὅ,τι τῶν δεινῶν κατὰ τῆς ἐκκλησίας οὐκ ἐπινοοῦντα, καὶ πάντας τοὺς μαθητὰς ἀπολέσειν ἄρδην προσδοκῶντα, αὐτίκα δὴ τοῦτον καὶ παραχρῆμα ἀγαπητὸν ἑαυτοῦ καὶ πιστότατον ἡγήσασθαι. Ἱκέτης γὰρ εὐθὺς τοῦ θεοῦ ὁ πολέμιος γίνεται· καὶ παραυτίκα τὸ σύνταγμα τῆς μανίας ἀπορριψάμενος, εἰς πρεσβείαν ἐχώρει, καὶ τὴν εἰς Χριστὸν εὐσέβειαν ὡμολόγει· καὶ πέμπεται πρὸς Ἀνανίαν τινὰ μαθητὴν ἐν Δαμασκῷ. Ἰδὼν δὲ ὁ τῆς ἀληθείας ἐξεταστὴς θεὸς σωφρονισθέντα τὸν ἄνδρα, καὶ βελτίω ἐκ τῶν κακῶν γεγονότα, οὐχ ἑτέρως αὐτὸν ἢ οὕτως ἀπαλλαγήσασθαι τῆς τιμωρίας ἔφη. Βαπτίζεται γοῦν ἀπελθὼν, καὶ τῶν ἀπορρήτων μυστηρίων γίνεται κοινωνὸς, καὶ σύμμαχος ἀξιόχρεως τοῦ κηρύγματος· καὶ καινὸν κήρυγμα ἐμπιστευθεὶς παρὰ τοῦ θεοῦ, καινοτέραν ἔσχε τῆς σωτηρίας τὴν ἀφορμήν. Τοσαύτην οὖν μεταβολὴν ὁ μακάριος Παῦλος ἔσχηκὼς, ἔτι δὲ καὶ τοὔνομα μεταβαλὼν, καὶ οὕτως εἰς ἄκρον εὐσεβείας ζῆλον μετατεθεὶς, ὥςε τοὺς τῆς ἀληθείας μαθητὰς, εἴποτε συνέβη αὐτὸν ἀπολειφθῆναι, διὰ γραμμάτων ἐβεβαίου, ἵνα μὴ μόνον τὴν διὰ τῶν ἔργων, ἀλλὰ καὶ τὴν ἐκ τῶν λόγων εἰς τὸ μετέπειτα κτήσωνται διδασκαλίαν· καὶ ἀμφοτέρωθεν ὀχυρωθέντες, ἄσειστον τὸ τῆς εὐσεβείας ἔρυμα ἐν τῇ ψυχῇ περιφέροιεν. Μετὰ δέ τινα χρόνον εἰς Ἱερουσαλὴμ πάλιν ὁ Παῦλος ἐκτρέχει, ὀψόμενος τὸν Πέτρον. Ἔνθα δὴ καὶ διαιροῦνται πρὸς ἀλλήλους ἅπασαν τὴν οἰκουμένην· καὶ τὴν τῶν ἐθνῶν μερίδα Παῦλος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαβὼν, ὡς δὴ τοῦ Πέτρου τὸ Ἰουδαϊκὸν λαχόντος διδάσκειν, πολλὰς μὲν πόλεις, πολλὰς δὲ χώρας περιενόστησε. Μικροῦ δὲ τὸ Ἰλλυρικὸν ἅπαν τῶν τῆς εἰς Χριστὸν εὐσεβείας δογμάτων ἐνέπλησε. Μυρία γοῦν πάνδεινα παθὼν καὶ ὑποστὰς ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως, πολλούς τε καὶ διαφόρους κινδύνους, ὅσους αὐτὸς ἀναγράφεται, ὑπὲρ τοῦ εὐαγγελίου, καὶ ὅλους αὐτοὺς νικήσας καὶ ἐξαγκωνισάμενος πίστει· (εἰσάτε γὰρ τότε ἤθελεν ὁ Θεὸς Παῦλον, καὶ ἡ προθεσμία αὐτοῦ τοῦτον κατεῖχε διάγειν μετ' ἀνθρώπων, εἰς ὅτε τὸ εὐαγγέλιον ἅπασι τοῖς ἔθνεσι κηρύξει·) ὑψὲ δή που τῆς ὥρας ἐπάνεισιν εἰς Ἱεροσόλυμα, τοὺς ἐκεῖσε ἁγίους ἐπισκεψόμενος, καὶ τοῖς τῇδε πτωχοῖς ἐπικουρήσων. Ἐν δὲ τῷ μεταξὺ στάσις τις κατειλήφει τὴν πόλιν, καὶ ὁ δῆμος ἦν ἐν θορύβῳ πολλῷ, Ἰουδαίων ταραττόντων τὸ κοινόν· δεινὸν γὰρ καὶ βαρὺν ἡγήσαντο κατήγορον ἔχειν τὸν πάλαι προστάτην καὶ κοινωνὸν αὐτῶν τῆς μανίας, καὶ κτείνειν αὐτὸν ἐσπούδαζον. Ἀλλ' εὐθὺς ὁ χιλίαρχος τοῦτον ἐξαιρεῖται, καὶ μετὰ στρατιωτικῆς βοηθείας εἰς τὴν Καισάρειαν πρὸς τὸν ἡγεμόνα πέμπει. Συνέλαβον οὖν αὐτὸν, καὶ πρὸς τὸν ἐθνάρχην ἦγον· Φῆστος ἦν ὄνομα αὐτῷ. Αἰσθόμενος δὲ συσκευὴν κατ' αὐτοῦ τινὰ γινομένην ὑπὸ Ἰουδαίων ὁ Παῦλος, εὐθὺς ἐπὶ τοῦ βήματος ἐπικαλεῖται τὸν Καίσαρα· καὶ ἀνίεται μὲν τέως τοῦ κριτηρίου, ἀργεῖ δὲ ἡ κατ' αὐτοῦ τοῖς Ἰουδαίοις μελετωμένη ἐπιβουλή· καὶ λοιπὸν εἰς τὴν Ῥώμην ὑπὸ τῶν ἀρχόντων ἐκπέμπεται πρὸς Καίσαρα. Κἀκεῖσε τοὺς αὐτοὺς ἀγῶνας ἐπιδειξάμενος, καὶ ὑπὲρ τῶν αὐτῶν ἄθλων πονέσας, τέλος καὶ αὐτῆς τῆς ζωῆς ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων ἐξέστη, βέλτιον εἶναι κρίνας τὴν μετὰ Χριστοῦ διαγωγὴν τῆς θνητῆς ταύτης καὶ ἐπικήρου ζωῆς. Μικρὸν γὰρ ὕστερον ὁ Καῖσαρ Νέρων, βουληθεὶς αὐτὸν τῆς ζωῆς ταύτης ἐξαγαγεῖν, τὴν ἀληθινὴν αὐτῷ καὶ ὄντως ζωὴν ἐχαρίσατο, καὶ καθιστᾷ οὐρανοῦ κληρονόμον, ὃν τῆς γῆς ἀπεστέρησεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Η πρὸς Ῥωμαίους ἐπιστολὴ περιέχει τὴν πρὸς τὸν Χριστὸν παρασκευὴν, μάλιστα τοῖς ἐκ φύσεως λογισμοῖς ἐλεγχθεῖσαν· καὶ διὰ τοῦτο προτάττεται τῶν ἄλλων ἁπασῶν, ὡς δὴ πρὸς αὐτοὺς γεγραμμένη τοὺς ἤδη τὰ θεῖα προμυηθέντας. Ταύτην ἐπιστέλλει ἀπὸ Κορίνθου, μήπω μὲν ἑωρακὼς Ῥωμαίους· ἀκούων δὲ περὶ αὐτῶν, καὶ ἐπιποθῶν αὐτοὺς ἰδεῖν. Καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν, καταγγελλομένην ὁρῶν πανταχοῦ. Ἔπειτα σημαίνει, πολλάκις ἑαυτὸν προθέμενον ἐλθεῖν, διὰ τὸν εἰς αὐτοὺς πόθον, τέως μὴ δεδυνῆσθαι. Καὶ λοιπὸν διδασκαλικὴν τὴν ἐπιστολὴν ποιεῖται, περὶ κλήσεως ἐθνῶν, καὶ ὅτι ἡ περιτομὴ ἕως καιροῦ ἦν, καὶ νῦν πέπαυται, καὶ ὅτι διὰ τοῦ Χριστοῦ λέλυται τὸ παράπτωμα τοῦ Ἀδὰμ, καὶ ἡ σκιὰ τοῦ νόμου παρῆλθε. Τὴν μὲν οὖν κλῆσιν τῶν ἐθνῶν ἀκολούθως γεγενῆσθαι κατασκευάζει οὕτως· Ἀποδεικνὺς πᾶσιν ἀνθρώποις ἔμφυτον εἶναι τὸν νόμον, καὶ πάντας ἀδιδάκτῳ τε τῇ φύσει, καὶ ἀπ' αὐτῆς τῆς κτίσεως δύνασθαι γινώσκειν τὸν θεόν. Διὸ καὶ εἰκότως αἰτιᾶται πρῶτον Ἕλληνας, ὡς τοῦ μὲν θεοῦ φανερώσαντος αὐτοῖς ἐκ τῶν ποιημάτων τοῦ κόσμου τὴν περὶ ἑαυτοῦ γνῶσιν, καὶ τῆς ἀϊδίου δυνάμεως αὐτοῦ, ἥτις ἐστὶν ὁ λόγος αὐτοῦ, ἐν ᾧ καὶ δι' οὗ τὰ πάντα πεποίηκεν· αὐτοὺς δὲ μὴ ἐγνωκέναι μὲν ἐκ τῶν κτισμάτων, εἶναι θεὸν τὸν τούτων δημιουργὸν· τὰ δὲ ποιήματα θεοποιήσαντας, καὶ τῇ κτίσει μᾶλλον ἢ αὐτῷ λατρεύσαντας. Αἰτιᾶται δὲ καὶ Ἰουδαίους, ὡς μὴ φυλάξαντας τὸν νόμον, ἀλλὰ καὶ μᾶλλον

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάσαντας· καὶ οὕτως ἀμφότερα τὰ μέγιστα Ἰουδαίους καὶ Ἕλληνας συγκλείει τε καὶ ἐλέγχει ἐπὶ παρανομίᾳ, ἵνα δείξῃ ὅτι, ἴσοι γενόμενοι οἱ πάντες, ἐπίσης ὡς ὑπεύθυνοι, τοῦ λυτρουμένου δέονται· τῆς δὲ χάριτος καὶ λυτρώσεως ἐπίσης τοῖς Ἰουδαίοις γενομένης καὶ ἐπὶ τὰ ἔθνη, εἰκότως καὶ ἡ κλῆσις γέγονε τῶν ἐθνῶν· τῆς δὲ κλήσεως τῶν ἐθνῶν γενομένης, ἐξ ἀνάγκης πέπαυται ἡ περιτομὴ, καὶ ἡ ἐν τῷ νόμῳ σκιά. Ὁ γὰρ Ἄβραμ, φησιν, οὐκ ἐν περιτομῇ, ἀλλὰ πρὸ τῆς περιτομῆς δικαιωθεὶς, μετωνομάσθη μὲν Ἀβραάμ· ὅτι πατὴρ πολλῶν ἐθνῶν ἔμελλεν εἶναι κατὰ τὴν ἐν τῇ ἀκροβυστίᾳ πίστιν· ἔλαβε δὲ μετὰ τὸ δικαιωθῆναι καὶ τὴν περιτομὴν ἐν σαρκὶ, ἵνα σημεῖον ᾖ, τοῖς κατὰ σάρκα γεννωμένοις ἐξ αὐτοῦ παύσεσθαί ποτε τὴν περιτομὴν, ὅταν τὰ ἔθνη γένηται τέκνα τοῦ Ἀβραὰμ, ἀρξάμενα πολιτεύεσθαι κατὰ τὴν πίστιν τοῦ Ἀβραὰμ, ἐν ᾗ ἐδικαιώθη, ὅτε ἦν ἐν ἀκροβυστίᾳ. Τούτων γὰρ χάριν μετωνομάσθη Ἀβραάμ. Ἀνάγκη δὲ, ἐλθόντων τῶν σημαινομένων, παύσασθαι τὸ σημαῖνον. Εἰ μὲν οὖν τὰ ἔθνη ἀναγκάζουσι περιτέμνεσθαι, παυέτωσαν καὶ τὸ ὄνομα τοῦ Ἀβραὰμ, καὶ καλείσθω Ἄβραμ. Εἰ δὲ Ἀβραὰμ παρὰ θεοῦ μετωνομάσθη, οὐ δεῖ περιτέμνεσθαι τὰ ἔθνη· ἀλλ' οὐδὲ αὐτοὺς ἔτι τοὺς κατὰ σάρκα Ἰουδαίους, ἵνα ᾖ τὸ ὄνομα βέβαιον, καὶ πατὴρ πολλῶν ἐθνῶν καλῆται. Καὶ γὰρ οὐ χρείαν ἔχει λοιπόν τις περιτέμνεσθαι, ἀρκούμενος τῇ πίστει τοῦ Ἀβραάμ· οὐδὲ τῆς ἄλλης τε τῆς ἐν νόμῳ σκιᾶς· οὐ γὰρ ἐκ τούτων, ἀλλ' ἐκ πίστεως δικαιοῦταί τις, καθάπερ καὶ ὁ Ἀβραάμ. Ταῦτα οὕτω κατασκευάσας, ἀποδείκνυσι πάλιν, ὅτι ἄλλως οὐκ ἂν γένοιτο λύτρωσις καὶ χάρις τῷ Ἰσραὴλ καὶ τοῖς ἔθνεσιν, εἰ μὴ λυθῇ ἡ ἀρχαία ἁμαρτία τοῦ Ἀδὰμ, ἡ εἰς πάντας γενομένη. Δι' ἄλλου δὲ ταύτην μὴ δύνασθαι ἐξαλειφθῆναι φησὶν, ἀλλ' ἢ διὰ Χριστοῦ τοῦ θεοῦ, δι' οὗ καὶ ἐξ ἀρχῆς κατάρα γέγονεν· οὐ γὰρ δυνατὸν ἦν, ἄλλον λῦσαι τὸ παράπτωμα. Εἶτα γράφει, ὅτι ἄλλως τοῦτο οὐ μὴ γένηται,

Ψηφιακή Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ μὴ σῶμα φορέσῃ ὁ υἱὸς τοῦ θεοῦ, καὶ γένηται ἄνθρωπος· ἵνα τοῦτο προσενέγκας ὑπὲρ πάντων, τοὺς πάντας ἐλευθερώσῃ ἀπὸ τοῦ θανάτου· καὶ ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, οὕτω καὶ δι' ἑνὸς ἀνθρώπου ἡ χάρις γένηται. Καὶ λοιπὸν, ὡς καλὸς οἰκονόμος, τοὺς μὲν Ἰουδαίους παραμυθεῖται, ὅτι οὐ παραβάται γίνεσθε τοῦ νόμου, ἐὰν εἰς τὸν Χριστὸν πιστεύσητε· τοῖς δὲ ἀπὸ τῶν ἐθνῶν παρεγγυᾷ, μὴ ἐπαίρεσθαι κατὰ τοῦ Ἰσραὴλ, ἀλλὰ γινώσκειν, ὅτι ὡς κλάδοι ἐπὶ τὴν ῥίζαν, οὕτως ἐπ' ἐκείνους ἐνεκεντρίσθησαν. Μετὰ δὲ ταῦτα παραινετικοὺς λόγους εἰς τὰ ἤθη διδάξας, τελειοῖ τὴν ἐπιστολήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐαγγελικὴ διδασκαλία περί γε τῶν ἔξω χάριτος Χριστοῦ καὶ τῶν ἐν χάριτι, καὶ περὶ ἐλπίδος καὶ πολιτείας πνευματικῆς

ΚΕΦ. Ι, 1 Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ.

Τὸ ἑξῆς· « Παῦλος ἀπόστολος, πᾶσι τοῖς ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη· » οἷον «Ὁ δεῖνα τῷ δεῖνι, χαίρειν. » Συνεμφαίνει δὲ μεταξὺ τὸν περὶ τοῦ εὐαγγελίου λόγον, καὶ ἑαυτοῦ· τὸ μὲν εὐαγγέλιον, μηδὲ κατὰ χρόνον εἶναι νεώτερον, ἀλλὰ προκατηγγέλθαι μὲν διὰ προφητῶν, νῦν δὲ πεφανερῶσθαι φάσκων. Ἐπεμνήσθη δὲ καὶ τοῦ Δαυὶδ, πρὸς ὃν ἡ ὑπόσχεσις, καὶ ἑαυτὸν εἶπε τούτου κήρυκα προβεβλῆσθαι, ὡς ἂν μὴ προπετῶς μετὰ τὴν τοῦ Πέτρου διδασκαλίαν, πρὸς τὸ ἐπιστέλλειν ἐληλυθέναι δοκοίη, θεῖον δὲ μᾶλλον ἐπίταγμα ἐκπληρῶν. Προτάττει δὲ τὸ οἰκεῖον ὄνομα, ἢ κατὰ συνήθειαν ἀρχαίαν· οἷον· « Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν (α)· » ἢ προέταξε τὸ, *Παῦλος*, μηδὲ διαίρειν στόμα ἄνευ τοῦ μεμνῆσθαι τῆς δεσποτικῆς εὐεργεσίας βουλόμενος· οἷον, Παῦλός φησιν, ὁ καὶ αὐτὴν τὴν κλῆσιν

(α) Πραξ. ΚΓ', 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξ εὐεργεσίας καὶ φιλοτιμίας ἔχων δεσποτικῆς· Παῦλος, ὁ πάντα φέρων ἀπὸ Χριστοῦ, τὴν κλῆσιν, τὴν χάριν, τὴν πολιτείαν. Ἢ, ἀποῦσι γράφων, εἰκότως τὸ αὐτοῦ ὄνομα προέταξε. Διὰ τοῦτο δὲ ἀπὸ *Σαύλου* εἰς *Παῦλον* μετετέθη (α), ἵνα μηδ' ἐν τούτῳ φανῇ ἔλαττον ἔχων τῶν ἀποστόλων, μηδ' αὐτοῦ τοῦ κορυφαίου Πέτρου (ι). *Δοῦλος.*] Πολλοὶ δουλείας τρόποι· εἷς ὁ ἀπὸ τῆς δημιουργίας· εἷς ὁ ἀπὸ τῆς πίστεως· ἄλλος ὁ ἀπὸ τῆς ἀποστολῆς· ἕτερος ὁ ἀπὸ τῆς πολιτείας. Καὶ πάντας ἔσχεν ὁ Παῦλος. Εἰωθὼς δὲ συνάπτειν τῷ οἰκείῳ ὀνόματι τὸ, *ἀπόστολος*, νῦν τὸ, *δοῦλος*, προτέταχεν, εἰς εὐλάβειαν Ῥωμαίους ἐνάγων. Οὕτως γὰρ ἦσαν πεφρονηματισμένοι, ὡς ψηφίσματι θεοὺς ἀναγορεύειν, οὓς βουληθεῖεν. Ὅθεν, ὡς λόγος, γνωρίσαντος αὐτοῖς τοῦ κατὰ Ἰουδαίαν ἄρχοντος περὶ Χριστοῦ, «ὅτι Ἰησοῦν τινὰ γενόμενον ἐνταῦθα θαυματοποιὸν, μετὰ θάνατον ἐγηγέρθαι λέγουσι, καὶ θεὸν κηρύττουσιν,» ἀποψηφίσασθαι τοῦτο, διὰ τὸ παρὰ γνώμην αὐτῶν τετολμῆσθαι. Ἦν δὲ θείας οἰκονομίας, ὡς ἂν μὴ δόξῃ κατ' ἀνθρωπίνην καὶ τοῦτο κεκρατηκέναι σπουδήν. *Ἰησοῦ Χριστοῦ.*] Τὸ, *Ἰησοῦς*, τὸ ἀνθρώπινον δηλοῖ, τὴν δὲ τοῦ πνεύματος χρίσιν, τὸ, *Χριστός*.

1 Κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ,
2 (ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν
3 γραφαῖς ἁγίαις,) περὶ τοῦ υἱοῦ αὐτοῦ, (τοῦ γενο-
4 μένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα· τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ Πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν,) Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Εὐγνωμόνως ὁμολογεῖ, ὅτι οὐχ ἑκὼν προτῆλθεν, ἀλλὰ κληθεὶς· κληθεὶς δὲ οὐκ εἰς πίστιν μόνον, ἀλλὰ καὶ εἰς ἀποστολήν. *Ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ.*] Ἄλλος μέν φησιν ἐν ἄλλοις· ἐγὼ δὲ εἰς εὐαγγέλιον ἀφώρισμαι, ὅπερ θεὸν ὄντα τὸν

(α) Πραξ. ΙΓ', 9. (ι) Τοῦ Σίμωνος μὲν πρότερον καλουμένου, Κηφᾶ δὲ ὕστερον μετακληθέντος, ὃ ἑρμηνεύεται Πέτρος. Ἰωαν. Α', 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Χριστὸν εὐαγγελίζεται· τὸν γὰρ πατέρα προήδεσαν ἐκ τῆς Παλαιᾶς. Οὐδὲν δέ, φησιν, ἐρῶ σκυθρωπὸν, ὡς οἱ προφῆται, ἀλλ' εὐαγγελίζομαι θεὸν ἐνηνθρωπηκότα. *Ὃ προεπηγγείλατο.*] Μηδείς, φησι, καινοτομεῖν με νομίσῃ. Πάλαι ἐπήγγελτο τοῦτο τὸ εὐαγγέλιον. Τὸ δὲ, *ἐν γραφαῖς*, δηλοῖ, ὅτι οὐ μόνον ἔλεγον οἱ προφῆται, ἀλλὰ καὶ ἔγραφον. Οὐκ εἶπε δὲ, *περὶ υἱοῦ αὐτοῦ*, ἀλλὰ, *τοῦ υἱοῦ αὐτοῦ*, τὸν φύσει καὶ ἕνα καὶ κυρίως υἱὸν καὶ μονογενῆ δηλῶν. *Κατὰ σάρκα.*] Κατὰ γὰρ πνεῦμα, υἱὸς θεοῦ ἦν. *Τοῦ ὁρισθέντος.*] Τοῦ ἀποδειχθέντος καὶ ἀποφανθέντος διά τε τῶν προφητῶν, διά τε τῶν τοσούτων θεοσημειῶν, διά τε τῆς ἀναστάσεως. Τούτων γὰρ ἡ συνδρομὴ διορίζει αὐτὸν ἐκ τῶν ἄλλων ἁπάντων τῶν κατὰ χάριν κληθέντων υἱῶν. Διὸ καί τις, *τοῦ ὁρισθέντος*, τοῦ ἐπιγνωσθέντος φησὶ, καὶ εἰς γνῶσιν ἀνθρώποις ἐλθόντος. Εἰώθαμεν γὰρ δι' ὁρισμῶν τινῶν ἐπιγινώσκειν, ἃ βεβαίως καὶ οὐκ ἐν δισταγμῷ ἐπιστάμεθα. *Ἐν δυνάμει.*] Τουτέστιν, οὐ χάριτι, ὡς οἱ πολλοὶ, ἀλλὰ δυνάμει οἰκείᾳ, ἣν ἐνήργει ἐν ταῖς θεοσημείαις. *Κατὰ Πνεῦμα ἁγιωσύνης.*] Καὶ ἐκ τοῦ ἁγίου Πνεύματός φησιν, ὃ παρέχει τοῖς εἰς αὐτὸν πιστεύουσιν. *Ἐξ ἀναστάσεως.*] Καὶ ἐκ τῆς ἀναστάσεως, φησὶ, καὶ τῆς τοῦ θανάτου καταλύσεως· ἀναστάσεως δὲ, ἧς αὐτὸς ἀνέστη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

5 (Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν
πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος
6 αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ,)
7 πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς θεοῦ, κλητοῖς
ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ, πατρὸς
ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Οὐκ ἐξ οἰκείων, φησὶ, κατορθωμάτων ἐλάβομεν τὴν ἀποστολὴν, ἀλλὰ τὸ πᾶν χάριτος καὶ δωρεᾶς ἐστι. *Χάριν καὶ ἀποστολήν.*] Ἀντὶ τοῦ, χάριν εἰς ἀποστολήν. Καίτοι τοῦ πνεύματος ἡ ἀποστολὴ αὐτοῦ, ὡς ἐν ταῖς Πράξεσι κεῖται (α)·

(α) Πρα. Β', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ πάντα κοινὰ οἵδε τὰ τῆς ἁγίας Τριάδος. *Εἰς ὑπακοὴν πίστεως.*] Καὶ γὰρ οὐ δεῖ πολυπραγμονεῖν γέννησιν καὶ οὐσίαν θεοῦ, ἀλλὰ μόνον ὑπακούειν. *Ἐν πᾶσι τοῖς ἔθνεσιν.*] Εἰ γὰρ καὶ μὴ αὐτὸς πάντα περιῆλθεν, ἀλλὰ καὶ οὕτω πάντες εὐηγγελίσθησαν διὰ τῶν λοιπῶν ἀποστόλων. *Ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ.*] Ἡ γὰρ πίστις, εἰς τὸ ὄνομα αὐτοῦ γέγονεν· αὐτὸν γὰρ τὰ ἔθνη οὐκ ἐθεάσαντο, ἀλλὰ μόνον κηρυττομένου τοῦ ὀνόματος, ἐκεῖνοι ἐπίστευον. Ὄντως πλήρης ἦν χάριτος ἡ ἀποστολὴ τῶν μαθητῶν· ὅτι ἔπεισαν, ὑπακοῦσαι καὶ πιστεῦσαι τὰ ἔθνη τῷ Χριστῷ, καὶ ταῦτα ἄνθρωποι ἁλιεῖς καὶ ἀγράμματοι! *Ἐν οἷς ἐστὲ καὶ ὑμεῖς*] Τουτέστι, μεθ' ὧν ἐθνῶν καὶ ὑμεῖς ἐκλήθητε· οὐ γὰρ ἀφ' ἑαυτῶν, ἤκετε· καταστέλλει δὲ αὐτῶν τὸ φρόνημα, ὡσεὶ ἔλεγεν· Μὴ νομίσητε, ὡς βασιλεύουσα πόλις πλέον τι τῶν ἄλλων ἔχειν, ἀλλὰ μετὰ τῶν λοιπῶν ἐθνῶν ἐκλήθητε. *Πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς θεοῦ.*] Οὐ γάρ ἐστι παρ αὐτῷ διαστολὴ πλουσίου καὶ πένητος. Εἶτα ἐπειδὴ εἶπε, *πᾶσιν*, ἵνα μὴ εἴπωσι· Τί οὖν; Πάντας ὁμοτίμους ἠγῇ, καὶ ἀγαθοὺς καὶ φαύλους, καὶ πιστοὺς καὶ ἀπίστους; ἐπισυνῆψε· *Κλητοῖς ἁγίοις.*] Ἅπαντες γὰρ αὐτῷ οἱ ἅγιοι, ὁμότιμοι, καὶ διαστολὴ οὐκ ἔστιν ἐν αὐτοῖς. Πρῶτον δὲ τὸ, *ἀγαπητοῖς θεοῦ*, τέθεικεν, εἶτα τὸ, *κλητοῖς ἁγίοις*. Πόθεν ἐκλήθητέ φησιν; ἐκ ποίων πόνων; ἐκ ποίων κατορθωμάτων; πόθεν ἐστὲ ἅγιοι; ἀλλ' ἢ ἐκ μόνης τῆς ἀγάπης θεοῦ· αὐτὸς γὰρ δωρεὰν ἀγαπήσας ἡμᾶς, καὶ τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ἐκχέας, ἐκάλεσεν ἡμᾶς εἰς ἁγιασμὸν καὶ κληρονομίαν τῆς βασιλείας αὐτοῦ. Διὸ καὶ πανταχοῦ, *κλητοῖς*, λέγων, τῆς τοῦ θεοῦ ἡμᾶς εὐεργεσίας ἀναμιμνήσκει. *Χάρις ὑμῖν.*] Οὐδεὶς γάρ, φησιν, ἐξ ἔργων δύναται σωθῆναι. *Ἀπὸ θεοῦ πατρός.*] Ἡ γὰρ ἀπὸ θεοῦ χάρις καὶ εἰρήνη, τὸ βέβαιον ἔχει. Τὸ δὲ, *ἀπὸ πατρὸς*, τὴν υἱοθεσίαν ἐνδείκνυται.

8 Πρῶτον μὲ εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν κα-

9 ταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς γάρ μου
ἐστὶν ὁ θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν
τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως
10 μνείαν ὑμῶν ποιοῦμαι, πάντοτε ἐπὶ τῶν προσευχῶν
μου δεόμενος, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ
θελήματι τοῦ θεοῦ, ἐλθεῖν πρός ὑμᾶς.

Δεῖ γὰρ ἐξ εὐχαριστίας προοιμιάσασθαι· εὐχαριστεῖν δὲ, οὐ μόνον ὑπὲρ τῶν ἰδίων κατορθωμάτων, ἀλλὰ καὶ ὑπὲρ τῶν τοῦ πλησίον· τοῦτο γὰρ ἀγάπης. *Τῷ θεῷ μου.*] Ἀγάπης σημεῖον· τὸν γὰρ ἁπάντων θεὸν ἰδιοποιεῖται. *Διὰ Ἰησοῦ.*] Αὐτὸς γὰρ ἡμῖν αἴτιος τῆς εἰς τὸν πατέρα εὐχαριστίας, ὁ καὶ προσλαβόμενος ἡμᾶς, καὶ τῷ ἰδίῳ αἵματι πρὸς ἐκεῖνον καταλλάξας. *Ὅτι ἡ πίστις ὑμῶν.*] Τὴν γὰρ τῶν Ῥωμαίων πίστιν, οὐκ ἀπεικὸς ἦν λαλεῖσθαι παρὰ πάντων. *Μάρτυς γάρ.*] Εἰκότως τὸν θεὸν ἄγει μάρτυρα, ἀγνώστους ἀνθρώπους πείθειν βουλόμενος. *Ὧ, λατρεύω.*] Οἷον, ᾧ δουλεύω. Πολλὰ γὰρ εἴδη λατρείας· καὶ γὰρ καὶ ὁ προσευχόμενος, καὶ ὁ νηστείᾳ χρώμενος, καὶ ὁ τοῖς θείοις λόγοις προσέχων, καὶ μέντοι καὶ ὁ τῆς τῶν ξένων θεραπείας ἐπιμελούμενος, θεῷ λατρεύει. Ὁ δέ γε θεῖος ἀπόστολος λατρεύειν ἔφησε θεῷ, τὸ τοῦ υἱοῦ προσφέρων τοῖς ἔθνεσιν εὐαγγέλιον, καὶ λατρεύειν *ἐν τῷ πνεύματι*, τουτέστιν ἐν τῷ δεδομένῳ χαρίσματι. Ἢ, ὅτι οὐ τῇ ἐμῇ σπουδῇ ὑπῆρξέ μοι τὸ λατρεύειν θεῷ, ἀλλὰ τῇ τοῦ πνεύματος χάριτι. Ἢ, ὅτι οὐ σαρκική μου ἐστὶν ἡ λατρεία, ἀλλὰ πνευματική. Ἐκ τούτου δείκνυσι, κατὰ τὸ ἀναγκαῖον μεριμνῶν ὑπὲρ αὐτῶν, ὡς τὸν λόγον δεξαμένων, καὶ δέχεσθαι μελλόντων. *Ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ.*] Ὁρᾷς, ὅτι ἄνω εἰπὼν, *εἰς εὐαγγέλιον θεοῦ*, τοῦ Χριστοῦ ἔλεγεν; *Ὡς ἀδιαλείπτως*, καὶ τὰ ἑξῆς.] Ἀγάπης εἰλικρινοῦς τὸ μεμνῆσθαι, καὶ ἀδιαλείπτως τοῦτο ποιεῖν, καὶ μάλιστα ἐν προσευχαῖς. *Δεόμενος, εἴ πως.*] Καὶ γὰρ ἐλθεῖν ἠπείγετο, καὶ παρὰ τὸ θέλημα τοῦ θεοῦ τοῦτο πρᾶξαι οὐκ ἐβούλετο. Τὸ δὲ, *ἤδη ποτὲ*, ἀντὶ τοῦ,

Διμοσία Κεντρική Βιβλιοθήκη Βεμοίας

ὀψέποτε, ὅπερ ἐστι σφόδρα ἐπειγομένου. *Εὐοδωθήσομαι.*] Εὐκολίαν, φησὶ, σχοίην, καὶ ἐπὶ καλῷ τὴν πρὸς ὑμᾶς ὁδόν.

11 Ἐπιποθῶ γὰρ, ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα
12 ὑμῖν πνευματικὸν, εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

Οὐχ ἁπλῶς δέ, φησι, καὶ ἀνονήτως ἰδεῖν ὑμᾶς σπουδάζω· ἀλλ' ὥστε χάρισμα ὑμῖν μεταδοῦναι· λέγει δὲ τὴν διδαχὴν καὶ τὴν κατήχησιν· τοῦτο γὰρ, *τὸ στηριχθῆναι*, ὡς εἰκὸς, ἀκμὴν σαλευομένων αὐτῶν. Τὸ δὲ, *ἵνα τι*, μετριάζοντός ἐστιν, ὡσεὶ εἶπεν· *Ἵνα μικρόν τι.* Τὸ δὲ, *μεταδῶ*, δηλοῖ, ὅτι οὐκ ἐμόν τι δώσω, ἀλλ' ὅπερ καὶ ἐγὼ ἔλαβον. *Εἰς τὸ στηριχθῆναι ὑμᾶς.*] Οὐ γὰρ μικρὸν χάρισμα, τὸ μὴ σαλεύεσθαι τῇ πίστει. *Συμπαρακληθῆναι.*] Ἐπειδὴ στηριγμοῦ ἐμνήσθη, ἵνα μὴ λυπήσῃ αὐτοὺς, ὡς ὅτι σαλεύονται, ἐπάγει τὸ, *συμπαρακληθῆναι*, τουτέστιν, ἵνα καὶ ἐγὼ ὑμᾶς, καὶ ὑμεῖς ἐμὲ παρακαλέσητε· τῆς γὰρ ἀλλήλων, φησὶ, δεόμεθα παρακλήσεως, διὰ τῆς ἐνούσης ἡμῖν πίστεως. Σφόδρα δὲ μετριάζει. Ἔνι δὲ, καὶ οὕτω νοῆσαι τὴν παράκλησιν· Ἵνα ὑμεῖς μὲν παρ' ἐμοῦ εἰς τὴν πίστιν παρακληθῆτε, ἐγὼ δὲ εἰς εὐφροσύνην, ὁρῶν ὑμᾶς πεπιστευκότας. Ἢ οὕτω· Τὸ μεταδοῦναι ὑμῖν χάρισμα, οὐκ ἔστιν ἐμὸν μόνον ἢ τῆς ἐμῆς προαιρέσεως καὶ διακονίας, ἀλλὰ κοινὸν ἐμοῦ τε καὶ ὑμῶν· τῆς διακονίας μὲν τῆς ἐμῆς, τῆς δὲ ὑπουργίας τῆς ὑμετέρας. Καὶ οὐδὲ τότε ἁπλῶς, ἀλλὰ *διὰ τῆς ἐν ἀλλήλοις πίστεως.* Πῶς, καὶ τίνα τρόπον; Ἐὰν αὐτοὶ ἔχητέ, φησι, πίστιν τοῦ λαβεῖν τὸ χάρισμα, ἐγώ τε πάλιν πίστιν τοῦ δοῦναι ὑμῖν. Ἐὰν γὰρ ἐγὼ μὲν πίστιν ἔχω τοῦ δοῦναι, καὶ πολὺν ἀγῶνα καὶ σπουδὴν, ὑμεῖς δὲ οὐκ ἔχητε πίστιν τοῦ λαβεῖν, οὐδὲ ἐπιθυμίαν καὶ ἐπιμέλειαν περὶ τὸ λαβεῖν, οὐ παραγίνεται ὑμῖν, κἂν ἐγὼ βούλωμαι, τὸ χάρισμα τὸ πνευματικόν. Δεῖ οὖν ἀμφότερα συνδραμεῖν, καὶ τὸ ἐξ ἐμοῦ, καὶ τὸ ἐξ ὑμῶν. Τότε γὰρ αὐτοὶ πίστιν ἕξετε τοῦ λαβεῖν καὶ

ἐπιθυμίαν, ὅτε ἀξίους ἑαυτοὺς παρασκευάσετε τῆς δωρεᾶς δι' ἔργων ἀγαθῶν. Λαμβανόντων δὲ ὑμῶν τὸ χάρισμα, δῆλον ὅτι παρακαλούμεθα καὶ εὐφραινόμεθα ἐν ἀλλήλοις· κοινὸν γὰρ τὸ κέρδος· πολλῶν γὰρ πιστῶν σύνοδος, μεγίστην ἐργάζεται παράκλησιν. Ἢ, Ὑμῶν μὲν ἀξιόπιστον εἰς τὸ κηρύξαι καὶ διδάξαι ὑπολαμβανόντων ἐμέ, ἐμοῦ δὲ πάλιν, ἀξιοπίστους εἰς τὸ ἐμπιστευθῆναι τὰ λόγια τοῦ θεοῦ, καὶ τὴν τελειοτέραν κρίναντες διδασκαλίαν. Ἢ, Ἐμοῦ μὲν ὁρῶντος προθύμως ὑποδεχομένους ὑμᾶς τὸ κήρυγμα, ὑμῶν δὲ πάλιν ὁρώντων τὴν ἐμὴν περὶ αὐτὸ ἐπιμέλειαν καὶ σπουδήν. Συντελεῖ δὲ τοῦτο εἰς μείζονα πληροφορίαν τῆς πίστεως ἑκατέροις, ὅταν ὁ μὲν κηρύσσων, ὁρᾷ τὰς τῶν ἀνθρώπων ψυχὰς παραδόξως εἰς ὑπακοὴν ἑλκομένας· μᾶλλον γὰρ ῥώννυται εἰς τὸ κηρύσσειν· καὶ ὅταν πάλιν ὁρῶσιν οἱ μαθηταὶ, σὺν ἐλπίδι βεβαίᾳ τὸν κήρυκα τὴν πίστιν παραδιδόντα, μᾶλλον ὑποδέχονται ταύτην, καὶ οὕτω διὰ τῆς ἐν ἀλλήλοις πίστεως ἑκάτεροι παρακαλοῦνται.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, (καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο,) ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς
14 καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί·
15 οὕτω, τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν, τοῖς ἐν
16 Ῥώμῃ, εὐαγγελίσασθαι. Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

Εἰ οὖν εὖχῃ ἐλθεῖν, καὶ ἐπὶ ὠφελείᾳ ἔρχῃ, τί μὴ παραγένῃ; *Ἐκωλύθην*, φησίν. Οὐκέτι δὲ περιεργάζεται τὴν αἰτίαν τῆς κωλύσεως· οὐ γὰρ ἡμῶν τὸ ἀπαιτεῖν εὐθύνας θεὸν, ὧν κελεύει, ἀλλὰ μόνον ὑπακούειν. *Ἵνα τινὰ καρπόν.*] Πάντως εἴποι τις ἄν· Διὰ τοῦτο ἐκωλύθης, ὅτι οὐ κατὰ θεὸν, ἐλθεῖν ἐβούλου. Οὐ μενοῦν, φησι· καρπὸν γὰρ σχεῖν καὶ ἐν ὑμῖν ἤθελον· καρπὸν λέγων, τὸ εἰς πίστιν αὐτοὺς ἐναγαγεῖν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἢ τὸ, *ἵνα τινὰ καρπὸν σχῶ*, καθ' ὑπερβατὸν εἴρηται· τὸ γὰρ ἀκόλουθον εἴη ἄν· *Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν· ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο.* Ἀλλ' εἴποι τις, ὅτι· Εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ κόσμῳ κατηγγέλλετο, τίνα καρπὸν αὐτὸς ἤθελε, παραγενόμενος, παρασχεῖν; Ἀλλὰ πολὺν μὲν οὖν, ἐροῦμεν. Εἰ γὰρ καὶ ἐπεπιςεύκεισαν, παμπόλλων ὅμως ἐδέοντο. Καὶ τοῦτο δηλοῦται καὶ δι' ὅλης τῆς ἐπιστολῆς, καὶ πρὸ ὀλίγου λέγοντος, *εἰς τὸ στηριχθῆναι ὑμᾶς*· καὶ ἡνίκα μὴ κρίνειν ἀλλήλους παραινεῖ, καὶ ἄλλα μυρία. *Ἵνα τινὰ καρπὸν σχῶ*, φησι, τοῦτο μὲν δεικνὺς, ὅτι ὁ ἐκείνων καρπὸς, οἰκεῖος ἐλογίζετο καρπὸς τῷ Παύλῳ. Οὕτω γὰρ ἔχαιρεν ἐν τοῖς τοῦ πλησίον κατορθώμασιν, ὥςτε αὐτὸς ἔχειν ἡγεῖτο τὸν καρπόν· τοῦτο δὲ, ὅτι ἕνεκεν τῆς αὐτῶν ὠφελείας, τὴν πρὸς αὐτοὺς ἔσπευδε στείλασθαι πορείαν. Ἄλλως τε καὶ Παύλου καρπὸς ἦν ἀληθῶς ὁ ἐκείνων καρπός· ἐπεὶ γὰρ ἔργον ἦν αὐτῷ καὶ σπουδὴ τὸ καρποφορεῖν τὰ ἔθνη, καλῶς ἐν τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου ἐδείκνυτο καρποφορία. Ἀλλ' οὕτω μὲν ταῦτα. Ἔςι δὲ καὶ μὴ καθ' ὑπερβατὸν τὸ χωρίον ἐκλαβομένους, ἀλλ' ὡς ἔχει τάξεως παρειληφότας, τοιοῦτον ἐν αὐτῷ θηρᾶσθαι τὸν νοῦν· *Ἐκωλύθην ἄχρι τοῦ δεῦρο.* Διὰ τί; Ἵνα μὴ θᾶττον ἐλθὼν, ἀκάρπους ὑμᾶς ἔτι καταλάβω· διὸ καὶ ἀνεβαλόμην τὴν παρουσίαν, ἕως οὗ καὶ ἐν ὑμῖν καρπόν τινα βλαστάνοντα τῆς πίστεως ἄξιον καὶ τελεσφορούμενον μάθω. Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν· *Ἐκωλύθην ἄχρι τοῦ δεῦρο.* Διὰ τί; Ὅτι καρπόν τινα ἔτι μοι συνέλεγον λείποντα. Καὶ ταύτην τὴν ἔννοιαν ἐπὶ τέλει τῆς ἐπιστολῆς ἐστι βεβαιουμένην ἰδεῖν, ὥσπερ ἐπιλογιζομένου τοῦ ἀποστόλου τὰ προοιμιασθέντα. Καὶ γάρ φησι· « Διὸ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς. Νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις, ἐλεύσομαι πρὸς ὑμᾶς (α). » Ὥστε ὁ

(α) Ῥωμ. ΙΕ', 22. 23ι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕως τοῦ νῦν ἐλπιζόμενος εἰς συλλογὴν καρπὸς ἐν τοῖς ἄλλοις κλίμασιν, ἐκώλυσεν αὐτὸν ἐπὶ Ῥώμην δραμεῖν, ἀτέλεστον ἐν ἐκείνοις τὸ ἔργον καταλιπόντα. Εἶτα τὸ, *καὶ ἐν ὑμῖν*, καὶ τὰ ἑξῆς, ὥσπερ ἀντιπίπτοντος λύσις ἐστίν. Οἷον· Τί; ἐν ἡμῖν οὐ μέλλει σοι καρπὸν σχεῖν; Ναί, φησι, καὶ ἐν ὑμῖν τοῦτο σπεύδω, τοῦτο ἐπιζητῶ, ὀφειλέτης εἰμί, χρεωστῶ πᾶσιν. *Καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν.*] Τῷ συνάπτειν αὐτοὺς τοῖς λοιποῖς, καταστέλλει αὐτῶν τὸ φρόνημα. *Ἕλλησί τε καὶ βαρβάροις.*] Ὥσπερ, φησὶν, Ἕλλησι καὶ βαρβάροις, οὕτω καὶ ὑμῖν ὀφειλέτης εἰμί. *Ὀφειλέτης εἰμί.*] Οὐδὲν ἴδιον, φησὶ, δίδωμι· ὀφειλέτης εἰμὶ πᾶσιν εὐαγγελίσασθαι, καὶ πληρῶσαι τὴν δοθεῖσάν μοι ἐντολήν. *Οὕτω τὸ κατ' ἐμέ.*] Ὥσπερ, φησὶν, Ἕλλησι καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμὶ, οὕτως, ὅσον ἧκεν εἰς τὴν ἐμὴν σπουδὴν καὶ προθυμίαν, καὶ ὑμῖν εὐαγγελίσασθαι χρεωστῶ. Τὸ γὰρ, *Ὀφειλέτης εἰμί*, ἀπὸ κοινοῦ δεκτέον. *Οὐ γὰρ ἐπαισχύνομαι.*] Ἐπεὶ δὲ τοῖς ἀπίστοις πολλὰ ἄδοξα δοκεῖ εἶναι ἐν τῷ εὐαγγελίῳ, οἷον ὁ σταυρὸς, ὁ θάνατος, ἡ τῶν Ἰουδαίων παροινία, τέως αὐτοὺς τοῦτο διδάσκει, μηδὲν ἐν αὐτῷ ἄδοξον ὑπονοεῖν, καὶ διὰ τοῦτο αἰσχύνεσθαι. Εἶτα λοιπὸν προβαίνων καὶ ἐξαίρει τὸ εὐαγγέλιον.—Καὶ ἄλλως. Ἐπειδὴ ἐπὶ πολλοῖς προτερήμασιν οἱ Ῥωμαῖοι μέγα ἐφρόνουν, οἷον πλούτῳ, δυναστείᾳ, σοφίᾳ, Ὑμεῖς μέν, φησιν, ἐπὶ τούτοις μέγα φρονεῖτε· ἐγὼ δὲ θεὸν κηρύξων ἔρχομαι ἐν μέσῳ ὑμῶν, καὶ οὐκ αἰσχύνομαι. Διὰ τί; *Δύναμις γὰρ θεοῦ ἐστιν, εἰς σωτηρίαν* τῶν δεχομένων. Καλῶς δὲ τὸ, *εἰς σωτηρίαν*. Ἓνι γὰρ καὶ εἰς τιμωρίαν δύναμις θεοῦ. *Εἰς σωτηρίαν* δὲ, οὐ παντὶ, ἀλλὰ *τῷ πιστεύοντι*· τοῖς γὰρ ἀπειθοῦσι, κόλασιν ἀπειλεῖ τὸ εὐαγγέλιον.—*Ἰουδαίῳ τε πρῶτον.*] Ῥήματος μόνον τιμὴ τὸ, *πρῶτον*, οὐ χάριτος πλεονασμός. Ὁ γὰρ Ἰουδαῖος ἀπαιτεῖται πρῶτον πιστεύειν, ἅτε δὴ κατηχημένος τὰ περὶ τοῦ Χριστοῦ ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν, μᾶλλον τῶν ἐθνῶν· καὶ ὅτι, εἰ καὶ ἐπὶ κοινῇ τοῦ ἀνθρωπίνου

γένους σωτηρίαν ἐπεδήμησεν ὁ Χριστός, ἀλλ' οὗν ἐν τοῖς Ἰουδαίοις καὶ ἐγεννήθη, καὶ ἐπολιτεύσατο, καὶ ἐδίδαξε, καὶ τὰς θεοσημείας ἐν αὐτοῖς εἰργάσατο, δι' ἃ πάντα ὀφειλέται εἰσὶν Ἰουδαῖοι, πρῶτοι πιστεύειν εἰς Χριστὸν, ὕπερ τὰ ἔθνη.

17 Δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται· « Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται (α). »

Ἵνα γὰρ μὴ, σωτηρίαν καὶ δικαιοσύνην ἀκούων, ἐνταῦθα μόνον αὐτὴν συμβαίνειν νομίσῃς, ἐπάγει τὸ, *ἀποκαλύπτεται*, ὅπερ τὴν ἐκεῖ δηλοῖ, ὡς νῦν αὐτῆς μὴ πάσης πεφανερωμένης. *Ἐν αὐτῷ ἀποκαλύπτεται.*] Τῷ εὐαγγελίῳ, δηλονότι. *Δικαιοσύνη γὰρ θεοῦ*, φησὶν, *ἐν τῷ εὐαγγελίῳ ἀποκαλύπτεται*· τουτέστιν, ἅπασα ἡ ἀρετὴ διὰ τοῦ εὐαγγελίου τελειοῦται. *Δικαιοσύνην* γὰρ πολλάκις εἴωθε πᾶσαν λέγειν τὴν ἀρετήν. Πῶς δὲ ἀποκαλύπτεται, καὶ τίσι; Τοῖς ἐκ πίστεως τῷ εὐαγγελίῳ προσιοῦσι. Πᾶσι μὲν γὰρ κηρύττει τὴν ἀρετὴν τὸ εὐαγγέλιον, καὶ πᾶσι παραινεῖ, ἀντέχεσθαι τῆς ἀρετῆς· ἐκείνοις δὲ ἀποκαλύπτει τὸ κάλλος τῆς ἀρετῆς, καὶ ἐκείνους ποιεῖ ἐραστὰς αὐτῆς, τοὺς μετὰ πίστεως προσιόντας. Τί οὖν; παύεται ἡ πίστις, τῆς ἀρετῆς κατορθουμένης; Οὐμενοῦν· ἀλλὰ καὶ εἰς τὸ πλειότερον καὶ ὑψηλότερον πρόεισιν. Ἡ μὲν γὰρ πρώτη πίστις, κατάνυξίς τις ἦν καὶ προθυμία ψυχῆς· ἡ δὲ τῇ τῶν ἀρετῶν ἐργασίᾳ συναυξηθεῖσα καὶ τελειωθεῖσα πίστις, βεβαίωσις ἐστὶν ἀμετάπειστος καὶ πληροφορία. Καὶ ἡ μὲν ἔοικε καταβολῇ σπέρματος, ἡ δὲ, καρποφορίᾳ, ἡ τῶν ἀρετῶν ἐργασία· ἡ δὲ δι' αὐτῶν τελειωθεῖσα πίστις, ἀπολαύσει καὶ εὐδαιμονίᾳ. Οὕτως οὖν δικαιοσύνη θεοῦ ἀποκαλύπτεται ἐν τῷ εὐαγγελίῳ ἐκ πίστεως εἰς πίστιν. Καλεῖ δὲ θεοῦ δικαιοσύνην τὴν ἀρετὴν, ὅτι θεῖόν τί ἐστιν ἡ ἀρετὴ, καὶ ὅτι πάντα τὰ ἀγαθὰ ἐκ θεοῦ. *Ἐκ πίστεως εἰς πίστιν.*] Ἀπὸ πίστεως ἄρχεται, καὶ εἰς τὸν πι-

(α) Ἀβακ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πιστεύσαντα λήγει. Ἢ ὅτι ἐκ πίστεώς τε ἄρχεται, καὶ εἰς πίστιν ὀφείλει λῆξαι, ὡς οὐκ ὀφειλόντων ἡμῶν ἅπαντα τὰ ἐν αὐτῷ περιεργάζεσθαι. Ἢ οὕτω· Δεῖ πιστεῦσαι τοῖς προφήταις, καὶ δι' ἐκείνων εἰς τὴν τοῦ εὐαγγελέου πίστιν ποδηγηθῆναι. Ἄλλως· Ὁ γὰρ τῷ δεσπότῃ πιστεύων Χριστῷ, καὶ τοῦ βαπτίσματος τὴν χάριν δεξάμενος, ποδηγεῖται διὰ τούτων εἰς τὸ πιστεῦσαι τοῖς μέλλουσιν ἀγαθοῖς, τῇ ἐκ νεκρῶν ἀναστάσει, τῇ αἰωνίῳ ζωῇ, καὶ τῇ βασιλείᾳ τῶν οὐρανῶν. Πιστεύειν γὰρ δεῖ, ὅτι θεὸς ἐφάνη ἐπὶ γῆς μετὰ σαρκός, ὅπερ ἐστὶν ἀρχή· καὶ πάλιν, ὅτι ἔσται τοῖς πιστεύσασιν εἰς κλῆρον ἡ βασιλεία τῶν οὐρανῶν, ὅπερ ἐστὶ πίστεως τέλος. Ἢ οὕτω· Τῷ μὲν Ἰουδαίῳ ἐκ τῆς τοῦ νόμου πίστεως, εἰς τὴν διὰ Ἰησοῦ Χριστοῦ· τῷ δὲ Ἕλληνι, ἐκ τῆς τοῦ φυσικοῦ εἰς τὴν αὐτὴν Ἰησοῦ Χριστοῦ πίστιν. *Καθὼς γέγραπται.*] Ἵνα γὰρ μὴ δόξῃ ἀπίθανον εἶναι τὸ ῥῆμα, ὅτι πίστις σωτηρίαν δωρεῖται καὶ δικαιοσύνην, μαρτυρίαν παράγει τῶν εἰρημένων καὶ ἀπόδειξιν, τὴν προφητικὴν ῥῆσιν, τὴν τῷ Ἀββακοὺμ εἰρημένην. Τοιοῦτον δέ τι φησί· Καλῶς εἶπον, τὸ σπουδαῖον ἐκ πίστεως εἰς πίστιν προϊέναι δι' ἀρετῆς· καὶ γὰρ ὁ Ἀββακοὺμ ἄνωθεν τοῦτο διὰ τοῦ αὐτοῦ πνεύματος βοᾷ, ὅτι ὁ σπουδαῖος ἄνθρωπος ἐκ πίστεως ζῇ, τουτέστι, πᾶσαν τὴν ζωὴν αὐτοῦ, πίστει παρατεινομένην ἔχει, Ἢ οἰκειότερον· Ἐπεὶ ζωὴ ἀληθινὴ τῷ δικαίῳ τὸ θάλλειν καὶ ἀναζῆν ἐν τῇ κτήσει τῶν ἀρετῶν, *ὁ δίκαιος*, φησὶν, ἤτοι ὁ σπουδαῖος, *ἐκ πίστεως ζήσεται* τὴν κατὰ τὰς ἀρετὰς ζωήν. Καὶ εἴη ἂν τὸ, *Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται*, κατασκευαστικὸν τοῦ, *ἀποκαλύπτεται δικαιοσύνη ἐκ πίστεως*. Ἀλλ' οὕτω μὲν ταῦτα. Εἰ δὲ τὸ, *δικαιοσύνη θεοῦ*, οὐχὶ τὴν ἐν ἀνθρώπῳ παρὰ θεοῦ διδομένην ἐκλάβοι τις, ἀλλ', ἐγγύτερον τῆς λέξεως, τὴν ἐνοῦσαν τῷ θεῷ, καὶ ἐνεργουμένην ὑπ' αὐτοῦ, τοιοῦτόν τινά μοι δοκεῖ ἀνακαλύπτειν νοῦν, ὅτι ἡ τοῦ θεοῦ δικαιοσύνη, ἣν περὶ ἡμᾶς ἐπιδείκνυται, φιλανθρωπίας ὄρῳ καὶ νόμῳ, ἐν τῷ εὐαγγελίῳ αὐτοῦ δείκνυται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πῶς, καὶ τίνα τρόπον; Ὅτι ἐκ μόνης πίστεως ἡμᾶς σώζεις, καὶ νεκρωθέντας ἤδη ζωοποιεῖ, μὴ προεπιδειξαμένους ἔργα. Καὶ τοῦτο προϊὼν καὶ ὁ Παῦλος ἐμφανέστερον παριστᾷ, ἐν οἷς φησί, « καὶ δικαιοῦντα τὸν ἐκ πίστεως (α)· » καὶ πάλιν· « δικαιωθέντες οὖν ἐκ πίστεως (β)· » καὶ πάλιν· « ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, εἶτα καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, σωθήσῃ (γ). » Τοῦτο οὖν δικαιοσύνης θεοῦ, νικώσης φιλανθρωπίαν ἀνθρωπίνην, τὸ ἐκ μόνης πίστεως, νεκρωθέντας ἡμᾶς ταῖς ἁμαρτίαις ἤδη, ἀνεγεῖραι καὶ ζωοποιῆσαι. Ὥστε καλῶς προεῖπεν, ὅτι δύναμίς ἐστι τὸ εὐαγγέλιον εἰς σωτηρίαν τῷ πιστεύοντι· καὶ γὰρ δυναμοῦται ὁ πιστεύσας διὰ τῆς ἐν αὐτῷ ἀποκαλυπτομένης δικαιοσύνης· διὰ δὲ τῶν πιστευόντων, ἀποκαλύπτεται καὶ φανεροῦται. Ἀλλ' εἰς τί ζωοποιεῖται, φησίν, ὁ πιστεύσας; Εἰς τὴν τελειοτάτην καὶ κατὰ ἀμετάσειστον ἕξεως ἰσχὺν πίστιν. Ἐκ γὰρ πίστεως εἰς πίστιν ἡ ζωοποίησις. Δυνατὸν δὲ καὶ ἄλλως νοῆσαι· Ἡ τοῦ θεοῦ δικαιοσύνη διὰ τοῦ εὐαγγελίου ἀποκαλύπτεται· ὅτι λαμβάνων ὁ θεὸς παρ' ἡμῶν ἀρχὴν μόνον καὶ σπέρμα πίστεως, αὐτὸς αὐξάνει καὶ ἐδράζει, καὶ τελειοποιεῖ ἡμᾶς εἰς αὐτὴν ταύτην. Τοῦτο δικαιοσύνη ὡς ἀληθῶς θεοῦ, τὸ μόνον ἀφορμὴν προαιρέσεως λαβόντα, αὐτὸν ἀπαρτίσαι τὸ πᾶν. Ἀνωτέρω γὰρ λέγοντος τοῦ Παύλου, « ὅτι δύναμις ἐστὶ τῷ πιστεύοντι εἰς σωτηρίαν τὸ εὐαγγέλιον· » ἵνα μή τις εἴπῃ· Καὶ πῶς ἔνι πιστεῦσαι ἀκούοντα σταυρὸν, ἀκούοντα θάνατον, ἀκούοντα πάθη; ἐπάγει τὸ, *Δικαιοσύνη θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.* Μὴ οὖν, φησι, ταῦτα προφασίζου· ἐὰν γὰρ μόνον προαιρεθῇς, τότε μᾶλλον ἔχεις θαυμάσαι τὴν τοῦ θεοῦ περὶ σὲ κηδεμονίαν καὶ πρόνοιαν· ὅτι τὴν ἀπὸ γνώμης πίστιν λαβὼν, αὐτός σοι χορηγεῖ τὴν ἐκ πληροφορίας πίστιν καὶ βεβαιώσεως. Εἶτα, ἵνα μὴ νομίσῃς, ὅτι καινόν τι λέγει καὶ πρόσφατον, τὸν προφή-

(α) Ῥωμ. Γ', 26. (β) Ῥωμ. Ε. 1. (γ) Ῥωμ. Ι. 9.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν παράγει μάρτυρα. Τὸ αὐτό μοι φησὶ καὶ ὁ προφήτης Ἀββακοὺμ ἔκπαλαι, ὅτι ἡ τοῦ δικαίου ζωὴ, πίστει περιλαμβάνεται καὶ περατοῦται, ἀρχομένη μὲν ἀπὸ τῆς κατὰ προαίρεσιν πίστεως, τελειουμένη δὲ καὶ προϊοῦσα εἰς τὴν κατὰ θείαν συνέργειαν καὶ ἀποκάλυψιν πίστιν. Διόπερ ἀεὶ ὁ δίκαιος ἐκ πίστεως ζῇ. Τὸ δὲ, ζήσεται, καλῶς εἴρηται. Τουτέστιν, ὁ δίκαιος οὐ ζῇ μὲν ἐκ πίστεως, παύεται δὲ, ἀλλὰ διὰ παντὸς ζήσεται ἐν αὐτῇ, προκόπτων καὶ στηριζόμενος. *Ζήσεται* δὲ εἶπε, καὶ οὐκ ἄλλό τι, οἷον προκόπτει, ἢ στηρίζεται, ἢ ἄλλό τι, τὴν ὑποτεταγμένην διάθεσιν δηλῶν· ὅτι οὐδὲ ζῆν αἱρήσεται, οὐδ' ἀναπνεῖν, χωρὶς πίστεως.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ κρίσεως τῆς κατὰ ἐθνῶν, τῶν μὴ φυλασσόντων τὰ νόμιμα.

18 Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν
ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, τῶν τὴν ἀλήθειαν ἐν
19 ἀδικίᾳ κατεχόντων. Διότι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ θεὸς αὐτοῖς ἐφανέρωσε·

Ἀποκαλύπτεται.] Ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ. *Πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν.*] Ἡ μὲν γὰρ δικαιοσύνη μονοειδὴς, ποικίλη δὲ ἡ περὶ τὰ δόγματα ἀσέβεια, καὶ ἡ περὶ τὴν πολιτείαν κακία. *Ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων.*] Ἀλήθεια μὲν, ἡ τοῦ θεοῦ γνῶσις· ἀδικία δὲ, ἡ τῶν εἰδώλων ἀπάτη. Ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅσοι τὸ σέβας τοῦ θεοῦ περιάπτουσιν εἰδώλοις. Τὸ δὲ, *κατεχόντων*, οἷον φυλαττόντων, ἢ καλυπτόντων, γνώμης πονηρίᾳ ἐπισκοτιζόντων. Ῥᾴδιον γὰρ, εἴπερ ἐβούλοντο, ἀπὸ τῶν ὁρωμένων, καὶ ἑαυτοὺς καὶ ἑτέρους ὠφελῆσαι εἰς θεογνωσίαν. Οἱ δὲ μᾶλλον δι' αὐτῶν τούτων συνεκάλυψαν καὶ κατέσχον, μὴ διαλάμψαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τὴν θεογνωσίαν· αὐτὰ ταῦτα θεοποιήσαντες, καὶ ἀδικήσαντες, ὅσον ἐπ' αὐτοῖς, τήν τε τῆς θεογνωσίας ἀλήθειαν καὶ ἑαυτούς, καὶ αὐτά γε δὴ, ἅπερ τιμᾷν ἔδοξαν. Δῆλον δὲ, ὅτι τοὺς τῶν Ἑλλήνων σοφοὺς ἐπιπλήττει, καὶ τοὺς ὁμοίους ἐκείνοις. *Διότι τὸ γνωστὸν τοῦ θεοῦ.*] Ἡ γὰρ γνῶσις τοῦ θεοῦ φανερά, φησι, ἐν αὐτοῖς καὶ πᾶσι. Διὰ γὰρ τῆς ὁρωμένης κτίσεως, ὁ ἀόρατος θεὸς γινώσκεται. Τοιγαροῦν οἱ τοιοῦτοι, ἑκόντες ἀποπλανῶνται. *Τὸ γνωστὸν*, ὅπερ δυνατόν ἐστι γνωσθῆναι· ὅτι ποιητὴς, ὅτι προνοητὴς, καὶ τὰ ὅμοια. *Φανερόν ἐστιν ἐν αὐτοῖς.*] Διὰ τοῦ κάλλους καὶ μεγέθους τῆς κτίσεως. *Ὁ γὰρ θεὸς αὐτοῖς ἐφανέρωσε.*] Τῷ τὴν κτίσιν προθεῖναι πᾶσι διδάσκαλον τῆς οἰκείας μεγαλειότητος. « Οἱ οὐρανοὶ γάρ, φησι, διηγοῦνται δόξαν θεοῦ (α). ».

20 (Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα, καθοραται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης·) εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους.

Ἐπειδὴ εἶπεν, ὅτι τὴν ἰδίαν γνῶσιν ὁ θεὸς αὐτοῖς ἐφανέρωσεν, αὐτοὶ δὲ αὐτὸν ἑκόντες παρέδραμον, νῦν τοῦτο ἀποδείκνυσι, καὶ φησὶν, ὅτι δι' ὧν ἐποίησεν ὁ θεὸς, οἷον διά τε τῶν ἀοράτων, διά τε τῶν ὁρατῶν, ἔδειξεν ἑαυτοῦ τὸ μεγαλεῖον. Ἡ κτίσις γὰρ καὶ φωνὴν μὴ ἀφιεῖσα, διὰ τῆς ὄψεως τὸν δημιουργὸν ἀνακηρύσσει. *Ἀόρατα* δέ φησιν ἀγγέλους καὶ πᾶσαν τὴν ἐν οὐρανοῖς δύναμιν· *ποιήματα* δὲ, τὰ ὁρώμενα, οἷόν οὐρανὸν, γῆν, θάλασσαν. Ὅρα οὖν, τί φησι· Τὰ ἀόρατα αὐτοῦ διὰ τῶν ὁρατῶν γίνεται δῆλα. Ὁ γὰρ οὐρανόν, φησιν, ὁρῶν, ἐνθυμηθήσεται πάντως, ὅτι καὶ ἐντὸς αὐτοῦ ἐστι τινὰ λειτουργικὰ πνεύματα. Ὥστε τὸ ἀφανὲς, ἐκ τοῦ φανεροῦ σαφηνίζεται. Ἵνα γὰρ μὴ συναΐδίους θεῷ νομίσῃς τοὺς ἀγγέλους, ὑπὸ κτίσιν αὐτοὺς ἄγει. Τὰ ἀόρατα γάρ, φησιν, οἷον ἄγγελοι, καὶ αἱ

(α) Ψαλμ. ΡΗ', 1.

ἄλλαι ἀσώματοι οὐσίαι. Ποῖα ταῦτα; Τὰ ἀπὸ κτίσεως κόσμου εἰς γένεσιν παραχθέντα· ἢ, ἀπὸ τῆς τοῦ κόσμου κτίσεως καταλαμβάνεται καὶ καθορᾶται. Πῶς; καὶ αὐτὰ ἐν τοῖς ποιήμασι νοούμενα καὶ συναριθμούμενα. Καθ' ὑπερβατὸν οὖν ἡ σύνταξις. Ἢ, *τοῖς ποιήμασι νοούμενα*, ἀντὶ τοῦ, ἐν αὐτοῖς τοῖς ποιήμασιν ἐνεῖναι, καὶ τῇ τοῦ θεοῦ βουλήσει ὑπηρετεῖν, καὶ πληροῦν τὰ κελευόμενα. Ἢ, *ἀόρατα αὐτοῦ*, λέγει, αὐτὸ τὸ ἀόρατον αὐτοῦ τῆς οὐσίας. Καὶ πῶς ἕνι, φησὶ, τὸ θεῖον, ἀόρατον ὄν, κατιδεῖν καὶ κατανοῆσαι; Ναί· ἔστι, φησὶ, καὶ ἀπὸ τῶν κτισμάτων αὐτοῦ κατιδεῖν αὐτοῦ τὴν θεότητα καὶ τὴν δύναμιν. *Ἤτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.*] Ἀπὸ κοινοῦ νοουμένου τοῦ, *καθορᾶται*. Πῶς δὲ γινώσκεται διὰ τῆς δημιουργίας ἡ ἀΐδιος αὐτοῦ δύναμις; Ὅτι φθαρτὴν ἐχόντων τὴν φύσιν τῶν παρηγμένων εἰς γένεσιν, καὶ κεκλημένων ἐν χρόνῳ πρὸς ὕπαρξιν, ἔσται που πάντως ὁ τούτων δημιουργὸς ἄφθαρτος καὶ ἀΐδιος. Ἢ οὕτως· Ἀπὸ τῆς τοῦ κόσμου κτίσεως ἡ θειότης τοῦ θεοῦ καὶ ἀΐδιος δύναμις γινώσκεται. Εἰδέ τις τὸν κάσμον καὶ τὰ ἐν αὐτῷ, ἀςέρων κάλλη καὶ μέγεθος, δρόμον σελήνης καὶ ἡλίου, τάξιν καὶ εἰρμὸν ἀπαράβατον· οὐχ ἡμέραν σελήνη ποεῖ, οὐδὲ τὴν νύκτα ἥλιος· ὁ αἰθὴρ τὸν οἰκεῖον τόπον φυλλάττει, καὶ ὁ ἀὴρ ὁμοίως· ἔςηκεν ἐν μέσῳ ἡ γῆ, οὐκ ἔχουσα τὸν ὑπερείδοντα βάρος ἄπειρον· ἐγκέχυται αὐτῇ τὸ ὕδωρ καὶ περικέχυται, βάρους προσθήκη· ἀλλ' ὅμως ἔστηκεν ἀκίνητος, τὴν κατέχουσαν ἀνακηρύττουσα δύναμιν· φέρει καρποὺς μυρίους, καὶ ἰδέαις καὶ δυνάμεσι διαφέροντας, μία οὖσα· γῆ οὖσα, τρέφει ζώων γένη ἄπειρα· ἀλλὰ καὶ καιρῶν εὐτάκτους μεταβολὰς, καὶ ὑετοὺς ἐτησίους, καὶ τὰ δακοῦντα πάθη, σεισμοὺς, κεραυνοὺς, καὶ εἴ τι τούτων ἐπισκοπήσεις, εἰς τὸν δημιουργὸν παραπέμπει τὸν προσέχοντα. Τί τὸ συνέχον; τί τὸ κρατοῦν; Ἔστιν ἄρα γνῶναι σαφῶς ἀπὸ τῆς κτίσεως, ὅτι ἔστι δημιουργὸς, ὅτι προνοητὴς, ὅτι παντοδύναμος, ὅτι ἀγαθὸς; ἀγαθοῦ γὰρ ἡ δημιουργία καὶ ἡ πρόνοια· ὅτι ἀΐδιος· τῷ γὰρ παντοδυνάμῳ τίς

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιβουλεύσει; Οὕτως οὖν ἡ θειότης αὐτοῦ καὶ ἀΐδιος δύναμις ἐν τοῖς ποιήμασι καθοράται. Οὕτως ἀπὸ τῆς τοῦ κόσμου κτίσεως, ἡ τοῦ θεοῦ γνῶσις τοῖς ἀνθρώποις ἐγγίνεται. Οὕτω τὸ γνωστὸν αὐτοῦ ἐν πᾶσιν ἐφανέρωσε. Τὸ γὰρ γνωστὸν τοῦ θεοῦ, ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν· οὐσία δὲ καὶ φύσις παντελῶς πᾶσιν ἄληπτα. Ταῦτα καὶ Ἕλληνες ἔγνωσαν· ἀλλὰ γνόντες, οὐχ ὡς θεὸν ἐδόξασαν. *Εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους.*] Τοσούτων γὰρ ὄντων τῶν δεικνύντων τὸ τοῦ θεοῦ μεγαλεῖον, τί ἀπολογήσονται οἱ ἑκόντες ἀποτυφλωθέντες; Οὐχ αὕτη δὲ σπουδὴ τῷ θεῷ γέγονεν, ἄπαγε! εἰ καὶ οὕτως ἐξέβη.

21 Διότι, γνόντες τὸν θεὸν, οὐχ ὡς θεὸν ἐδόξασαν,
ἢ εὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλο-
γισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν
22 καρδία. Φάσκοντες, εἶναι σοφοὶ, ἐμωράνθησαν·

Ἔγνωσαν γὰρ διὰ τῆς κτίσεως. *Γνόντες τὸν θεόν.*] Τουτέστι, τί ποτέ ἐστι θεός· τί ὀφείλει ὑπολαμβάνεσθαι θεός. Τοῦτο γνόντες, ἑκόντες ἐσφάλησαν. *Ἤ, γνόντες τὸν θεόν*, τουτέστι, γνῶναι δυνηθέντες, εἴπερ ἠθέλησαν. Ἤ, ὅτι, ὅσον ἀπὸ τῆς ὁρωμένης κτίσεως καὶ διδασκαλίας, ἔγνωσαν, καὶ ἀπήρτιστο αὐτῶν ἡ γνῶσις. Ἤ, ὅτι καὶ ἔγνωσαν τὸν θεὸν, καθ' ὅσον ἐστὶν αὐτοῦ τοῖς ἀνθρώποις γνωστόν. Τί οὖν ἐστὶ τὸ γνωστὸν αὐτοῦ; Ὅτι δημιουργικὸς, ὅτι προνοητικὸς, ὅτι ἀγαθὸς, ὅτι δεσπότης, καὶ ὅτι δεῖ σέβεσθαι αὐτόν. Ταῦτα γνόντες, καὶ μέχρι τούτου προελθόντες καλῶς, ἐξετράπησαν τοῦ λοιποῦ. Τὰ γὰρ ὑψηλὰ ταῦτα περὶ [illegible]οῦ φαντασθέντες, ἐφεξῆς οὐχ ὡς προσῆκον θεῷ, οὐδ' ὡς θεὸν ὑπέλαβον καὶ ἐδόξασαν. Ἀνθ' ὧν γὰρ ἔδει δοξάσαι καὶ εὐχαριστῆσαι, ὅτι τὸν ὁρώμενον κόσμον δι' ἡμᾶς συνεστήσατο, ἐκ τοῦ ἐναντίου καὶ ἠτίμασαν. Ἐπλανήθησαν, φησὶ, καὶ τοῦ παντὸς ἐξέπεσον. Ποῖον γὰρ ἦν εὐκολώτερον; κύκλους καὶ ζώδια εἰδωλοποιῆσαι ἐν οὐρανῷ, ἢ τὸ γνῶναι, ὅτι ἔστι ταύτης τῆς ὁρωμένης καὶ ὑπερφυοῦς καλλονῆς δημιουργὸς καὶ κηδεμὼν καὶ πηδαλιοῦχος;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν τοῖς διαλογισμοῖς αὐτῶν.] Εἰπὼν, ὅτι ἐκόντες ἐτυφλώθησαν, λέγει καὶ τὴν αἰτίαν· ἡ δέ ἐστι, τὸ πάντα διαλογισμοῖς ἐπιτρέψαι, καὶ οὐχὶ πίστει. Βουλόμενοι γὰρ ἐν σχήματι τὸν ἀσχημάτιστον, καὶ ἐν εἰκόσι σωματικαῖς τὸν ἀσώματον καταλαβεῖν, ἐπλανήθησαν, μὴ δυνηθέντων τῶν λογισμῶν πρὸς τὸ πέρας ἐξικέσθαι· οἷον πόθεν δῆλον, ὅτι οὐρανὸν ἢ γῆν ἐποίησε; τίς δὲ πατὴρ θεοῦ; ἢ τίς ἡ αἰτία τῆς ὑποστάσεως; ἢ τί αὐτὴ ἡ ὑπόστασις; *Καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.*] Νέφεσι γὰρ ὁμοιωθέντες οἱ λογισμοὶ, ἐσκότισαν αὐτῶν τὴν καρδίαν. *Ἀσύνετον* δέ φησι, διὰ τὸ μὴ θελῆσαι πίστει τὸ πᾶν παραλαβεῖν. *Φάσκοντες, εἶναι σοφοί.*] Ἡ δὲ αἰτία τοῦ τὸ πᾶν τοῖς λογισμοῖς ἐπιτρέψαι, τὸ οἴεσθαι σοφοὺς εἶναι, καὶ ἑαυτοῖς ἀρκεῖν πρὸς πᾶσαν κατάληψιν. Διὸ καὶ *ἐμωράνθησαν*. Τί γὰρ ἀνοητότερον τοῦ λίθοις καὶ ξύλοις προσκυνεῖν;

23 Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.

Εἶχον οὖν τὴν εἴδησιν τοῦ θεοῦ· ἀλλὰ ταύτην δόντες, ἀντέλαβον δόξαν καὶ σέβας εἰδώλων. *Δόξαν* δὲ θεοῦ λέγει τὸ δημιουργικὸν, τὸ προνοητικόν. Ταύτην τοιγαροῦν προσεκύρωσαν εἰδώλοις, ἐν ὁμοιώματι ἀνθρώπων, καὶ πετεινῶν, καὶ τῶν λοιπῶν. Καὶ οὐκ αἰσχύνονται οἱ σοφοὶ τὰ τοῦ θεοῦ ἴδια καὶ ἐξαίρετα, ἑρπετοῖς προσάψαντες. *Φθαρτοῦ ἀνθρώπου.*] Καὶ αὐτὸ δὴ τὸ εἶναι τὸν ἄνθρωπον φθαρτὸν, ἤρκει αὐτῶν ἐλέγξαι τὴν ἄνοιαν· τὸ δὲ καὶ ἐν τοῖς ὁμοιώμασι τοῦ φθαρτοῦ προσκυρῶσαι τὴν τοῦ θεοῦ δόξαν, τῆς ἄγαν ἐστὶ παραπληξίας.

24 Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτι-
25 μάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς· οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν

κτίσαντα, ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Διὸ καὶ παρέδωκεν.] Οὐκ αὐτὸς παραδοὺς, ἄπαγε! ἀλλ' αὐτὸς μὲν αὐτῶν ἠμέλησεν, ὡς ἀναξίων ὄντων κηδεμονίας. Λοιπὸν δὲ λαβὼν αὐτοὺς ὁ σατανᾶς, παρέδωκεν εἰς ἃ παρέδωκεν. Τὴν συγχώρησιν οὖν τοῦ θεοῦ, *παράδοσιν* λέγει. — Τὸ δὲ, *Παρέδωκεν αὐτοὺς ὁ θεὸς*, τουτέστιν, ἡ εἰς θεὸν πλημμέλεια καὶ παροινία, ἡ οἰκεία αὐτῶν πρᾶξις, ἡ ἑκούσιος πώρωσις, αὐτὴ παρέδωκεν αὐτοὺς εἰς τὰ τῆς ἀτιμίας πάθη. Καὶ ἐπὶ τοῦ ἐναντίου γὰρ εἰώθαμεν λέγειν· Ὅτι ἀπώλεσεν αὐτὸν τὸ ἀργύριον· καίτοι οὐ τὸ ἀργύριον ἀπόλλυσιν, ἀλλ' ἡ ἄσωτος αὐτοῦ καὶ ἐπὶ κακῷ χρῆσις· καί· Διέφθειρεν αὐτὸν τῶν κολάκων τὸ πλῆθος· καίτοι οὐκ ἐκεῖνοι διαφθείρουσιν, ἀλλὰ τὸ προσέχειν καὶ πείθεσθαι τούτοις, ὅπερ ἐστὶν ἐν τῇ γνώμῃ τῇ ἐμῇ, τὸ πείθεσθαι ἢ μή. Ἤ τάχα ἑαυτοὺς παρέδωκαν, ἐπειδὴ τοῦτο ἐπεθύμουν· *ἐν γὰρ ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν* φησιν.— *Οἵτινες μετήλλαξαν.*] Ὁρᾷς πάλιν τὸ, *μετήλλαξαν*, σημαῖνον ὅτι κατὰ εἴδησιν μετήλλαξαν. *Τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει.*] Τουτέστι, Τὰ ἀληθῶς ἐπὶ θεοῦ λέγεσθαι καὶ νοεῖσθαι δυνάμενα περιέθηκαν τῷ ψεύδει, τουτέστι, τοῖς εἰδώλοις. Ἤ, *ἀλήθειαν θεοῦ*, καλεῖ τὸ, *θεὸς*, ὄνομα· ψεῦδος δὲ, τὸ χειροποίητον εἴδωλον. Δέον γὰρ αὐτοὺς τὸν ἀληθῆ προσκυνῆσαι θεὸν, τῇ κτίσει τὸ θεῖον σέβας προσήνεγκαν. Ἤ, ὅτι ὁ μὲν Θεὸς, ἀληθῶς ἐστι θεὸς, τὰ δὲ εἴδωλα, οἷς προσεκύνησαν, ψευδῶς προσαγορεύονται θεοί. *Καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν.*] Σέβοντες δὲ καὶ λατρεύοντες διετέλεσαν. *Τῇ κτίσει παρὰ τὸν κτίσαντα.*] Ἀεὶ τῇ συγκρίσει φοβερώτερον ποιεῖ τὸν λόγον. *Ὃς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας.*] Ἀλλ' οὐ παρὰ τοῦτο παρεβλάβη τι ὁ Θεὸς, φησιν, εἰς τὴν οἰκείαν δόξαν· ὁ μὲν γὰρ ἔμεινε καὶ οὕτως εὐλογητὸς εἰς τοὺς αἰῶνας· αὐτῶν δὲ αἱ προλεχθεῖσαι ἀμοιβαὶ, καὶ αἱ λεχθησόμεναι, ἀτιμίαι τοῦ σώματος καὶ ἀντιδόσεις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας. Αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυ-
27 σικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· ὁμοίως τε καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.

Διὰ τοῦτο.] Ποῖον; Ἐπειδὴ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. *Μετήλλαξαν τὴν φυσικὴν χρῆσιν.*] Ἔχοντες γὰρ ἐκ φύσεως μίξιν νόμιμον, μετήλλαξαν αὐτὴν εἰς τὴν παρὰ φύσιν. Αἰσχρότατόν τι λέγει ἐπικεκαλυμμένως. Δείκνυσιν, ὅτι οὐ μόνον τοῖς θείοις νόμοις, ἀλλὰ καὶ τοῖς τῆς φύσεως νόμοις ἐπολέμουν. Τὸ δὲ, *Ἐξεκαύθησαν*, πολλὴν μανίαν καὶ οἶστρον δηλοῖ. Καὶ οὐκ εἶπε, τὴν ἐπιθυμίαν αὐτῶν κατεργαζόμενοι· ἀλλὰ *τὴν ἀσχημοσύνην*· δηλῶν, ὅτι καὶ αὐτὴν τὴν φύσιν κατήσχυναν. *Κατεργαζόμενοι.*] Ὁρᾷς, ὅτι οὐκ ἀγνοίας ἦν τὰ πάθη, ἀλλ' ὅτι σπουδὴν εἶχον ἐργάζεσθαι αὐτά; Ἡ γὰρ, Κατὰ, ἐπίτασίν τινα καὶ φιλονεικίαν δηλοῖ, ὡς εἴ τις φιλονεικείη, ὅπως μᾶλλον προσκρούοι θεῷ. *Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν.*] Ἦν προσῆκον ἦν, ἤτις αὐτοῖς ὠφείλετο τοιούτοις οὖσι, τὸν ὀφειλόμενον μισθὸν τῇ πλάνῃ αὐτῶν. Πλάνην δέ φησι τὸ προσκυνῆσαι τῇ κτίσει, ἣν ἀπολαμβάνουσιν ἐν ἑαυτοῖς, γυνὴ ἀπὸ γυναικὸς, καὶ ἀνὴρ ἀπὸ ἀνδρὸς, ἐνασχημονοῦντες. Ἐπειδὴ γὰρ τοῖς περὶ γεέννης λόγοις οὐκ ἐπίστευον, ταύτην αὐτοῖς ἀντιμισθίαν ὁ Παῦλος προσφέρει, ἣν καὶ ἠρυθρίων.

28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν, τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα·

Ὁρᾷς, ὅτι οὐκ ἀγνοίας ἦν ἡ πλάνη, ἀλλ' εἰδήσεως. Μᾶλλον δὲ καὶ τούτων τινὰς αἰνίττεται, εἰ καὶ ὡς ἐπὶ ἑτέρους ἐσχη-

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

μάτισται ὁ λόγος. *Παρέδωκεν εἰς ἀδόκιμον νοῦν.*] Τῇ γὰρ ἀποστροφῇ τοῦ θεοῦ, εἰσάγεται νοῦς ἀδόκιμος παρὰ τῶν δαιμόνων· τοῦτο δὲ, *παράδοσιν*, ἔθος καλεῖν τῇ Γραφῇ.

29 Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος,
30 δόλου, κακοηθείας· ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρε-
31 τὰς κακῶν, γονεῦσιν ἀπειθεῖς· ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας·

Οὐδέν, φησι, σύμμετρον, ἀλλὰ πεπληρωμένους πάσης ἀδικίας. Ὅταν γὰρ ἀποστροφὴ θεοῦ γένηται, εἰκότως πάντα ἀντεισέρχεται τὰ κακά. Εἶτα γενικῶς εἰπὼν τὴν ἀδικίαν, λοιπὸν καὶ τοῖς εἰδικωτέροις αὐτῆς ἐπεξέρχεται. Καὶ ἐνὶ τούτῳ τῷ τῆς ἀδικίας προσρήματι, κοινῇ τὰ εἰς ἀλλήλους αὐτῶν πάντα περιλαβὼν ἁμαρτήματα, ἐν τοῖς ἑξῆς ἀπαριθμεῖται καθ' ἕκαστον. Καὶ *πονηρίαν* μὲν λέγει, τὸν ἐκ κατασκευῆς εἴς τινα παρά του πόνον γινόμενον· *πλεονεξίαν* δὲ, τὴν ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβην· *κακίαν* δὲ, τὴν τοῦ κακῶσαι τὸν πέλας σπουδήν· *φθόνον* δὲ, τὴν ἐπὶ τοῖς τοῦ πλησίον καλοῖς βασκανίαν· *φόνον* δὲ, τὴν μέχρις ἀναιρέσεως κίνησιν· *ἔριν* δὲ, τὴν ἐπίψογον φιλονεικίαν· *δόλον* δὲ, τὰς ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβουλάς τε καὶ μηχανάς· *κακοήθειαν* δὲ, τὴν κακοτροπίαν· *ψιθυρισμὸν* δὲ, τὴν ὑπ' ὀδόντα τῶν παρόντων κακολογίαν· *καταλαλιὰν* δὲ, τὴν εἰς ἀπόντας ὑπό τινων βλασφημίαν· *θεοστυγεῖς* δὲ, οὐ τοὺς ὑπὸ θεοῦ μισουμένους· (οὐ γὰρ αὐτῷ τοῦτο δεῖξαι πρόκειται νῦν·) ἀλλὰ τοὺς μισοῦντας θεόν· *ὑβριστὰς* δὲ, τοὺς θρασεῖς καὶ λοιδόρους· *ὑπερηφάνους* δὲ, τοὺς κατὰ τῶν οὐκ ἐχόντων ἐφ' οἷς ἔχουσι φυσωμένους· *ἀλαζόνας* δὲ, τοὺς ἐφ' οἷς οὐκ ἔχουσιν αὐχοῦντας, ὡς ἔχοντας· *ἐφευρετὰς κακῶν*, τοὺς ἐπὶ ταῖς παλαιοῖς, ἕτερα καινοποιοῦντας κακά· *γονεῦσι δὲ ἀπειθεῖς*, τοὺς καὶ μέχρι τῶν γονέων ἀγνώμονας· *ἀσυνέτους* δὲ, τοὺς ἀσυνειδήτ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τους, ὧν οὐδὲν ἀφρονέστερον· *ἀσυνθέτους* δὲ, τοὺς ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινας συνθῶνται· *ἀστόργους* δὲ, τοὺς ἀπηνεῖς καὶ ἀφίλους· *ἀσπόνδους* δὲ, τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους· *ἀνελεήμονας* δὲ, τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον — *Ἀλαζόνας.*] Εἰ γὰρ ὁ κατορθῶν, τῇ ἀλαζονείᾳ χρησάμενος, ἐκένωσε τὰ κατορθωθέντα, ποίας ἂν εἴη τιμωρίας ἄξιος ὁ ἐν ἁμαρτίαις ἀλαζονευόμενος; *Ἐφευρετὰς κακῶν.*] Ὅπερ μελετώντων καὶ σπουδαζόντων ἴδιον, οὐ μὴν ἀγνοούντων. *Ἀσυνθέτους, ἀνελεήμονας.*] Ἀποσχοινίζοντας ἀπὸ πάντων, τουτέστι, πάντας μισοῦντας καὶ ἀποστρεφομένους.

32 Οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, (ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν,) οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

Πάλιν δείκνυσιν αὐτοὺς ἐν γνώσει ἁμαρτάνοντας. *Δικαίωμα* δὲ, τὰς ἐντολὰς λέγει· ὁ γὰρ νόμος ὁ Μωσαϊκὸς τρανῶς καὶ ἀποτόμως διακελεύεται, ἀξίους θανάτου κρίνων τοὺς τὰ τοιαῦτα πράττοντας. Τοῦτο γάρ ἐστι τὸ δικαίωμα καὶ ἡ ἐντολὴ τοῦ θεοῦ. Δύο τίθησιν ἐγκλήματα, τὸ ποιεῖν τε καὶ συμπράττειν τοῖς ποιοῦσι, καὶ εἰς τὸ κακὸν παρακαλεῖν τὸν πλησίον. Τινὲς δὲ μὴ νοήσαντες τὸ εἰρημένον, ἀλλὰ διαπορήσαντες, καὶ παραπεποιῆσθαι τὰς ἀποστολικὰς λέξεις νομίσαντες, οὕτως αὐτὰς ἡρμήνευσαν· Οὐ μόνον οἱ ποιοῦντες αὐτὰ, ἀλλὰ καὶ οἱ συνευδοκοῦντες τοῖς πράσσουσιν. Οὕτω γὰρ ἔχειν ἔφασαν τὸ παλαιὸν ἀντίγραφον, ἵνα μεῖζον ᾖ τὸ ποιεῖν, καὶ ἔλαττον τὸ συνευδοκεῖν. Ἐγὼ δὲ οὔτε ἡμαρτῆσθαι ἐν τούτῳ φήσας τὰ ἀποστολικὰ βιβλία, οὔτε καταδραμεῖν τῶν μὴ νενοηκότων φράσας, τοῖς ἐντευξομένοις ἐπιτρέψω τὴν ψῆφον. Φημὶ τοίνυν ὅτι, ἐπειδὴ τοῦ πλημμελεῖν τὸ ἐπαινεῖν τοὺς πλημμελοῦντας πολλῷ ἀργαλεώτερόν ἐστι καὶ μεῖζον εἰς κολάσεως λόγον, εἰκότως εἴρηται, *Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοκοῦσι τοῖς πράσσουσιν. Ὁ μὲν γὰρ μετὰ τοῦ πλημμελεῖν καταγινώσκων τῆς ἁμαρτίας, δυνήσεται χρόνῳ ποτὲ ἑαυτὸν ἀνακτήσασθαι, μεγίστην βοήθειαν ἔχων εἰς τὸ μετανοῆσαι, τὴν κατάγνωσιν τῆς ἁμαρτίας· ὁ δὲ ἐπαινῶν τὴν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι βοηθείας ἑαυτὸν ἀποστερεῖ. Ἐπεὶ τοίνυν διεφθαρμένης ἐστὶ γνώμης, καὶ ψυχῆς ἀνίατα νοσούσης αὕτη ἡ ψῆφος, εἰκότως τοῦ πλημμελοῦντος ὁ τὴν ἁμαρτίαν ἐπαινῶν πολλῷ παρανομώτερος κέκριται.

ΚΕΦ. ΙΙ, 1 Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν 2 κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. Οἴδαμεν δὲ, ὅτι τὸ κρῖμα τοῦ θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ 3 τοὺς τὰ τοιαῦτα πράσσοντας. Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ θεοῦ;

Ἤδει τῇ πόλει ἐγχειρισθεῖσαν τοῦ κόσμου τὴν ἡγεμονίαν· καὶ λοιπὸν πρὸς τοὺς ἄρχοντας ἀποτείνεται· ὁ δὲ αὐτὸς καὶ πρὸς ἰδιώτας ἁρμόζει λόγος. Ὑπερβολὴν δὲ παρανομίας λέγει. Καὶ ἔπραττόν, φησιν, αὐτοὶ τὰ παράνομα, καὶ συνέτρεχον τοῖς πράττουσι· καὶ ἐπειδάν τις ἄλλους ὑπό τινος ἐπὶ κρίσιν ἤγετο, αὐτοὶ ἐκαθέζοντο καὶ κατέκρινον ἐκεῖνον, οὗ τὰ ἴσα αὐτοὶ ἔπραττον, καὶ ᾧ εἰς τὸ πράττειν συνέτρεχον, καὶ ὅμως κατέκρινον. Οὕτως ἤδεισαν, ὅτι ἁμαρτάνουσιν, ὥστε πολλῷ μᾶλλον ἑαυτοὺς προκατέκρινον. *Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον.*] Ὁ γὰρ τὰ κακὰ πράσσων, κατακρίνων δὲ τοὺς τὰ ὅμοια πράσσοντας, καθ' ἑαυτοῦ πρώτου τὴν κατάκρισιν φέρει. *Οἴδαμεν δὲ, ὅτι τὸ κρῖμα τοῦ θεοῦ ἐστὶ κατὰ ἀλήθειαν.*] Ὧδε μὲν γὰρ, οὐ κατὰ ἀλήθειαν ἐστὶ τὸ κρῖμα· πολλοὶ γὰρ καὶ ἔνοχοι διαφεύγουσι, καὶ ἀθῶοι κατακρίνονται· ἐκεῖ δὲ κατὰ ἀλήθειαν ἐστί. Καὶ ὧδε τὸ τοῦ θεοῦ κρῖμα οὔτε ἄδικον ἀθῳοῖ, οὔτε δίκαιον κατακρίνει, ὅταν εἰς κρίσιν καὶ ἐνταῦθα καταστῇ τισίν. *Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε.*] Πολλοὶ γὰρ ἡγοῦνται.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Κἂν ἐγώ, φασιν, ἁμαρτάνω, ἄλλους δὲ κωλύω ἁμαρτάνειν, μισθὸν ἐκ τούτου ἔχω. Ἀλλ' ἀκούσεται τό· «Ἰατρὲ θεράπευσον σεαυτόν (α).» Τὴν γὰρ καταδίκην, φησί, σὺ σαυτῷ ἐπήγαγες πρῶτον.

4 Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς
ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν,
ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει;
5 Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρ-
δίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς
6 καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ· ὃς ἀπο-
δώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

Μακροθυμεῖ μὲν, πλὴν ἐὰν μὴ ἐπιστραφῶμεν, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει (β). *Ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ.*] Διὰ τοῦτο γὰρ μακροθυμεῖ, οὐχ ἵνα τῇ μακροθυμίᾳ χρήσῃ εἰς ἀφορμὴν μείζονος καταφρονήσεως, ἀλλ' ἵνα διάστημα μετανοίας λάβῃς· ἐπιμένων οὖν τῇ κακίᾳ, ἀπολήψῃ. *Κατὰ δὲ τὴν σκληρότητά σου.*] Ὅταν γάρ τις μήτε χρηστότητι μαλάσσηται, μήτε ὀργὴν δειλιᾷ, τί τούτου σκληρότερον; *Θησαυρίζεις.*] Τὸ πάντως φυλαχθησόμενον δηλοῖ· καὶ ὅτι σὺ σαυτῷ αἴτιος· σὺ γὰρ ἀποτίθῃ καὶ θησαυρίζεις. *Καὶ ἀποκαλύψεως.*] Ἵνα μὴ, ὀργὴν θεοῦ ἀκούων, πάθος νομίσῃς, ἐπήγαγεν, *ἀποκαλύψεως δικαιοκρισίας*· ἔνθα γὰρ δικαιοκρισία, οὐκ ἔστι πάθος. Τότε γὰρ μάλιστα ἡ δικαιοκρισία ἀποκαλύπτεται, ὅταν ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. *Καὶ δικαιοκρισίας.*] Ὡς πρὸς τὴν ἑρμηνείαν τὸ, Καὶ, παρέλκεται (ι).

7 Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ
8 τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς
δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πει-
9 θομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή. Θλῖψις
καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ
κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ

(α) Λουκ. Δ'. 23. (β) Ψαλμ. Ζ'. 13.

(ι) Λέγει τοῦτο ὁ Οἰκουμένιος· διότι παρ' ἄλλοις ἐγράφετο καὶ γράφεται· Καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας· ὡς καὶ παρὰ τῷ Χρυσοστόμῳ Τομ. Θ'. Σελ. 463. Ἡ γραφὴ αὕτη ἐγκρίνεται παρὰ πολλῶν κριτικῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

10 Ἕλληνος· δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ
ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ
11 Ἕλληνι. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ.

Τοῖς μὲν καθ' ὑπομονὴν.] Οὐ γὰρ μόνον ἡ πίστις ἀρκεῖ, ἀλλὰ καὶ ἔργων χρεία. *Ὑπομονὴν* δὲ εἰπὼν, γενναίως ἔχειν διδάσκει πρὸς τοὺς πειρασμούς.— Τὸ ὑπερβατὸν δὲ, οὕτω τακτέον· *Τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, ἀποδώσει δόξαν καὶ ἀφθαρσίαν.—Καὶ ἀφθαρσίαν.*] Τὰς περὶ ἀναστάσεως ἀνοίγει θύρας. Ἀπὸ κοινοῦ τὸ, *ἀποδώσει.* Ἀποδώσει γὰρ, τοῖς μὲν, τὰ ἀγαθὰ, τοῖς δὲ, ἀποδοθήσεται θυμὸς καὶ ὀργὴ, καὶ τὰ ὅμοια. Ὅτι δὲ διπλοῦν τὸ σχῆμα τοῦ λόγου· (καὶ ἀπὸ κοινοῦ γὰρ, καὶ ζεῦγμα·) σκόπει, ὅτι τὰ μὲν ἀγαθὰ ἀποδώσει, φησί· τὴν δὲ κόλασιν οὐκ ἀποδώσει, ἀλλ' ἀποδοθήσεται. Καὶ οὐδὲ τοῦτο κατὰ λέξιν εἶπεν, ἀλλ' ἀφῆκε συνεπινοηθῆναι. Οὕτως οἶδε, τὸ μὲν δικαιοῦν καὶ σώζειν, οἰκεῖον θεοῦ· τὸ δὲ τιμωρεῖν αὐτὸν καὶ κολάζειν, ἀπὸ τῆς τῶν ἁμαρτανόντων πωρώσεως, καὶ τοῦ μὴ μετανοεῖν καὶ ἐπιστρέφειν. *Τοῖς δὲ ἐξ ἐριθείας.*] Πάλιν δείκνυσι, φιλονεικίας εἶναι καὶ ῥαθυμίας τὰ ἁμαρτήματα. *Καὶ ἀληθείᾳ.*] Παρέλκεται ὁ Καὶ. *Πειθομένοις δὲ τῇ ἀδικίᾳ.*] Τίς γὰρ πιστεύει, ὅτι καλὸν ἡ ἀδικία, καὶ κακὸν ἡ ἀλήθεια; Δῆλον οὖν, ὡς ἐν γνώσει ἐστὶν ἡ ἁμαρτία· τοῦτο γὰρ μάλιστα τὸ, *πειθομένοις,* δηλοῖ· ἑκὼν γὰρ πείθεται ὁ πειθόμενος. *Ἐπὶ πᾶσαν ψυχήν.*] Οὐκ ἔνι, φησὶ, βασιλεὺς, οὐκ ἔνι δυνάστης, ὃς διαφεύξεται. *Ἰουδαίου τε πρῶτον.*] Ὅσῳ γὰρ πλείονος διδασκαλίας ἠξίωται, τοσούτῳ, ἁμαρτάνων, πλέον τιμωρηθήσεται. Νοεῖται τὸ, ἔσεσθαι, ἢ μᾶλλον, ἔσεται. Ἔσεται γὰρ ὀργὴ ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου. *Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη.*] Καλῶς τὸ, *καὶ εἰρήνη·* ἐκεῖ γὰρ οὐδεὶς διὰ φθόνον μαχήσεται τῷ τιμηθέντι ἢ δοξασθέντι. *Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.*] Ἵνα μὴ νομίζωσιν Ἰουδαῖοι, τὸν ἀκρόβυστον, κἂν θεοσεβὴς ᾖ, ἔλαττον ἔχειν, συνάπτει αὐτούς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἕλληνα δὲ, οὐ τὸν εἰδωλολάτρην λέγει, ἀλλὰ τὸν ἀκρόβυστον μὲν, θεοσεβῆ δὲ καὶ πιστόν. *Οὐ γάρ ἐστι προσωπολημψία.*] Οὐ γὰρ προσώπων, ἀλλ' ἔργων ἐστὶν ἡ ζήτησις. Ἐντεῦθεν ἄχρι πλειόνων μικρῶν πραγμάτων μάχην εἰσάγει ἐθνικῶν καὶ Ἰουδαίων· καὶ συνηγορεῖ τοῖς ἐθνικοῖς μὲν, φύσει δὲ τὰ δίκαια πράττουσι. Τοῦτο δὲ ποιεῖ, θέλων, τὸν μὲν νόμον ἐκβαλεῖν, τὴν δὲ πίστιν ἀντεισαγαγεῖν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ κρίσεως τῆς κατὰ τοῦ Ἰσραὴλ, τοῦ μὴ φυλάσσοντος τὰ νόμιμα.

12 Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθή-
13 σονται, (οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.

Δεῖξαι θέλει, τῶν δύο ἁμαρτησάντων, Ἰουδαίου τε καὶ ἀκροβύστου, χεῖρον τὸν Ἰουδαῖον τιμωρεῖσθαι, ὅσῳ καλνόμου ὁδηγοῦ εὐπορήσας ἥμαρτεν. Ἀνόμως δὲ ἁμαρτάνοντα εἰσάγει τὸν ἀκρόβυστον, ὃς, φησιν, ἀνόμως ἀπολεῖται, τουτέστιν, οὐ μετὰ ἀκριβείας νόμου, ὃ δηλοῖ τὴν σύμμετρον ἀπώλειαν. Ἐννόμως δὲ ἁμαρτάντα λέγει τὸν Ἰουδαῖον, ὃς, φησι, διὰ τοῦ νόμου, ὃν παραβέβηκε, κριθήσεται, τουτέστι κατακριθήσεται· δηλοῖ δὲ τοῦτο τὴν χείρονα ἀπώλειαν. Κρίσιν δὲ αὐτὴν καλεῖ, καὶ οὐκ ἀπώλειαν, διὰ τὸ ἠγεῖσθαι τὸ δικαστήριον. Εἰ χεῖρον οὖν ὁ Ἰουδαῖος τιμωρεῖται κατὰ τὴν παραγραφὴν, πῶς ἐπὶ μὲν τοῦ Ἕλληνος, *ἀπολοῦνται*, εἶπεν, ἐπὶ δὲ τοῦ Ἰουδαίου, *κριθήσονται*, ὧν τὸ μὲν, ἀναμφίβολον κακὸν εἶναι δοκεῖ, τὸ δὲ, ἀμφίβολον; Ἀλλὰ πρόσχες· *κρῖμα* ἐνταῦθα, τὸ κατάκριμα λέγει, τουτέστι τὴν ἀναμφίβολον ἀπώλειαν. Ἀλλὰ ἔνι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιμωρία παρὰ τιμωρίαν, καὶ τὰ δύο οὐκ ἀμφίβολα ἀπωλείας.
ΑΛΛΩΣ. Ἐνταῦθα οὐ μόνον ἰσοτιμίαν δείκνυσιν Ἰουδαίου τε καὶ Ἕλληνος, ἀλλὰ καὶ πολὺ τὸν Ἰουδαῖον βαρυόμενον ἀπὸ τῆς τοῦ νόμου δόσεως. Ὁ μὲν γὰρ Ἕλλην, ἀνόμως κρίνεται· τὸ δὲ, *ἀνόμως*, ἐνταῦθα, οὐ τὸ χαλεπώτερον, ἀλλὰ τὸ ἡμερώτερον λέγει· τουτέστιν, οὐκ ἔχει κατηγοροῦντα τὸν νόμον· τὸ γὰρ, *ἀνόμως*, τὸ χωρὶς τῆς ἐκείνου καταχρίσεώς ἐστι, τουτέστιν, ἀπὸ τῶν τῆς φύσεως λογισμῶν καταδικάζεται μόνον· ὁ δὲ Ἰουδαῖος *ἐννόμως*, τουτέστι, μετὰ τῆς φύσεως, καὶ τοῦ νόμου κατηγοροῦντος. Ὅσῳ γὰρ πλείονος ἀπήλαυσεν ἐπιμελείας, τοσούτῳ μείζονα δώσει δίκην.—*Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου.*] Ἴσως γὰρ ἀνθρώπους πλανῶσιν· ἀλλ' οὐ τοὺς ἀκροατὰς τοῦ νόμου δικαιοῖ ὁ θεὸς, ἀλλὰ τοὺς ποιητάς.

14 Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ
νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι
15 νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου
γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης
αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν
λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων,)
16 ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώ-
πων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

Τὰ τοῦ νόμου ποιῇ.] Τοῖς τῆς φύσεως λογισμοῖς χρώμενα πρὸς δικαιοπραγίαν. Θαυμάσιοι οὖν οὗτοι, παιδαγωγοῦ μὴ δεηθέντες, αὐτοὶ νομοθέται τε εἰσὶν ἑαυτῶν, καὶ πληρωταὶ τῆς νομοθεσίας. *Γραπτὸν ἐν ταῖς καρδίαις.*] Οὐ γὰρ δέονται τοῦ ἐν γράμμασι νόμου, φησὶν· ἀλλὰ τούτοις ἡ καρδία ἔγγραπτον ἔχει κατανοούμενον τὸν νόμον. *Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως.*] Ἀρκεῖ γὰρ ἀντὶ τοῦ νόμου, τὴν οἰκείαν συνείδησιν ἔχειν μαρτυροῦσαν. *Καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν.*] Ἐν ἐκείνῳ γὰρ τῷ κριτηρίῳ οὐ δεόμεθα τῶν ἔξωθεν, ἢ κατηγορούντων, ἢ μαρτυρούντων ἡμῖν τὰ χρηστά· ἀλλ' οἱ ἑκάστου λογισμοὶ καὶ τὸ συνειδὸς, ἢ κατηγορεῖ, ἢ

ἀπολογεῖται. Τὸ δὲ, *μεταξὺ ἀλλήλων τῶν λογισμῶν*, καθ' ὑπερβατὸν εἴρηται· ἐφεξῆς γάρ ἐστι τοῦ· *Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.* Ἑρμηνεία γάρ ἐστι, πῶς οἱ μὲν δικαιοῦνται, οἱ δὲ οὐ δικαιοῦνται. Καί φησιν, ὅτι οὐ δεομένου τοῦ κριτηρίου μαρτύρων, οὐ τινῶν ἔξωθεν ἀποδείξεων, ἀλλ' οἰκοθεν ἐξ αὐτῶν τῶν λογισμῶν καὶ ἡ ἁμαρτία παρίσταται, καὶ ἡ ἀρετὴ ἐπίδηλος γίνεται. Διὸ κἂν οἱ ἄνθρωποι ἐνταῦθα ἀθῳῶσιν, οὐ δεῖ τούτοις θαῤῥεῖν· οὐδὲν γὰρ ἐκεῖθεν ὠφελήσουσι· κἂν πάλιν κατακρίνωσιν, οὐ χρὴ φροντίζειν· οὐδὲν γὰρ ἐκεῖ βλάψουσιν· ἀλλ' ἀρκεῖ καὶ εἰς κατάκρισιν καὶ εἰς ἀθῴωσιν ἡ τῶν οἰκείων λογισμῶν συναίσθησις καὶ μαρτυρία. Διὰ τί δὲ εἰπὼν, *κατηγορούντων τῶν λογισμῶν*, οὐκ εἶπε, *δικαιούντων*; οὕτω γὰρ ἂν ἐδηλοῦντο οἱ κολαζόμενοί τε διὰ τοῦ, *κατηγορούντων*. καὶ οἱ σωζόμενοι διὰ τοῦ, *δικαιούντων*· νῦν δὲ ὡς ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ προτρέπεται νοεῖν ἡ ἀκολουθία, καὶ τὸ, *κατηγορούντων*, καὶ τὸ, *ἀπολογουμένων*. Φαμὲν οὖν, ὅτι οὐ δεῖ ἐπὶ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀμφότερα λαβεῖν· ἀλλὰ, *κατηγορούντων* μὲν *τῶν λογισμῶν* ἐφ' ἑτέρων, ἤτοι τῶν κολασθησομένων· *ἀπολογουμένων* δὲ ἐφ' ἑτέρων, ἤτοι τῶν σωθησομένων. Διὰ τί δὲ οὐκ εἶπε, *Καὶ δικαιούντων καὶ κατακρινόντων*; Ὅτι οὐ δικαιοῦσιν οὗτοι, οὐδὲ τιμωροῦνται· ἀλλὰ κατηγοροῦσι μὲν ἢ ἀπολογοῦνται· τὴν δὲ κρίσιν τῆς τιμωρίας ἢ τῆς δικαιώσεως, ὁ κριτὴς ἐπάγει. Καλῶς οὖν φησι, *Τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων*. Πάλιν ἔστιν εἰπεῖν· Τί οὖν; Πῶς ἀπολογοῦνται, μηδενὸς κατηγοροῦντος; (τὸ γὰρ, *κατηγορούντων*, εἴρηται, ὅτι ἐπὶ τῶν κολασθησομένων δεῖ λαβεῖν, τὸ δὲ, ἀπολογουμένων, ἐπὶ τῶν δικαιωθησομένων, καὶ καλῶς εἴρηται·) πῶς ἀπολογοῦνται, μηδενὸς κατηγοροῦντος; Κατηγοροῦσι καὶ ἐνταῦθα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ἄνθρωπον ἄνευ ἁμαρτίας ἐκεῖθεν ὀφθῆναι· ἀλλ' ἡ κατηγορία, ἐπεὶ οὐκ ἔστι βάρος ἔχοντα καὶ ὄγκον τὰ ἁμαρτήματα, οὐκ ἔστι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σφοδρὰ, οὐδὲ ἀπαράγραπτος· ἀλλὰ ἀπολογίαν προάγουσι πρὸς αὐτὴν οἱ λογισμοὶ τὸ εὐόλισθον τῆς φύσεως, τὸ ἀσθενὲς, τὴν τοῦ θεοῦ φιλανθρωπίαν, τὸν ἔλεον· καὶ παύεται μὲν ἐκείνη, νικᾷ δὲ ἡ ἀπολογία. Ἀπὸ τῆς ἀπολογίας οὖν εἰσὶ, κἂν ἡ κατηγορία προηγήσατο, ἄξιοι οὗτοι σημαίνεσθαι. Ἐπειδὴ δὲ ἐν τοῖς ἀπολλυμένοις ἄτοπα μὲν καὶ χαλεπὰ τὰ ἁμαρτήματα, σφοδρὰ δὲ καὶ ἀπαραίτητος ἡ κατηγορία, οὐδαμοῦ δὲ ἡ ἀπολογία, τίθησιν ἐπ' αὐτῶν πάλιν μόνον τὸ, *κατηγορούντων*. Εἰσὶ δὲ συγγνωστὰ μὲν, ἃ κατὰ λογισμοὺς ἡμάρτομεν· ἀσύγγνωστα δὲ, ἃ μέχρι πράξεων παρειλκύσαμεν. Καὶ πάλιν, συγγνωστὰ μὲν, ἃ διὰ μετανοίας καθηράμεθα· ἀσύγγνωστα δὲ, οἷς μηδὲ τὸ διὰ ταύτης ἰατήριον καὶ τὴν θεραπείαν προσεννόχαμεν. Δύναται δὲ καὶ ὡς ἔχει τάξεως ἡ λέξις, τοῦ ῥητοῦ ἡ διάνοια παραληφθῆναι· οἷον, οἱ μὲν τὸν νόμον λαβόντες, καὶ τὸν νόμον ἔχουσι, καὶ τὴν συνείδησιν ἐφ' οἷς ἁμαρτάνουσι κατηγοροῦσαν· οἱ δὲ μὴ παρειληφότες τὸν νόμον, πράττοντες δὲ ἀπὸ συνειδήσεως τὰ τοῦ νόμου, οὗτοι τὴν συνείδησιν προβάλλονται μάρτυρα τῆς ἀγαθοεργίας. Ἵνα γὰρ μή τις εἴπῃ· Οὐκοῦν κατὰ τύχην πράττουσι τὸ ἀγαθὸν, εἰμὴ νόμῳ πράττουσιν. Οὐμενοῦν, φησιν· ἀλλὰ μετὰ συνειδήσεως, διδάσκαλον ταύτην καὶ μάρτυρα ἔχοντες τῆς ἀγαθοεργίας· διὸ καὶ μείζονος ἄξιοι ἀποδοχῆς, καὶ μείζονα τὸν ἔλεγχον κατὰ τῶν μετὰ νόμου ἁμαρτανόντων ἐπάγονται. Εἶτα, ἐπειδὴ οὐ πάντες οἱ χωρὶς νόμου ἀγαθοεργοῦσιν, ἀλλ' εἰσὶν οἳ καὶ πλημμελοῦσι, δείκνυσιν, οὐδ' αὐτοὺς ἐσομένους ἀτιμωρήτους. Εἰ γὰρ καὶ μὴ νόμον ἔχουσί, φησι, τὸν κατηγοροῦντα, ἀλλὰ καὶ οὕτω δίκας ὑφέξουσι μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων. Τὸ δὲ, *Ἢ καὶ ἀπολογουμένων*, πίςωσίς ἐστιν ἐκ τοῦ ἐναντίου ἐπαγομένη, ὡσανεὶ ἔλεγεν, ὅτι, ὥσπερ ἀπολογουμένων τῶν λογισμῶν, ἀθώωσις ἀκολουθεῖ τοῦ νόμου χωρὶς, οὕτω κατηγορούντων πάλιν χωρὶς τοῦ νόμου, ἡ κατάκρισις ἕπεται. Πότε δὲ ταῦτα; Ἐν τῇ δευτέρᾳ παρουσίᾳ. *Ὅτε κρινεῖ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.] Οἱ μὲν γὰρ ἄνθρωποι, τὰ φανερὰ κρίνουσιν· ὁ δὲ θεὸς, τῶν κρυπτῶν ἐστιν ἐξεταστής. *Διὰ Ἰησοῦ Χριστοῦ.*] «Ὁ γὰρ πατὴρ, φησι, κρίνει οὐδένα· ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ (α).»

17 Ἴδε, σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ
18 νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, καὶ γινώσκεις τὸ θέ-
λημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος
19 ἐκ τοῦ νόμου· πέποιθάς τε, σεαυτὸν ὁδηγὸν εἶναι
20 τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτικὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ·

Εἰπὼν, ὅτι οὐδὲν τῷ θεοσεβεῖ μὲν, ἀκροβύστῳ δὲ, λείπει πρὸς τὸ σωθῆναι, ἐὰν ᾖ μόνον τοῦ νόμου ποιητὴς, τίθησι λοιπὸν καὶ ἐφ' οἷς μέγα ἐφρόνουν Ἰουδαῖοι, δεικνὺς, ὅτι οὐδὲν τούτων ὠφελεῖ τὸν μὴ ὀρθῶς βιοῦντα· καὶ πρῶτον αὐτὸ τὸ ὄνομα τέθεικεν· *Ἴδε, σύ,* φησιν, *Ἰουδαῖος ἐπονομάζῃ·* ἐδόκει γὰρ καὶ αὐτὸ τὸ ὄνομα μέγα εἶναι, ὡς νῦν τὸ τῶν χριστιανῶν. *Ἐπονομάζῃ.*] Οὐ γὰρ εἶ κατὰ ἀλήθειαν, εἰ μὴ πληροῖς τὸν νόμον. *Καὶ ἐπαναπαύῃ τῷ νόμῳ.*] Οὐ γὰρ κάμνεις, φησὶν, ὡς ὁ ἔξω νόμου πολιτευόμενος, τὸ παρακτέον ἐπιζητῶν, ἀλλ' ἔχεις τὸν νόμον, σαφῶς ἅπαντά σε διδάσκοντα. Ἢ οὕτω· Μέγα ἐπὶ τῷ νόμῳ φρονεῖς, καὶ ἐντρυφᾷς αὐτῷ, ὡς ἠξιωμένος νόμου θείου παρὰ τοὺς λοιποὺς. Τὸ δὲ, *ἐπαναπαύῃ,* δηλοῖ, ὅτι οὐ καμάτῳ αὐτῶν ἢ κατορθώματι ἐδόθη, ἀλλὰ χάριτι θείᾳ. *Καὶ καυχᾶσαι ἐν θεῷ.*] Ὡς μόνος ἀγαπηθεὶς παρὰ τοὺς λοιποὺς ἀνθρώπους. Δοκεῖ δὲ αὐτοὺς καὶ εἰς ἀπόνοιαν σκώπτειν. *Καὶ γινώσκεις τὸ θέλημα.*] Καίτοι τὸ γινώσκειν μὲν, μὴ ποιεῖν δὲ, πλείονα παρασκευάζει τὴν κόλασιν· ἀλλ' ὅμως καὶ ἐπὶ τούτῳ μέγα ἐφρόνουν. Ὅθεν οὐ λέγει, *ποιεῖς,* ἀλλὰ, *γινώσκεις τὸ τοῦ θεοῦ θέλημα. Καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου.*] Ἡ γὰρ τοῦ νόμου κατήχησις οἶδε

(α) Ἰωαν. Ε, 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν συμφερόντων ἀκριβῆ δοκιμασίαν ἐκδιδάξαι· οὗτοι δὲ μὴ ποιοῦντες, καὶ ἐπὶ τῷ εἰδέναι τὴν τῶν συμφερόντων δοκιμασίαν μέγα ἐφρόνουν. *Πέποιθάς τε.*] Οὐκ εἶ, φησὶν, ὁδηγὸς τυφλῶν, ἀλλ' οὕτω περὶ σεαυτοῦ λογίζῃ· *τυφλοὺς* δὲ, καὶ ἐν σκότει, καὶ ἄφρονας, καὶ νηπίους, λέγει τοὺς προσκολλωμένους τοῖς Ἰουδαίοις προσηλύτους, οἳ οὔπω εἴδησιν εἶχον τοῦ νόμου. Τούτοις γὰρ τοῖς ὀνόμασιν ἀπὸ κενοδαξίας αὐτοὶ τοὺς προσηλύτους ἐκάλουν· διὸ καὶ αὐτὸς ῥῆμα ἐπονειδίζων, αὐτοῖς τούτοις τοῖς τοιούτοις ὀνόμασιν ἐχρήσατο. *Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας.*] Εὐφυῶς εἶπε, Μόρφωσιν γνώσεως καὶ εὐσεβείας, δηλῶν, ὅτι οὐκ αὐτὴν ἔχουσι τὴν ἀληθῆ γνῶσιν καὶ εὐσέβειαν, ἀλλ' ἐπίπλαστον εἰκόνα τινὰ, σχῆμα μὲν ἔχουσαν ἀληθείας, οὐκ οὖσαν δέ. Καλῶς δὲ κεῖται τὸ, *ἐν τῷ νόμῳ*· ἔδει γὰρ τὴν εἰκόνα τὴν ἀληθῆ, ἐν τῷ συνειδότει καὶ ἐν ταῖς πράξεσι κεκτῆσθαι· σὺ δέ, φησι, μέγα φρονεῖς, ὡς ὅτι ὁ νόμος ἔχει τὴν εἰκόνα ταύτην· ἀλλ' οὐδὲν τοῦτο πρὸς σέ· ἐπεὶ μὴ ποιητὴς εἶ τοῦ νόμου — ΑΛΛΩΣ. Μορφοῦται τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἐν τῷ νόμῳ ἀληθείας, ὁ εἰδὼς αὐτὸν καὶ πολιτευόμενος κατ' αὐτόν. Τέθεικε γὰρ, τὸ μὲν, *μόρφωσιν γνώσεως*, ἐπὶ τοῦ εἰδέναι, τὸ δὲ, *μόρφωσιν ἀληθείας*, ἐπὶ τοῦ πράττειν. Ἐκεῖνος γὰρ ἀληθῆ τὴν ἐν τῷ νόμῳ γνῶσιν δεικνύει, ὁ διὰ τῶν ἔργων πληρῶν αὐτὴν, ἐκεῖνος πιστήν· σὺ δέ, φησι, πέποιθας, σεαυτὸν εἶναι παιδευτὴν καὶ ὁδηγὸν καὶ διδάσκαλον, οὐχ ἁπλῶς, ἀλλ' ἔχοντα τὴν μόρφωσιν τῆς ἐν τῷ νόμῳ γνώσεως, καὶ τῆς ἐν τῷ νόμῳ ἀληθείας· οὕτω δὲ πολιτεύῃ, ὡς μηδὲ διδασκαλίας νομικῆς πω ἀκούσας,. Ὁ οὖν τὴν μόρφωσιν πεποιθὼς ἔχειν τῆς γνώσεως καὶ τῆς ἀληθείας, ὁ τῶν ἀφρόνων παιδευτὴς, ὁ ὁδηγὸς, ὁ διδάσκαλος εἶναι πεποιθὼς, πρῶτον σεαυτὸν δίδαξον· διδάξεις δὲ, ὅτε ἐπὶ τοῖς ἔργοις δείξεις ἀληθεύουσαν τὴν διδασκαλίαν.

21 Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;
22 ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα,
23 ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παρα-
24 βάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις; «Τὸ γὰρ
ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι,»
καθὼς γέγραπται.

Εἶτα ἀκόλουθον ἦν εἰπεῖν, ὅτι οἱ τὰ τοιαῦτα παρὰ θεοῦ λαβόντες, καὶ μὴ φυλάττοντες αὐτὰ, μείζονας ἔσονται τιμωρίας ἔνοχοι, ὅσῳ καὶ ἐν γνώσει ἡ ἁμαρτία. Ἀλλὰ τέως οὐ σφόδρα αὐτῶν καθάπτεται· ἀλλὰ κατ' ἐρώτησιν προάγων τὸν λόγον, τοῦτο αὐτὸ ἐνδείκνυται. Τινὲς δὲ μᾶλλον ἀποφαντικῶς ἀναγνωστέον φασίν. *Ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;*] Ὁ μὲν νόμος καὶ τὰ ἐν τοῖς εἰδωλείοις χρήματα βδελυκτὰ εἶχε, διὰ τὸ δαίμοσιν ἀνατεθεῖναι· ὑμεῖς δέ, φησι, τὰ μὲν εἴδωλα βδελλύσσεσθαι φατὲ, τὰ δὲ ἐπ' αὐτοῖς χρήματα ἁρπάζετε. Ἆρα οὖν, οὐδὲ τὰ εἴδωλα κατ' ἀλήθειαν βδελύσσεσθε. Εἰ γάρ τις βδελύσσεται τὰ εἴδωλα, ὡς τῶν οἰκείων ἐθῶν καὶ νομίμων καὶ ἱερῶν ἀκριβὴς φύλαξ, ἔπειτα τὰ οἰκεῖα ἱερὰ ἀποσυλᾷ, πύσης οὗτος οὐκ ἔστιν ἄξιος τιμωρίας; δι' ὧν μὲν προσποιεῖται ἀποστρέφεσθαι τὰ εἴδωλα, τιμᾷ καὶ περιπτύσσεσθαι δοκῶν τὴν οἰκείαν λατρείαν, καὶ τὰ περὶ αὐτὴν ἱερά· δι' ὧν δὲ τολμηρὰν καὶ κλέπτουσαν χεῖρα ἐπαφίησιν αὐτοῖς, μᾶλλον τῶν εἰδώλων ἐξυβρίζων αὐτὴν καὶ εἰς τὸ μηδὲν ἡγούμενος, παραπλήσιός ἐστιν οὗτος ὡς ἀληθῶς τῷ λέγοντι μὲν ἑτέροις, μὴ δεῖν κλέπτειν, πράττοντι δὲ τὰ τῶν κλεπτόντων. Ὥσπερ γὰρ ἐκεῖνος ἐναντία τοῖς λόγοις διὰ τῶν ἔργων πράττειν ἐπιδείκνυται, οὕτω καὶ οὗτος ἐναντία τοῦ βδελύσσεσθαι τὰ εἴδωλα δι' ὧν ἱεροσολεῖ διαπράττεται, διὰ τῆς εἰς τὰ ἱερὰ κλοπῆς καὶ ὕβρεως θεραπεύων τοὺς δαίμονας, ὧν ἦσαν τὰ εἴδωλα οἰκητήρια.—*Ὃς ἐν νόμῳ καυχᾶσαι.*] Καυχᾶσαι, ὡς τιμηθεὶς παρὰ τοῦ θεοῦ διὰ τὸν νόμον. Τί τοίνυν τῇ παραβάσει ἀτιμάζεις τὸν νόμον, καὶ συνατιμάζεις τὸν θεόν; *Τὸ γὰρ ὄνομα τοῦ θεοῦ.*] Ἐπειδὴ βαρὺ εἶπεν, ὅτι τὸν θεὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀτιμάζεις, τὸν προφήτην παράγει μάρτυρα· ὡς εἰ εἶπεν· Οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ Ἡσαΐου (α). Οἱ γὰρ ἐξ ἐθνῶν, ὁρῶντες αὐτοὺς κακῶς πολιτευομένους, εἰς βλασφημίας ἐξεφέροντο, Τούτους, λέγοντες, ἔδει ἀγαπῆσαι τὸν θεὸν, ἢ δοῦναί τι αὐτοῖς; οὐκ ᾔδει κακοὺς ὄντας καὶ ἐσομένους; Ἐν τοῖς ἔθνεσιν.] Οὐ μόνον, φησὶν, ὑμεῖς ἀτιμάζετε τὸν θεὸν, ἀλλὰ καὶ ἄλλοις πρόφασιν παρέχετε.

25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

Ἐπειδὴ μέγα τι ἐδόκει ἡ περιτομὴ, τελευταῖον ἐπ' αὐτὴν ἦλθε, καὶ φησίν· Ἀλλ' ἐρεῖτε, μέγα καὶ ὠφέλιμόν τι χρῆμα ἡ περιτομή· εἰσκρίνει γὰρ τῷ λαῷ τοῦ θεοῦ. Ναί, φησιν, ὁμολογῶ· ἀλλὰ τότε, ὅταν νόμον πράσσῃς. Ἐὰν δὲ παραβάτης.] Βούλεται δεῖξαι, ὅτι ἔστι περιτομὴ νοητὴ, ἧς τύπος ἡ αἰσθητὴ, κεκαθάρθαι καὶ τὰ περιττὰ περιτετμῆσθαι· περιττὸν δὲ, πᾶν ὅσον οὐ φίλον θεῷ. Ἐκ δὲ τούτου, ἔστί τις ἀκρόβυστος μὲν τὸ σῶμα, τὴν δὲ τοιαύτην ἔχων περιτομήν· καὶ πάλιν, ἐμπερίτομος μὲν τὸ σῶμα, ἀκρόβυστος δὲ τὴν ψυχήν. Ἀκροβυστίαν δὲ καὶ περιτομὴν, τὴν ἀληθῆ δηλονότι, αἱ ἀγαθαὶ καὶ πονηραὶ πράξεις χαρακτηρίζουσιν. Ἐπεὶ οὖν σημεῖόν ἐστιν ἡ περιτομὴ παθῶν ἐκκοπῆς, εἴ τις οὐκ ἐκκέκοπται τὰ πάθη, δῆλον ὅτι ἀκρόβυστός ἐστι, κἂν τὸ σημεῖον ἐπὶ τοῦ σώματος φέρῃ. Τοὐναντίον γὰρ οὐ μόνον οὐδὲν ὠφελεῖται οὗτος, ἀλλὰ καὶ πλέον βλάπτεται, ψευδόμενός τε κατὰ τῆς ἀληθοῦς περιτομῆς, ἧς ἦν σύμβολον ἡ κατὰ σάρκα, καὶ αὐτὴν ταύτην ἐνυβρίζων, καὶ ἄχρηστον ποιῶν, καὶ μηδὲν σημαίνουσαν, ὧν ἐδόθη σημεῖον εἶναι. Εἰ δέ τις ἐκκέκοπται τὰ πάθη, κἂν τὸ σημεῖον οὐκ ἐντετύπωται τῇ σαρκὶ, οὐδὲν ἧττον περιτέτμηται τὴν ἀληθινὴν περιτομὴν, εἰ μὴ καὶ μᾶλλον, ὅσῳ μηδὲ δεηθεὶς

(α) Ἡσα. ΝΒ', ε.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς αἰσθητῆς, ἥτις χάριν παρελαμβάνετο μνήμης καὶ συμβόλου. — *Ἀκροβυστία γέγονε.*] Τουτέστι, βδελυκτὸν, κατὰ τὸν ἐκείνων νοῦν· βδελυκτὸν γὰρ ἐκεῖνοι τὸν ἀκρόβυστον ἡγοῦντο. Ἐὰν οὖν, φησὶν, οὐ φυλάττῃς, οὐδὲ πράττῃς τὰ τοῦ νόμου, ἡ περιτομή σου, ὅπερ ἦν θεάρεστον, γέγονε βδελυκτὸν καὶ ἀπόβλητον· ἐὰν δὲ ὁ ἀκρόβυστος τὰ δικαιώματα φυλάττῃ τοῦ νόμου, ἡ ἀκροβυστία αὐτοῦ, ὅπερ ἦν βδελυκτὸν, θεάρεστον καὶ θεοφιλὲς λογισθήσεται αὐτῷ τῷ νομοθέτῃ καὶ δημιουργῷ· καὶ τοσοῦτον θεάρεστον καὶ ἀποδεκτὸν, ὅσον καὶ σὲ δι' αὐτοῦ ἐλέγχεσθαι καὶ κατακρίνεσθαι. Σκόπει δὲ, πῶς σοφῶς καὶ δρυμέως φησίν· *Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ·* καὶ οὐκ εἶπε· Ἐὰν τὸν νόμον φυλάσσῃ· ἵνα μὴ εἴπῃ ὁ Ἰουδαῖος· Καὶ πῶς ἔνι τὸν ἀκρόβυστον φυλάττειν τὸν νόμον, αὐτῷ τούτῳ παραβαίνοντα τὸν νόμον, τῷ ἀκρόβυστον εἶναι; Ἵνα οὖν μηδ' ἐν τούτῳ δῷ αὐτοῖς λαβὴν, οὐχ οὕτως φησίν· ἀλλὰ *τὰ δικαιώματα τοῦ νόμου.* Καὶ ἐπὶ μὲν αὐτῶν ἐκείνων, τὸν νόμον φησίν· ἐπὶ δὲ τῶν ἀκροβύστων, τὰ δικαιώματα τοῦ νόμου. Οὐ πάντα, φησὶ, τὸν νόμον εἶπον· ἀλλὰ τὰ δικαιοῦντα μόνον. Ἅμα σοφῶς ὑπεμφαίνων, ὅτι οὐ πάντα τὰ ἐν νόμῳ ἦσαν δικαιοῦντα· ἀλλὰ τὰ μὲν, δικαιώματα ἦσαν καὶ ἐδικαίουν, ὅσα συνεφώνει τῇ χάριτι· τὰ δὲ, ἕνεκα μόνης τῆς ἐκείνων ἀσθενείας ἦσαν δεδομένα. — ΑΛΛΩΣ. Εἰς νοητὴν ἀκροβυστίαν, φησὶ, μεταπεφοίτηκέ σου ἡ περιτομὴ, διὰ σὲ τὸν κακῶς χρώμενον. Τέως γὰρ οὐ βούλεται φανερῶς ἀτιμάσαι τὴν περιτομήν.

26 Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν
27 λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία, τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;

Ἐὰν οὖν ἡ ἀκροβυστία.] Τουτέστιν, οἱ τὴν ἀκροβυστίαν ἔχοντες ἐθνικοί. *Λογισθήσεται.*] Οὐκ εἶπεν, ὅτι νικᾷ τὴν περιτομήν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(τέως γὰρ ἐπαχθὲς ἦν τοῦτο·) ἀλλ' ὅτι, *εἰς περιτομὴν λογισθήσεται, παρὰ τῷ θεῷ δηλονότι. Καὶ κρινεῖ.*] Τουτέστι, κατακρινεῖ. Ἤ, ἐλέγξει σε, φησὶν, ὁ τὸ σημεῖον μὲν μὴ ἔχων, τὰ δὲ τοῦ σημείου κατορθώσας, ὡς μὴ κατορθώσαντα· καίτοι δέον, ἐπεὶ καὶ ὑπέσχου διὰ τοῦ σημείου, μᾶλλον ἐκείνου τὸ κατόρθωμα ἐπιδεικνῦναι. *Ἡ ἐκ φύσεως ἀκροβυστία.*] Ἐκ φύσεως ἀκροβυστίαν λέγει τὸν ἐν σαρκὶ ἀκρόβυστον. Οὗτος τοιγαροῦν, πληρῶν τὰ ἀπὸ τοῦ νόμου, κατακρινεῖ σὲ τὸν περιτομὴν ἔχοντα, καὶ, ὅσον ἦκεν εἰς τὸ γράμμα, τὸν νόμον, ταῖς δὲ πράξεσι παραβαίνοντα αὐτόν. *Τὸν νόμον τελοῦσα.*] Κατ' ἐκεῖνο δηλονότι, καθ' ὃ τὰ δικαιώματα αὐτοῦ φυλάττει. Σκόπει δέ· Πρῶτον μὲν δικαιώματα νόμου εἰπὼν, καὶ οὐκ αὐτὸν τὸν νόμον, νῦν αὐτὸν τὸν νόμον τελεῖν φησιν, ὑποδηλῶν, ὅτι ταῦτα ἐστι κυρίως νόμος· ἡ δὲ περιτομὴ, καὶ τὰ τοιαῦτα, οὐδὲ κυρίως νόμος. *Σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς.*] Διὰ γὰρ νόμου γραπτοῦ καὶ περιτομῆς προαχθεὶς, ἐγένου πάντων παραβάτης.

28 Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, Ἰουδαῖός ἐστιν· οὐδὲ ἡ ἐν
29 τῷ φανερῷ, ἐν σαρκὶ, περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος· καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ.

Λοιπὸν ὁρίζει, τίς ὁ ὄντως Ἰουδαῖος, καὶ τίς ὁ ὄντως ἀκρόβυστος. Καὶ δοκεῖ μέν, μὴ ἐκβάλλειν τὸν Ἰουδαῖον, ἀλλὰ τὸν παραβάτην· πολὺ δὲ καταβάλλει αὐτοὺς, σημαίνων πάντα. πρὸς ἐπίδειξιν αὐτοὺς ποιοῦντας. *Οὐδὲ ἡ ἐν τῷ φανερῷ, ἐν σαρκὶ, περιτομή.*] Τοῦτο εἰπὼν, ἐξέβαλε τὰ σωματικὰ πάντα *Ἐν τῷ κρυπτῷ Ἰουδαῖος.*] Οἷον ὁ νοητός. *Καὶ περιτομή.*] Οὐ γὰρ χρεία, φησὶ, τὴν σαρκικὴν περιτέμνειν ἀκροβυστίαν, ἀλλὰ τὴν καρδίαν ἐκ τῶν κακῶν πράξεων. Εἰπὼν δὲ, *ἐν πνεύματι*, προσδοποιεῖ τῇ πίστει· οἱ γὰρ πιστοὶ διὰ πνεύματος ἁγίου τὴν περιτομὴν ἔχουσι τῶν ἁμαρτιῶν· ὁ τὴν καρδίαν,

Δημοσία Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

φησὶ, τετμημένος ἀπὸ πάσης ἀκαθαρσίας. Οὗτος γὰρ ὁ ἀληθῶς Ἰουδαῖος, ὁ τὸν νόμον πληρῶν. *Οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ.*] Τῆς γὰρ κρυπτῆς καὶ ἐν καρδίᾳ περιτομῆς, οὐκ ἔσται ἐπαινέτης ἄνθρωπος, ἀλλ' ὁ ἐτάζων καρδίας καὶ νεφροὺς θεός.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ὑπεροχῆς Ἰσραὴλ, τοῦ τυγχάνοντος τῆς ἐπαγγελίας.

ΚΕΦ. III, 1 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς 2 ἡ ὠφέλεια τῆς περιτομῆς; Πολὺ, κατὰ πάντα τρόπον.

Ἀντιτίθησιν ἑαυτῷ. Εἰ οὖν, φησι, κατὰ τὸν σὸν λόγον, οὐδὲν ὠφελεῖ, οὔτε τὸ εἶναι Ἰουδαῖον, οὔτε τὸ περιτέμνεσθαι, ἀλλὰ καὶ βλάπτει, ὡς τοὺς παραβαίνοντας μείζονος εἶναι τιμωρίας ἀξίους, τί δή ποτε ἡμᾶς καὶ ἐξελέξατο ὁ θεός; διατὶ δὲ καὶ περιτέμνεσθαι προσέταξεν; Ἦν μὲν οὖν πρὸς τὴν ἀντίθεσιν εἰπεῖν, ὅτι τύπος ἦν ἡ περιτομὴ ταύτης τῆς διὰ πίστεως ἐν πνεύματι περιτομῆς, καὶ Ἰουδαῖος, τοῦ νοητοῦ Ἰουδαίου, τοῦ ἐξομολογουμένου θεῷ· *Ἰούδας* γὰρ, ἐξομολόγησις ἑρμηνεύεται. Ἀλλὰ ταύτην τέως ἀφεὶς τὴν λύσιν, ἀπαράδεκτον ἔτι οὖσαν, εἰς ἑτέραν ἦλθεν, ὅτι ὠφελεῖ ὁ Ἰουδαϊσμός· ἐκ τούτου γάρ, φησιν, ἔμαθον ὁδὸν σωτηρίας, ἔλαβον νόμον ὁδηγὸν τῶν πρακτέων· εἰ δὲ μὴ ἐφύλαξαν, ἑαυτοῖς μεμφέσθωσαν. Ἐμοὶ γὰρ τέως, φησὶ, πρὸς τοὺς μὴ παραβαίνοντας ὁ λόγος. — ΑΛΛΩΣ. Τὴν Ἰουδαϊκὴν καταστείλας ὀργὴν, καὶ δείξας μάτην αὐτοὺς ἐπὶ τῇ περιτομῇ καὶ τῷ νόμῳ καὶ τῇ τοῦ Ἰουδαίου προσηγορίᾳ μεγαλαυχουμένους, ἵνα μή τις αὐτὸν ὑπολάβῃ, δυσμενείᾳ τοῦτο καὶ ἀπεχθείᾳ ποιεῖν, ἐπάγει· *Τί τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς;* Εἰ τῶν ἀλλοφύλων, φησὶν, ἐθνῶν τινὲς θεα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεβείᾳ καὶ ἀρετῇ κοσμούμενοι, τῶν θείων ἀναῤῥήσεων ἀπολαύουτι, τί δή ποτε τῶν ἐθνῶν ἐχώρισε τὸν Ἰσραὴλ ὁ θεὸς, καὶ τὴν περιτομὴν αὐτοῖς δέδωκε; τὸ γὰρ περισσὸν τοῦ Ἰουδαίου, τὴν περιτομὴν λέγει. Εἶτα ἐπάγει· *Πολὺ, κατά πάντα τρόπον*· ἐξελέξατο γὰρ αὐτῶν τοὺς προγόνους· τῆς Αἰγυπτίων ἠλευθέρωσε δυναστείας· πολυθρυλλήτους διὰ τὰς παντοδαπὰς θαυματουργίας ἀπέφηνε· νόμον ἔδωκεν εἰς βοήθειαν· προφήτας ἀπέστειλε. Ταῦτα γὰρ λέγει· *Πολὺ, κατὰ πάντα τρόπον*. Ταῦτα μέντοι πάντα σιγήσας, τοῦ νόμου τὴν θέσιν τίθησι μόνον· πρῶτον μὲν, λέγων, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ, πολὺ κατὰ πάντα τρόπον συντίθεται εἶναι τὸ περισσὸν καὶ ὠφέλιμον.

2 Πρῶτον μὲν γὰρ, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ
3 θεοῦ. Τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; Μὴ γένοιτο!

Ὅτι ὅλως, φησὶν, ἐνεχειρίσθησαν τὸν νόμον. Οὗτος γὰρ, *τὰ λόγια τοῦ θεοῦ. Τί γὰρ, εἰ ἠπίστησάν τινες;*] Εἶτα, ἵνα μὴ λέγωσι· Ναὶ, ἐνεχείρισεν ἡμῖν ὁ θεὸς τὸν νόμον. Καὶ τίς ὠφέλεια τοῦ τὸν νόμον ἐγχειρισθῆναι, ὁπότε πολλοὶ οὐκ ἐπίστευσαν αὐτῷ; Καὶ τί, φησι, πρὸς τὸν θεὸν, εἰ ὑμεῖς ἠπιστήσατε; μὴ γὰρ ἀνάγκη σῶσαι ὑμᾶς εἶχεν ὁ θεὸς ἄκοντας; μὴ γὰρ, ἐπειδή τινες ἠπίστησαν, παρὰ τοῦτο *τὴν πίστιν τοῦ θεοῦ*, τουτέστι, τὴν εὐεργεσίαν, κατήργησαν καὶ ἐματαιοποίησαν; Θύμενοῦν· εἰ γὰρ καὶ αὐτοὶ οὐκ ἠβουλήθησαν, ὁ μέντοι θεὸς τὸ αὐτοῦ πεποίηκεν.—ΑΛΛΩΣ. Ἀντιπίπτον λύει. Τί γὰρ, εἰ ἠπίσησάν τινες; Ἀπορήσειε γὰρ ἄν τις, ὅτι ἐνεπιστεύθησαν μὲν τὰ λόγια τοῦ θεοῦ· τὰ δὲ λόγια τοῦ θεοῦ μεγάλας μὲν δωρεὰς καὶ εὐεργεσίας ὑπισχνεῖται· ἀλλ' ἐν τῇ τῶν παραδεξαμένων πίστει καὶ παραφυλακῇ αὗται τὴν ὑπόστασιν καὶ τὴν ἔκβασιν εἶχον· πολλῶν δὲ ἀπιστησάντων καὶ παραβεβηκότων, ἀκόλουθον, κεκωλῦσθαι μὲν τὰς ὑποσχέσεις εἰς πέρας ἐξελθεῖν, μάτην δὲ τὰ λόγια τοῦ θεοῦ καταπιστευθῆναι τούτοις εἰς μηδὲν χρήσιμον, καὶ τὴν περιτομὴν ἐξελεγχθῆναι, εἴγε ἡ μὲν περιτομὴ, διὰ τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγια, τὰ δὲ λόγια, διὰ τὰς δωρεὰς, αἱ δὲ δωρεαὶ, διὰ τῆς πίστεως ἐλάμβανον πέρας· τὴν πίστιν δὲ ἠθέτησαν οἱ παραβεβηκότες. Ὥσε οὐδεμία, φησιν, ὠφέλεια τῆς περιτομῆς. Ταύτην οὖν ἐπιλυόμενος τὴν ἀπορίαν, φησί· *Τί γὰρ, εἰ ἠπίστησαν τινές; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει;* τουτέστι, τὸ πιστὸν τῶν ὑποσχέσεων αὐτοῦ, τὸ ἀληθὲς, τὸ ἀμετάθετον; Μὴ γένοιτο, φησὶ, διὰ τὴν ἐκείνων ἀπιστίαν, ἢ τὸ ἐν ταῖς ὑποσχέσεσιν αὐτοῦ πιστὸν καὶ ἀληθὲς, μάταιον ἀπελεγχθῆναι, ἢ τῆς περιτομῆς τὴν νομοθεσίαν εἰς μηδὲν ὠφέλιμον χρηματίσαι· τὴν γὰρ αἰτίαν ἔχειν οὐκ ἄλλος, ἀλλ' ἢ οἱ παραβεβηκότες εἰσὶ δίκαιοι. Μᾶλλον οὕτω· Μὴ γένοιτο, ὑπερισχύσαι τὴν ἀπιστίαν ἐκείνων, ὥσε δι' ἐκείνων καταργηθῆναι, καὶ ἀτελὲς καὶ ἀνέκβατον ὀφθῆναι, τὸ ἐν ταῖς ὑποσχέσεσιν αὐτοῦ πιστὸν καὶ πανάληθες. Κἂν γὰρ ἐκεῖνοι ἠπίστησαν, αὐτὸς οὐδὲν ἔλαττον τὸ ἑαυτοῦ ἐποίησε, καὶ τὰς ἐπαγγελίας ἐξεπλήρωσε. Δυνατὸν δὲ, *πίστιν θεοῦ*, ἐκλαβεῖν καὶ τὴν ἐν τοῖς μὴ παραβεβηκόσι διαμείνασαν πίστιν. Αὕτη γαρ θεοῦ πίστις, ὡς εἰς θεὸν οὖσα, καὶ ἐκ θεοῦ αὐτοῖς διαφυλαχθεῖσα· ἡ μὲν γὰρ ἀπιστία, τῆς μοχθηρίας τῶν ἀπιστησάντων· ἡ δὲ πίστις, ἐκ θεοῦ ἐδράζεται τοῖς ἀξίοις. Ἡ οὖν ἐκείνων ἀπιστία, *μὴ γένοιτό*, φησιν, ὅτι ἐκνικᾷ τὴν εἰς θεὸν καὶ διὰ θεοῦ μεμενηκυῖαν πίστιν. Ὥστε τέλος ἔξουσιν αἱ ἐπαγγελίαι· ὥστε ἔστιν ὠφέλεια καὶ τῆς περιτομῆς.

4 Γινέσθω δὲ ὁ θεὸς ἀληθὴς (α), πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς γέγραπται· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε (β).»

Οὐκ ἐπειδή, φησιν, ἠπείθησαν Ἰουδαῖοι, διὰ τοῦτο παρεβλάβη τι ἡ δωρεὰ τοῦ θεοῦ, ἢ ἠλαττώθη· ἀλλὰ πάντα γέγονεν, ἵνα διελεγχθῇ καὶ τοῦ θεοῦ τὸ ἀληθὲς, ἐφ' οἷς ἐπηγγείλατο τοῖς ἀμφὶ τὸν Ἀβραὰμ, καὶ τῶν ἀνθρώπων τὸ ψευδές. Ἐψεύσαντο

(α) Ἰωαν. Γ', 33. Δευτ. ΑΒ', 5. 4. (β) Ψαλμ. ΡΙΕ', 2. Ψαλμ. Ν', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τῇ ἀπιστίᾳ τὸν θεὸν, θεοῖς λατρεύσαντες καὶ δαίμοσιν. — ΑΛΛΩΣ. *Γινέσθω ὑμῖν*, φησὶν, *ὁ θεὸς ἀληθής*· λογιζέσθω, νοείσθω, φρονείσθω, ὅτι ὁ θεὸς ἀληθὴς, καὶ ὅτι πᾶς ἄνθρωπος ψεύστης. Εἰ οὖν τοῦτο, εἰ καί τινες ἠπείθησαν, οὐδὲν ἧττον ὁ θεὸς ἃ ἐπηγγείλατο τῷ Ἀβραὰμ εἰς τέλος ἄξει. Πῶς οὖν, φησὶ, καὶ ἀπιστοῦσι καὶ παρανομοῦσι; Ναί, φησὶ· τὰς γὰρ οἰκείας ἐπαγγελίας αὐτοῦ ἐπάγων, ἐκείνων παραβεβηκότων, καὶ τὸ ἐκείνων ἄγνωμον καὶ ἀχάριστον μάλιστα ἐλέγχεται· οὐ μὴν ἀλλὰ καὶ τὸ ὑπερβάλλον τῆς εὐεργεσίας καὶ ἀληθείας τῆς τοῦ θεοῦ δικαιοσύνης ἐπὶ πλέον ἀπογυμνοῦται καὶ ἐπιδείκνυται, καὶ νίκη αὐτῷ λαμπρὰ ἐκ τούτου περιγίνεται, ὡς καὶ ὁ Δαυὶδ μαρτυρεῖ λέγων· « Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. » Ὥστε, εἰ ἐκ τῆς ἐπαγγελίας τὸ πέρας τῆς ἐπαγγελίας, ταύτην δὲ κατεπιστεύθησαν οἱ Ἰουδαῖοι, πολὺ κατὰ πάντα τρόπον τὸ περισσὸν τοῦ Ἰουδαίου, εἰ καί τινες αὐτῶν γεγόνασι παραβάται. Εἶτα, Τί οὖν, φησιν, εἰ ἐκ τῆς ἀδικίας ἡμῶν νίκη γίνεται τῷ θεῷ, ; — *Καθὼς γέγραπται.*] Παράγει καὶ τὸν Δαυὶδ τὸ αὐτὸ λέγοντα. Ὅτι διὰ τοῦτο, φησὶ, καὶ ἀναξίους εὐεργετεῖ ὁ θεὸς, ἵνα δειχθῇ αὐτοῦ τὸ ἀγαθὸν, καὶ ἵνα νικήσῃ, εἰς κρίσιν τοῖς ἀνθρώποις καταστάς.

5 Εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν; (κατὰ ἄνθρωπον λέγω). Μὴ γένοιτο!

Ἀντίθεσις. Ὁ θεὸς, φησιν, εὐηργέτησεν· ἡμεῖς δὲ αὐτὸν ἐψευσάμεθα· καὶ διὰ τὴν ἡμετέραν κακίαν ὤρθη μᾶλλον ἐλεήμων, ὅσῳ καὶ ἀναξίους εὐεργετεῖ· διὰ τοῦτο τοιγαροῦν καὶ νικᾷ ἐν τῇ κρίσει· ἡμεῖς οὖν αὐτῷ ἀγνωμονήσαντες, τὴν πρόφασιν τῆς νίκης παρέσχομεν· διατὶ οὖν κολάζει ἡμᾶς, δι' οὓς ὤφθη νικῶν; Λύσις. Εἰ αἴτιος αὐτῷ σὺ τῆς νίκης, κολάζει δέ σε, ἀδικεῖ· εἰ δὲ ἄδικος οὐκ ἔστι, κολάζει δὲ, ἆρα οὐ σὺ αὐτῷ τῆς νίκης αἴτιος· ἐνῆν γὰρ αὐτῷ καὶ ἄλλως νικᾶν, κἂν σὺ μὴ ὤρθης κακός· οὐ γὰρ ὁ μὴ κακὸς, ἤδη καὶ ἄξιος ἀγάπην θεοῦ ἐπισπάσασθαι.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλος

Απορίαν δὲ διὰ τούτων μεγάλην ἀνακινεῖ, καὶ ἐπιλύεται λίαν σοφῶς καὶ ἐμφρόνως. Εἰ μὴ ἥμαρτον, φησὶν, ἐροῦσί τινες, οὐκ ἂν ὁ θεὸς ἐφάνη ἀληθὴς, οὐκ ἂν δίκαιος, οὐκ ἂν ἐνίκησε. Πρὸς οὓς λέγομεν· Εἰ σὺ τῆς νίκης αὐτῷ καὶ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης αἴτιος, πῶς σε κολάζει ἁμαρτάνοντα; πῶς σε τιμωρεῖται; μὴ ἄδικον αὐτὸν ἐρεῖς; Καὶ ποίας δικαιοσύνης αὐτοῦ σαυτὸν ἔλεγες αἴτιον; τοῦτο γὰρ οἶμαι δηλοῦν αὐτὸν, διὰ τοῦ εἰπεῖν· *Ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον*; ἀντὶ τοῦ, Πῶς αὐτὸν ἄδικον ἔλεγες καὶ κριτήν; δι' ὧν γὰρ σαυτὸν αἴτιον ἔλεγες τῆς δικαιοσύνης αὐτοῦ, κριτὴν ἂν ὡμολόγεις καὶ δίκαιον· δικαιοσύνη γὰρ, τέλος κρίσεως. Εἰ οὖν ἐπάγει ὀργὴν τοῖς ἁμαρτάνουσι, πῶς αἴτιοι αὐτοὶ τῆς δικαιοσύνης αὐτοῦ; Ἀλλὰ δίκαιον ἐρεῖς, φησιν; Ἀλλ' οὐκ ἔχεις εἰπεῖν· δίκαιον γὰρ δι' ὧν ἠπόρεις ἀνωμολόγησας. Ὥστε οὐκ εἰσὶν οἱ ἁμαρτάνοτες οὔτε τῆς νίκης, οὔτε τῆς ἀληθείας, οὔτε τῆς δικαιοσύνης αἴτιοι. Εἶτα προάγει καὶ ἕτερος τὸ ἐπιχείρημα. Εἰ διὰ τοῦ ἐμοῦ ψεύδους, ὡς λέγεις, δοξάζεται ὁ θεὸς ἀληθὴς, οὐ κατακρίσεως, ἀλλὰ τιμῆς ἀπολαύειν μᾶλλον ὤφειλον· καὶ πλέον ψεύδεσθαι καὶ ἁμαρτάνειν ἔδει με, ἵνα πλέον δοξάζηται ὁ θεὸς, καὶ πλέον ἀπήλαυον ἐγὼ τῶν ἀγαθῶν. Ἀλλὰ μὴν οὐδεὶς ἂν τοῦτο τολμήσειε λέγειν· δῆλον γὰρ τὸ ἄτοπον. Διὸ καὶ εἴ τινες λέγουσι περὶ ἡμῶν, ὅτι φρονοῦμεν, ὡς ἐν τῇ πράξει τῶν κακῶν ἔρχεται ἡμῖν τὰ ἀγαθὰ, ἀπαραίτητον κρίμα ἔξουσιν, ὅτι εἰς τηλικαύτην συκοφαντίαν ἡμᾶς διασύρουσι. Καὶ ὅρα σοφίαν! Αὐξῆσαι γὰρ θέλων τὸ ἄτοπον, οὐδὲ τοὺς ἀποροῦντας ταῦτα τοῦτο λέγοντας εἰσάγει, ἀλλ' ἑτέρους τινὰς, καὶ βλασφημίαν αὐτὸ καλεῖ· *Καθὼς γάρ*, φησι, *βλασφημούμεθα*. Εἰ οὖν οἱ λέγοντες τοῦτο καθ' ἡμῶν, ἀπαραίτητον ἔξουσι τὴν δίκην, πολλῷ μᾶλλον οὐκ ἂν τολμήσαιμεν ἡμεῖς οὐδ' εἰς νοῦν παραδέξασθαι, ὅτι ἐν τῇ πράξει τῶν κακῶν παραγίνεται τὰ ἀγαθά· εἰ δὲ μὴ τοῦτο, οὐδ' ὅτι ἐπὶ πλέον ἁμαρτάνειν δεῖ, ἵνα πλεῖον δοξασθῇ ὁ θεός· εἰ δὲ μηδὲ τοῦτο, δῆλον ὡς οὐδὲ τὸ λέγειν, ὅτι διὰ τοῦ ἐμοῦ ψεύσματος δοξάζεται ὁ θεὸς ἀληθής.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐδ' ἄρα αἴτιός εἰμι θεῷ οὔτε τῆς ἀληθείας αὐτοῦ, οὔτε τῆς δικαιοσύνης, οὔτε τῆς νίκης αὐτοῦ. *Μὴ ἄδικος ὁ θεός.*] Εἰ δὲ, φησιν, ἐκ τῆς ἡμῶν ἀδικίας μᾶλλον δείκνυται ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη τοῦ θεοῦ· ὅτι δὴ οὔτε ἡ ἡμῶν ἀδικία ἐκώλυσεν αὐτὸν τὰ δίκαια ποιῆσαι, τουτέστιν εἰς τέλος ἀγαγεῖν τὰ ὑποσχεθέντα τῷ Ἀβραάμ· καὶ οὐκ ἂν ἄλλως ὤφθη ὁ θεὸς δίκαιος καὶ ἀληθὴς, εἰ μὴ ἡμεῖς γεγόναμεν ἄδικοι· εἰ τοῦτό ἐστιν, ἄρα ἀδίκως κολάζει, τοὺς αἰτίους αὐτῷ ἀληθείας γενομένους· εἰ δὲ μὴ ἀδίκως κολάζει· ἄρα οὐχ ἡμεῖς αὐτῷ τῆς ἀληθείας αἴτιοι. *Κατὰ ἄνθρωπον λέγω.*] Ἐπειδὴ γὰρ ἀνθρωπίνοις λογισμοῖς ἐχρήσατο, οὐκ ὄντα ἄδικον δεικνὺς τὸν θεὸν, ἐπάγει· Κατὰ ἄνθρωπον λέγω τοὺς λογισμοὺς τούτους· ἐπεὶ καὶ ἄλλοι, φησὶν, εἰσὶ λογισμοὶ θειότεροι· ὡς εἰ εἶπε· Κατὰ ἀνθρώπινον λογισμὸν λαλήσωμεν· Ἄδικος ἐστὶν ὁ θεός; Μὴ γένοιτο! Πῶς οὖν ὀργὴν ἐπάγει; Ἢ δῆλον, ὅτι οὐχ ἡμεῖς αὐτῷ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης αἴτιοι, ἀλλ' αὐτὸς ἑαυτῷ.

6 Ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον; Εἰ γὰρ ἡ
7 ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν
εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς
8 κρίνομαι; Καὶ μὴ (καθὼς βλασφημούμεθα, καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν) ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν.

Εἰ ἦν, φησιν, ἄδικος, οὐκ ἂν ἔκρινε τὸν κόσμον· αὐτὸ γὰρ τὸ κρίνειν δηλοῖ, ὅτι δίκαιός ἐστιν· φύσις γὰρ αὕτη τοῦ κρίνειν τὸ τὸν δίκαιον κρίνειν τοὺς ἀδίκους. *Εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ, καὶ τὰ ἑξῆς.*] Τὸ αὐτὸ πάλιν λέγει. Εἰ γὰρ διὰ τοῦτο, φησὶν, ἐπερίσσευσεν ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη καὶ ἡ νίκη τοῦ θεοῦ, ἐπειδὴ ἐγὼ ἠδίκησα, καὶ ἐψευσάμην αὐτὸν, ἀλόγως κρίνομαι· ἔδει γάρ με καὶ ἀμοιβῶν ἀξιωθῆναι, ὡς αἴτιον αὐτῷ τῆς νίκης καὶ ἀληθείας· ἀλλὰ νῦν οὐκ ἐγὼ αἴτιος, τοιγαροῦν καὶ κρίνομαι. *Εἰς τὴν δόξαν αὐτοῦ.*] Ἵνα δοξάζηται ἐπὶ νίκῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ. *Τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι;*] Τί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρινόμεθα, φησὶν, ὡς ἁμαρτωλοὶ, οἱ αἴτιοι νίκης θεῷ γενόμενοι; καὶ μὴ γίνεται, καθώς τινες ἡμᾶς νομίζουσι λέγειν; Τοιγαροῦν καὶ κωμῳδοῦσιν, ὅτι ποιήσωμεν τὸ κακὸν, ἵνα ἐκ τούτου νικήσας ὁ θεὸς, ἀμείψηται ἡμᾶς εὐεργεσίαις, ὡς αἰτίους νίκης αὐτῷ γενομένους, ἐξ ὧν κακῶς ἐπράξαμεν. — ΑΛΛΩΣ. Καὶ μὴ γένηται ἐκεῖνο, φησὶν, ὅπερ λέγειν νομιζόμεθα, ὅτε ἐκ τῆς ἀδικίας ἡμῶν εὐεργετεῖ ἡμᾶς ὁ θεὸς, ὡς αἰτίους αὐτῷ νίκης. Μὴ γένηται δὲ ἐκεῖνο· Ποῖον; Τὸ ἐλθεῖν τὰ ἀγαθὰ, καὶ τὸ εὐεργετεῖσθαι παρὰ τῷ θεῷ, ὡς αἰτίους αὐτῷ νίκης. Νῦν γάρ, φησι, τὸ ἐναντίον, καὶ τιμωρούμεθα. — Ὥστε τὸ *κρίμα ἔνδικόν ἐστι.*] Ἤκουσαν Ἕλληνες τῶν χριστιανῶν λεγόντων· « Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις (α).» Καὶ αὐτοὶ μὲν ταῦτα ἔλεγον, ὅτι πλεονάσας ὁ κόσμος ἁμαρτημάτων, αὐτὸν τὸν υἱὸν τοῦ θεοῦ ἐπεσπάσατο εἰς σωτηρίαν, καὶ ἐκ τούτου ἐπλεόνασεν εἰς ἡμᾶς ἡ χάρις· αὐτοὶ δὲ διασύροντες τὸ εἰρημένον, ἔφασκον τοὺς χριστιανοὺς λέγειν· Δεῖν ἁμαρτάνειν, ἵνα πλεονάσῃ ἡ χάρις. Ὥστε, φησὶ, δηλονότι, τῶν οὕτω βλασφημούντων ἡμᾶς, τὸ *κρίμα ἔνδικόν ἐστιν*· ὅτι τὰ καλῶς εἰρημένα, κακῶς μεθερμηνεύοντες διασύρουσι. — Τί οὖν (1); διὰ τοῦ νόμου, φησὶ, καὶ τῆς περιτομῆς οὐδὲν προκατέχομεν πλέον ὧν ἔχομεν. Τί οὖν κατέχομεν περισσόν; *Προητιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας*, καὶ τὰ ἑξῆς.] Ἐλλιπῶς εἴρηται· τῷ γὰρ, *Τί οὖν κατέχομεν περισσὸν*, ἀκόλουθον ἦν ἐπαγαγεῖν· Τὴν ἐκ πίστεως δικαιοσύνην, ὅπερ ἐν τοῖς ἑξῆς προϊὼν λέγει, *Δικαιοσύνην θεοῦ, διὰ πίστεως Ἰησοῦ Χριστοῦ.* Τί οὖν κατέχομέν, φησι, περισσὸν ἡμεῖς; Τὴν ἐκ πίστεως δικαιοσύνην. Προητιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας. Πῶς δὲ προητιάσατο; Ἐν τῷ Ἕλληνας μὲν ἀπελέγξαι, διαφθείραντας τὴν φυσικὴν γνῶσιν, ἐν οἷς ἔφη· « Ὁ θεὸς γὰρ αὐτοῖς ἐφανέρωσε· » καί·

(α) Ῥωμ. Ε, 20. (1) Τὰ ἐντεῦθεν ἕως τέλους ἁρμόζουσι κυρίως εἰς τὸν στίχον 9 ἐν τῷ ἑπομένῳ κεφαλαίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

«Ὅτι γνόντες τὸν θεὸν, οὐχ ὡς θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν (α)· » Ἰουδαίους δὲ, παραβεβηκότας τὸν νόμον, δι' ὧν φησί· «Ὃς ἐν νόμῳ καυχᾶσαι (β)· » καὶ δείξας, ὅτι παρ' οἷς μὲν ἡ φύσις ἠσθένησε, παρ' οἷς δὲ καὶ ἡ φύσις καὶ ὁ νόμος. Ἀκολούθως τὴν ἐκ τοῦ εὐαγγελίου χάριν εἰσάγει, καὶ φησί· Τί ἔχομεν ἡμεῖς ἐκ τῆς χάριτος περισσὸν καὶ ἐξαίρετον; Τὴν πίστιν τὴν διὰ Ἰησοῦ Χριστοῦ, δικαιοσύνης οὖσαν ἀπεργαστικήν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ χάριτος, δι' ἧς μόνον ἄνθρωποι δικαιοῦνται, οὐ κατὰ γένος διακεκριμένως, ἀλλὰ κατὰ θεοῦ δόσιν ἰσοτίμως, κατὰ τὸν Ἀβραὰμ τύπον.

9 Τί οὖν; προεχόμεθα; Οὐ πάντως· προῃτιασάμεθα γὰρ, Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρ-
10 τίαν εἶναι· καθὼς γέγραπται· «Ὅτι οὐκ ἔστι δί-
11 καιος οὐδὲ εἷς· οὐκ ἔστιν ὁ συνιῶν· οὐκ ἔστιν ὁ
12 ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως
13 ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Ἰὸς ἀσπίδων ὑπὸ
14 τὰ χείλη αὐτῶν. Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας
15 γέμει. Ὀξεῖς οἱ πόδες αὐτῶν, ἐκχέαι αἷμα. Σύν-
16 τριμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν· καὶ
17 ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. Οὐκ ἔστι φόβος θεοῦ
18 ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν (γ).»

Τί οὖν; προεχόμεθα;] Τὸ χωρίον τοῦτο διττῶς δύναται ἀναγνωσθῆναι, καὶ δύο καὶ τὰς ἐννοίας ἔχειν· μίαν μὲν, ὡς ἀπὸ τῶν Ἰουδαίων προτεινόμενον· ἑτέραν δὲ, ὡς ἀπὸ τῶν ἐν

(α) Ῥωμ. Α', 19. 21. (β) Ῥωμ. Β', 23. (γ) Ψαλμ. ΙΓ', 3. 3. Ψαλμ. Ε', 10. ΡΑΘ', 4. Θ', 28. Ἡσ. ΝΘ', 7. 8. Ψαλμ. ΛΕ', 2.

ἀκροβυστίᾳ πιστῶν προβαλλόμενον. Εἰ μὲν γὰρ ἀναγνῶμεν· Τί οὖν προεχόμεθα; ἅμα συνείροντες τῷ ἐρωτηματικῷ μορίῳ τὸ, *προεχόμεθα*, ὡς ἀπὸ τῶν Ἰουδαίων δηλοῦται προτεινόμενον, καὶ ἔννοιαν ἔχοι ἂν ταύτην· Τί οὖν προέχομεν; καὶ τί ἐκερδήσαμεν, προκριθέντες τῶν ἀκροβύστων; Πρὸς οὓς τὸ, *Οὐ πάντως*, ἀπόκρισις ἀποδίδοται, τουτέστιν· Οὐκ ἐκ παντὸς τρόπου κέρδος ὑμῖν τοῦτο· μὴ φυλάξασι γὰρ τὰ ἐμπιστευθέντα, οὐδεμία διαφορά, οὐδὲ κέρδος, ἀλλὰ καὶ ἡ τιμωρία μείζων. Οὕτω μὲν, εἰ ἐν συνεπείᾳ τὸ, *τί οὖν*, μετὰ τοῦ, *προεχόμεθα*, τὶς ἀναγνῶ· εἰ δὲ κατὰ διαστολὴν, ἄμφω ἐρωτηματικὰ, καὶ τὸ, *τί οὖν*, καὶ τὸ, *προεχόμεθα*, καὶ ἀπὸ τῶν ἀκροβύστων πιστῶν εἴη ἂν διαπορούμενον. Ἐπειδὴ γὰρ προεῖπεν, ὅτι πολὺ τὸ περισσὸν τοῦ Ἰουδαίου, ἐπάγει ὁ ἀκρόβυστος διαπορῶν, καὶ λέγων· *Τί οὖν*; προεκρίθησαν ἐκεῖνοι, προέλαβον, ἡμεῖς δὲ προελήφθημεν, προεχόμεθα; ποῦ ἡ τοῦ θεοῦ δικαιοσύνη; Πρὸς οὓς ὁ θεῖος Παῦλος φησὶ, Μὴ γένοιτο! Οὐ πάντως. Καὶ ἐκεῖνοι μὴ κατορθώσαντες μὲν, ὑπαίτιοί εἰσιν, ὥσπερ καὶ ὑμεῖς μὴ κατορθώσαντες· κατορθωσάντων δὲ ἑκατέρων, ἴση ἡ σωτηρία· ὥστε οὐ προέχεσθε. — ΑΛΛΩΣ. Μάχεσθαι δοκεῖ τὸ, Τί οὖν; προεχόμεθα; καὶ ἑξῆς, πρὸς τὸ εἰρημένον, ὅτι Πολὺ, κατὰ πάντα τρόπον τὸ περισσὸν τῶν Ἰουδαίων, καὶ ἡ ὠφέλεια τῆς περιτομῆς. Λέγει γὰρ, ἐκεῖ μὲν προκεκρίσθαι, καὶ πλέον τοὺς περιτετμημένους τῶν ἀκροβύστων ἔχειν· ἐνταῦθα δὲ οὐδὲν προέχειν. Ἢ οὐκ ἔστι μαχόμενον. Ἐκεῖ μὲν γὰρ πλέον ἔχειν φησὶν, ἀπὸ τῆς φιλανθρωπίας καὶ ἀληθείας τοῦ θεοῦ, ὅτι τὰ λόγια κατεπίστευσεν, ὅτι τὰς ὑποσχέσεις ἐπλήρωσε, μὴ κωλυθεὶς ὑπὸ τῶν ἀπιστησάντων· ἐνταῦθα δὲ αὐτὰ καθ' ἑαυτὰ τὰ πρόσωπα συγκρίνει τῶν ἀκροβύστων καὶ τῶν περιτετμημένων, καὶ λέγει αὐτοῖς, μηδὲν ἑτέρους ἑτέρων προέχειν. Οἵ τε γὰρ κατορθοῦντες τὴν ἀρετὴν, ὁποίας ἂν εἴησαν τάξεως, ὁμοίως τῆς εὐεργεσίας ἀπολαύουσιν· οἵ τε πάλιν παραβαίνοντες, κἂν τε τῶν ἀκροβύστων εἶεν, κἂν τε τῶν ἐμπεριτόμων, τὴν ὁμοίαν τιμωρίαν ἑαυτοῖς

Διαθέσιμη Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπισπάσονται. Ὥςε οὐ μάχεται τὸ, Οὐδὲν προεχόμεθα, καὶ τὸ, Πολὺ τὸ περισσὸν τοῦ Ἰουδαίου, καὶ ἡ ὠφέλεια τῆς περιτομῆς. Κατ' ἄλλον γὰρ τρόπον ἐκεῖ εἴρηται, καὶ κατ' ἄλλον νῦν ἡ σύγκρισις παρείληπται. Ἄνω εἰπὼν, τὸ περισσὸν τοῦ Ἰουδαίου, καὶ διδάξας ἔχειν τι περισσὸν τὸν Ἰουδαῖον διὰ τὸ ἐγχειρισθῆναι τὸν νόμον, νῦν δείκνυσι μηδὲν ἔχειν περισσὸν, ὡς μὴ φυλάξαντα αὐτόν· μὴ ὅτι καὶ ἔλαττον, ὅσον τὸ ἐν γνώσει ἁμαρτάνειν χεῖρον. Τί οὖν; ἔχομεν, φησὶν, ἡμεῖς οἱ Ἰουδαῖοι πλέον τι; Οὐδέν, φησι. Τί δή ποτε; Ὅτι πάντες ὑπὸ ἁμαρτίαν ἐσμέν, Ἰουδαῖοι τε καὶ Ἕλληνες.—*Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι.*] Οὐδὲν οὖν, φησι, τῷ Ἰουδαίῳ πλέον ἐκ τοῦ νόμου· οὐκ ἐφύλαξε γάρ· οὐδὲ τῷ ἀκροβύστῳ· ἥμαρτε γάρ. Οὐδεὶς οὖν ἔχει πλέον τοῦ ἄλλου· καὶ γὰρ πάντας ἡτιασάμεθα, τουτέστιν ἠλέγξαμεν, ὄντας ὑφ' ἁμαρτίαν. Εἶτα, ἵνα μὴ δόξῃ τοῦτο ἐπαχθὲς εἶναι, τὸν Δαυὶδ καὶ Ἡσαΐαν φέρει μάρτυρας. *Ἅμα.*] Τῷ ἐν ἀκροβυστίᾳ δηλονότι. *Ἠχρειώθησαν.*] Ἅμα τῷ ἐκκλῖναι ἀπὸ θεοῦ, ἀχρεῖοι καὶ ἀπερρίμμενοι γεγένηνται. *Τάφος, καὶ τὰ ἑξῆς.*] Ταῦτα τοῖς καταλαλοῦσι πρέπει. *Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν.*] Ὁδοὺς τὴν πολιτείαν φησὶ καὶ τὴν ζωήν· σύντριμμα δὲ καὶ ταλαιπωρίαν, τὰς ἁμαρτίας. Οὐδὲν γὰρ οὕτως ἐπιτρίβει καὶ ἐξίτηλον ποιεῖ ψυχὴν καὶ σῶμα, ὡς ἁμαρτία. *Ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.*] Τὴν χρηστὴν λέγει πολιτείαν.

19 Οἴδαμεν δὲ, ὅτι, ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ
νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος
20 γένηται πᾶς ὁ κόσμος τῷ θεῷ. Διότι ἐξ ἔργων
νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ·

Ἵνα μὴ λέγωσιν Ἰουδαῖοι· Καὶ τί πρὸς ἡμᾶς ταῦτα; Οὐ πάντως γὰρ περὶ ἡμῶν εἴρηται. Ναί, φησι, πρὸς ὑμᾶς. Πάντες γὰρ τοῦτο ἴσμεν, *ὅτι, ὅσα ὁ νόμος λέγει,* (νόμον δὲ λέγει πᾶσαν τὴν Παλαιάν,) *τοῖς ἐν τῷ νόμῳ λαλεῖ.* Ποία γὰρ ἦν, φησὶν, ἀνάγκη τῷ Δαυὶδ, ἑτέρων κατηγορεῖν καὶ οὐχὶ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκείων; καὶ ἄλλους ἐλέγχειν, τὸν εἰς διόρθωσιν Ἰουδαίων ἀποσταλέντα Ἡσαΐαν; *Τοῖς ἐν τῷ νόμῳ λαλεῖ.*] Σὺν πολλῇ καὶ τοῦτο τέθεικεν ἀκριβείᾳ. Οὐ γὰρ εἶπε, *Περὶ τῶν ἐν τῷ νόμῳ, ἀλλὰ, Τοῖς ἐν τῷ νόμῳ.* Πολλὰ γὰρ καὶ περὶ Βαβυλωνίων λέγει, Περσῶν τε καὶ Μήδων, καὶ Αἰγυπτίων, καὶ ἑτέρων πλείστων ἐθνῶν· ἀλλ' ὅμως Ἰουδαίοις καὶ τὰς περὶ τούτων προῤῥήσεις προσέφερε, *τοῖς ἐν τῷ νόμῳ*, τουτέστι, τοῖς ὑπὸ τὸν νόμον. *Ἵνα πᾶν στόμα φραγῇ.*] Δείκνυσι μεγαλορῥήμονας τοὺς Ἰουδαίους. Διὰ τοῦτο τοιγαροῦν ἠλέγχοντο ὑπὸ τῶν προφητῶν, ἵνα τῶν μεγαλορῥημόνων ἀποφραγῇ τὰ στόματα. *Καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ.*] Τοιοῦτόν τι αἰνίττεται· Διὰ τοῦτο, φησὶν, οἱ προφῆται διήλεγξαν τοὺς Ἰουδαίους, καὶ ἔδειξαν αὐτοὺς εἰκῆ μεγαλορῥημονοῦντας, μᾶλλον δὲ ὅλον τὸν κόσμον ὑπεύθυνον ἁμαρτίαις, ἵνα προσδοποιήσωσι τῇ πίστει· καὶ γινώσκοντες οἱ ἄνθρωποι, ὅτι οὔτε ἀπὸ νόμου καὶ περιτομῆς, οὔτε ἀπὸ ἀκροβυστίας ἕνι σωθῆναι, εὐχερῶς τῷ Χριστῷ προσέλθωσι, τῷ χάριτι σώζοντι τὸ γένος τῶν ἀνθρώπων. *Καὶ ὑπόδικος.*] Ὑπόχρεως εἰς τὸ πιστεῦσαι Χριστῷ τῷ θεῷ. Εἰ γὰρ τοῖς ὑπὸ νόμον εἴρηται ὑπ' αὐτῶν τῶν προφητῶν, ὅτι οὐκ ὀρθοποδοῦσιν (α), ἀλλὰ πόῤῥω τῆς ὀρθῆς βαδίζουσι πολιτείας· τὰ δὲ ἔθνη πολλῷ μᾶλλον ὑπάρχει ἐν ἀπωλείᾳ καὶ πλάνῃ· δῆλον ὅτι πᾶς ὁ κόσμος ὑπόχρεώς ἐστι πιστεῦσαι Χριστῷ τῷ θεῷ, τῷ μόνῳ δυναμένῳ ῥύσασθαι καὶ Ἰουδαίους καὶ Ἕλληνας, καὶ πάντα τὸν κόσμον, διὰ τῆς οἰκείας χάριτος, ἐκ τῶν ἁμαρτημάτων αὐτῶν καὶ τῆς μακρᾶς πλάνης καὶ ἀπωλείας αὐτῶν. Εἶτα πάλιν ὥςπερ ἀντιπίπτον λύει. Ἵνα γὰρ μή τις εἴπῃ· Τί οὖν; ὁ νόμος οὐδὲν ὠφέλησεν; ἐπάγει τό· *Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ*· ὡς εἰ ἔλεγεν, ὅτι ὠφέλει ἂν ἴσως ὁ νόμος, εἰ ἐφύλαξαν αὐτὸν οἱ παρειληφότες τὰ προστάγματα αὐτοῦ· ἐπειδὴ δὲ οὐκ

(α) Γ' Βασιλ. ΙΗ', 21.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφύλαξαν, ἐκ περιστάσεως καὶ ἔβλαψεν, οὐ τῇ ἑαυτοῦ φύσει, ἀλλὰ τῇ τῶν μὴ φυλαξάντων γνώμῃ. *Διότι ἐξ ἔργων.*] Εἶτα, ἵνα μὴ πάλιν ἀναξιοπαθήσωσιν Ἰουδαῖοι, συγκαταριθμούμενοι παντὶ τῷ κόσμῳ εἰς τὸ ὑπόδικοι εἶναι, πάλιν τὰ κατ' αὐτοὺς ἐξετάζει. *Πᾶσα σάρξ.*] Οὐδὲ γὰρ ἐπήνεσε τὰ ἐν τῷ νόμῳ.

21 Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν·

Καί τί λέγω, ὅτι οὐδὲν ὠφελεῖσθε, Ἰουδαῖοι, ἐκ τοῦ νόμου, εἰς τὸ μὴ γενέσθαι ἅμα τῷ παντὶ κόσμῳ ὑπόδικοι; Μενοῦνγε ἐξετάζοντις, εὑρήσει καὶ βλαβέντας ὑμᾶς ὑπὸ τοῦ νόμου, οὐ παρὰ τὴν αὐτοῦ φύσιν, ἀλλὰ παρὰ τὴν ὑμῶν κακίαν. Πῶς; Ὅτι τὸ γνῶναι τὴν ἁμαρτίαν, διὰ τοῦ νόμου ἔχετε· τὸ δὲ ἐν γνώσει ἁμαρτάνειν, χαλεπώτερον τοῦ ἐν ἀγνοίᾳ. — ΑΛΛΩΣ. Εἰς τοῦτο, φησὶν, ὁ νόμος ἐλυσιτέλησεν, ὅτι ἐγνώρισεν ἡμῖν τὴν ἁμαρτίαν, οὐ τῷ ἀπαγορεῦσαι μόνον τὴν πρᾶξιν τῶν ἀτόπων, ἀλλὰ καὶ τῷ παρακούοντας αὐτοῦ τιμωρεῖσθαι. Μὴ ἐπιφερομένης γὰρ κολάσεως τοῖς ἁμαρτάνουσιν, οὐκ ἂν ἐγνωρίσαμεν αὐτήν. Διὰ τούτων τοίνυν πάντων ἀκριβῶς συστήσας ὑφ' ἁμαρτίαν πάντας ὄντας, ἐπάγει λοιπὸν δεικνὺς τοῦ οἰκείου λόγου τὸ περιττόν. *Νυνὶ δέ.*] Ἐπιδείξας αὐτοὺς μηδὲν ὠφελημένους ἐκ τοῦ νόμου, καὶ εἰς ἐπιθυμίαν ἀγαγὼν μεθόδου, σῶσαι δυναμένης, εὐκαίρως εἰς τὴν πίστιν εἰσβάλλει Χριστοῦ. *Δικαιοσύνη Θεοῦ.*] Εἰ μετὰ νόμου, φησὶν, ἡμάρτομεν, πῶς ἂν σωθείημεν, εἴποι τις, χωρὶς νόμου; Διὰ τῆς ἐκ θεοῦ δικαιοσύνης, φησὶ, τῆς παρὰ θεοῦ διδομένης. Ὅπου δὲ θεὸς δίδωσι, μὴ ἀμφιβάλλε, ἄνθρωπε. Ἤ, *δικαιοσύνη θεοῦ*, ἡ ἀπὸ θεοῦ δικαίωσις καὶ ἀθώωσις, καὶ ἀπαλλαγὴ τῶν ἁμαρτιῶν, ὧν ὁ νόμος οὐκ ἴσχυσεν ἀπαλλάξαι. *Πεφανέρωται.*] Τὸ φανερούμενον, δῆλον, ὡς ἦν μὲν, ἐκρύπτετο δέ. Τὴν οὖν καινοτομίαν φεύγων, καὶ τὸ δοκεῖν πρόσφατον εἶναι τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κήρυγμα, εἶπε, πεφανέρωται· οὐχ ἁπλῶς, ἀλλὰ καὶ προμαρτυρηθεῖσαν ὑπὸ Μωσέως, (οὗτος γὰρ ὁ νόμος), καὶ τῶν προφητῶν.

22 Δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· οὐ
23 γάρ ἐστι διαστολή. Πάντες γὰρ ἥμαρτον, καὶ ὑστε-
24 ροῦνται τῆς δόξης τοῦ θεοῦ· δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ·

Δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως.] Ποία δικαιοσύνη, εἴποι τις; ἡ πῶς διδομένη ὑπὸ θεοῦ; Διὰ πίστεως, φησὶν, Ἰησοῦ Χριστοῦ. Εἶτα, ἵνα μὴ δόξωσι ξένον τι ἀκούειν, εἰ ὅλως ἔνι σώζεσθαι, μηδὲν αὐτοὺς συνεισενεγκόντας, δείκνυσιν, ὅτι καὶ τὸ πιστεῦσαι, συνεισενεγκεῖν ἐστιν· ἀνδρείας γὰρ δεῖται ψυχῆς τὸ πιστεῦσαι. Διό φησι, *διὰ πίστεως*, δεικνὺς καὶ ἡμᾶς ἐκ τούτου συνεισφέροντας. *Εἰς πάντας καὶ ἐπὶ πάντας.*] *Εἰς πάντας* μὲν, τοὺς Ἰουδαίους, φησὶν, ὡς οἰκοθεν καὶ ἐξ αὐτῶν ἐσχηκότας τῆς σωτηρίας τὸν αἴτιον, ἤγουν τὸν Χριστόν· *ἐπὶ πάντας* δὲ, τοὺς ἐθνικοὺς λέγει, ὡς ἀπὸ τῶν Ἰουδαίων πιστευσάντων καὶ ἐπὶ τούτους ἐκταθείσης τῆς χάριτος. Ὅμως μέντοι καὶ τούτους κἀκείνους μετασχήσειν τῆς χάριτος ἔφησεν, οὐχ ἁπλῶς, ἀλλὰ *τοὺς πιστεύοντας*. Καὶ πάλιν, ὅτι κοινὴ δικαίως ἡ χάρις κατὰ πάντων. *Οὐ γάρ ἐστι διαστολή.*] Πάλιν δείκνυσι μηδὲν Ἰουδαίους ἔχοντας πλέον τῶν ἐξ ἐθνῶν. *Πάντες γὰρ ἥμαρτον.*] Μὴ γάρ μοι εἴπῃς, φησὶν· Ἐγὼ μὲν Ἰουδαῖος εἰμὶ, ἄνωθεν εἰδὼς θεόν· οὗτος δὲ, ξένος καὶ βάρβαρος. Ὅλως, εἰ πάντες ἥμαρτον, ἔχουσι καὶ τὸ πάντες ὁμοτίμως σωθῆναι· *οὐ γάρ ἐστι διαστολὴ*, ἤγουν, χωρισμὸς Ἰουδαίου καὶ ἐθνικοῦ· ὁμοίως ἀμφότεροι ἥμαρτον. *Καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ*, καὶ τὰ ἑξῆς.] Μὴ γάρ μοι εἴπῃς, φησὶν, ὅτι Ἕλληνες πλέον ἥμαρτον. Μὴ οὐ κατάπιν οὐκ εἶ τῆς δόξης καὶ τῆς εὐεργεσίας τοῦ θεοῦ; καὶ *δωρεὰν*, τουτέ-

στιν, ἄνευ σῶν κατορθωμάτων, σώζῃ; καὶ πάλιν, ὡς μηδὲν ἕτερον συνεισενέγκαι, πλὴν πίστεως; δικαιούμενος δὲ, δωρεὰν δικαιοῦσαι, καὶ κατόπιν ἔρχῃ τῆς τοῦ θεοῦ δόξης καὶ εὐεργεσίας. *Ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ.*] Κατόπιν ἐγένοντο, οὐκ ἔφθασαν τοῦ δοξάζειν τὸν θεόν· ἐκπεπτώκασιν ἅπαντες τοῦ τιμᾶν αὐτόν· οἱ μὲν Ἰουδαῖοι, παραβάται γενόμενοι τῶν διὰ τοῦ νόμου ἐντολῶν· οἱ δὲ ἐθνικοὶ, εἰδώλοις λατρεύσαντες. Διὸ πάντες πιστεύσαντες εἰς Χριστὸν, δωρεὰν δικαιοῦνται, τὸ πιστεύειν μόνον συνεισάγοντες. Πῶς δὲ δικαιούμεθα; Ἀπολυτρούμενοι τῶν ἁμαρτιῶν ἡμῶν. Διὰ τίνος δὲ ἀπολυτρούμεθα; Διὰ Ἰησοῦ Χριστοῦ. Πῶς λυτροῦντος ἐκείνου; Τῷ ἰδίῳ αἵματι. Ἢ οὕτω· Θεὸς αὐτοὺς δοξάζει πιστεύοντας· υἱοθεσίας γὰρ ἀξιοῖ, καὶ κληρονόμους τῆς αὐτοῦ βασιλείας ἀποφαίνει, ἤγουν δῆλον, ὅτι ἐξημάρτομεν, πάντες ὁμοίως ὑστερούμεθα· διὸ, δωρεὰν ἡμᾶς τούτων ἀξιοῖ.

25 Ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρ-
26 τημάτων· ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, ἐν τῷ νῦν καιρῷ· εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

Πῶς δὲ δικαιοῦται; Διὰ τῆς ἀφέσεως τῶν παραπτωμάτων, ἧς τυγχάνομεν *ἐν Χριστῷ Ἰησοῦ*, τουτέστι διὰ Ἰησοῦ Χριστοῦ. *Ὃν προέθετο ὁ θεὸς ἱλαστήριον.*] Εὐδοκίᾳ γὰρ τοῦ πατρὸς, ἐξίλασμα γεγένηται τῶν ἡμετέρων ἁμαρτιῶν. Ἱλαστήριον δὲ τὸ παλαιὸν ἐλέγετο τὸ πῶμα τῆς κιβωτοῦ. Οὕτω καὶ ἡ τοῦ Κυρίου σὰρξ, ἡ περικαλύπτουσα τὴν ἑαυτοῦ θεότητα, ἱλαστήριον γέγονε τῶν ἡμετέρων ἀνομιῶν. Τὸ δὲ, *προέθετο*, δηλοῖ παλαιὰν τὴν περὶ τούτου βουλήν. *Ἐν τῷ αὐτοῦ αἵματι.*] Ὁ μὲν γὰρ πατὴρ προέθετο· ὁ δὲ υἱὸς, τὸ αἷμα ἐξέχεεν ὑπὲρ ἡμῶν· κοινὴ οὖν ἡ χάρις τῆς ἁγίας Τριάδος· συνήργησε γὰρ καὶ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πανάγιον Πνεῦμα. *Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ.*] Ὥσπερ ἔνδειξις, τουτέστιν ἀπόδειξις, πλουσίου, τὸ καὶ ἑτέρους πλουτίζειν, οὕτω καὶ ὁ Χριστὸς ἐνδείξασθαι βουλόμενος τὴν δικαιοσύνην αὐτοῦ, καὶ τοὺς ἀνθρώπους ἐδικαίωσεν. *Διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ.*] Ἀπόδειξις δὲ τῆς δικαιοσύνης αὐτοῦ μάλιστα γέγονεν, ὅτι παρειμένους, τουτέστι, νενεκρωμένους ταῖς ἁμαρτίαις τοὺς ἀνθρώπους, ἐδικαίωσεν. Εἶτα ἐπιτείνει τῶν ἀνθρώπων τὸ ἔγκλημα, τῷ τὰς ἁμαρτίας γενέσθαι *ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ.* Ὅτε γάρ, φησιν, ἔδει μετανοῆσαι, δαθείσης ἀνοχῆς, τότε μᾶλλον ἡμάρτομεν· τοὺς οὖν ἀσύγγνωστα πταίσαντας, νῦν διὰ πίστεως σώζει· καὶ οὕτω παρείθημεν ταῖς ἁμαρτίαις καὶ παραλελύμεθα. Εἶτα δέον τῆς παρέσεως ἀπαιτηθῆναι δίκας, ἀνοχῆς καὶ φιλανθρωπίας ἐτύχομεν. Ἀλλὰ καὶ τῆς ἀνοχῆς τυχόντες, δέον μετανοεῖν, καὶ τὰ φθάσαντα ἐξιλεοῦσθαι, ἔτι τοῖς αὐτοῖς ἐγκαλινδούμεθα. Τί οὖν ἔδει τότε τὸν λίαν φιλάνθρωπον κριτὴν πρᾶξαι; Πάντως κολάσαι καὶ τιμωρήσασθαι, ὑπὲρ ὧν τε ἐξ ἀρχῆς ἡμάρτομεν, καὶ ὑπὲρ ὧν, ἀνοχῆς τυχόντες, οὐ μετεμελήθημεν, καὶ ὑπὲρ ὧν οὐ μόνον οὐ μετεμελήθημεν, ἀλλὰ καὶ τὴν κακίαν ἐπετείναμεν. Ὁ δὲ τί ποιεῖ; Τότε λύτρον ἑαυτὸν δίδωσιν ὑπὲρ ἡμῶν· καὶ οὐ μόνον ἐξαρπάζει τῆς τιμωρίας, ἀλλὰ καὶ δικαιοῖ, καὶ σώζει, καὶ κληρονόμους τῆς αὐτοῦ ποιεῖται βασιλείας. Ὄντως χάρις μέτρον οὐκ ἔχουσα! ὄντως τοῦτο δωρεά, δωρεᾶς ἁπάσης νικῶσα τὴν δύναμιν! Τοῦτο ἔνδειξις ὡς ἀληθῶς ἀφάτου δικαιοσύνης, καὶ δικαιοσύνης οὐκ ἀνθρωπίνης, ἀλλὰ θείας καὶ ὑπὲρ ἄνθρωπον! Διὸ καὶ αὐτὸς εἰπών, *εἰς ἔνδειξιν τῆς δικαιοσύνης*, οὐχ ἁπλῶς ἀλλά, *αὐτοῦ*, φησί, τουτέστιν, αὐτοῦ μόνου ἡ τοιαύτη καὶ τοσαύτη δικαιοσύνη. Ἐν ᾧ γὰρ ἔδει καιρῷ κολασθῆναι, τότε ἠξίωσε τῆς εὐεργεσίας. — *Πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ.*] Τὸν γὰρ νεκρωθέντα ταῖς ἁμαρτίαις, νῦν σώζεσθαι, ὅτε καιρὸς τιμωρίας ὑπάρχει, ἀλλ' οὐ δικαιώσεως, τοῦτο ἀπόδειξις

Ελληνική Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς εὐεργεσίας καὶ τῆς δικαιοσύνης αὐτοῦ. Ἔδει γὰρ τὰς πρὸς τὸν Ἀβραὰμ πληρωθῆναι ὑποσχέσεις, τό· «Καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη (α).» Τοῦτο οὖν δικαιοσύνη, τὸ ἀληθεῦσαι καὶ ἐπὶ τοῖς ἀναξίοις τοῦ σώζεσθαι. — *Ἐν τῷ νῦν καιρῷ.*] Πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ εἰπών, ἐπήγαγεν, *ἐν τῷ νῦν καιρῷ*. Ἡ γὰρ ἐν τῷ νῦν καιρῷ δικαιοσύνη τοῦ θεοῦ, τουτέστιν, ἐν ᾧ τὴν ἀπολύτρωσιν ἡμῶν εἰργάσατο, πλήρης ἦν φιλανθρωπίας, πλήρης δωρεᾶς, πλήρης χάριτος· διό καὶ ἔλεγεν· «Οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος (β)·» ἡ δὲ μέλλουσα δικαιοσύνη, οὐκέτι ὁμοίως, ἀλλ' ἀνταπόδοσίς ἐστιν ἑκάστῳ τῶν βεβιωμένων, ὡς καὶ οὕτως πάλιν φησίν· «Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ, καὶ ἐξῆς (γ).» Ἢ οὕτως ἐκληπτέον· Ἔνδειξις γέγονεν ἐν τῷ νῦν καιρῷ, ἡ ἀνοχὴ αὐτοῦ καὶ ἡ δωρεὰ, καὶ ἡ χάρις τῆς μελλούσης δικαιοσύνης. Πῶς καὶ τίνα τρόπον; Εἰ γὰρ τοσοῦτον μακροθυμήσας, τοσοῦτον χαρισάμενος, τοσαύτης δωρεᾶς ἀξιώσας, οὐκ ἐπέστρεψεν, οὐδ' ἔσχε βελτιωθέντας, μετὰ πολλῆς ἄρα δικαιοσύνης ἐκεῖθεν ἐπάγει τὰς τιμωρίας. *Καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.*) Ἰδοὺ, ἡ ἔνδειξις τῆς δικαιοσύνης, τὸ μὴ μόνον εἶναι δίκαιον τὸν θεὸν, ἀλλὰ καὶ τὸ δικαιοῦν τὸν διὰ πίστεως τοῦ Ἰησοῦ, οἰκεῖον δηλαδὴ θεοῦ λαὸν γινόμενον.

27 Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. Διὰ ποίου
νόμου; τῶν ἔργων; οὐχί· ἀλλὰ διὰ νόμου πίστεως.
28 Λογιζόμεθα οὖν, πίστει δικαιοῦσθαι ἄνθρωπον,
29 χωρὶς ἔργων νόμου. Ἢ Ἰουδαίων ὁ θεὸς μόνον;
30 οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ, καὶ ἐθνῶν. Ἐπείπερ εἷς ὁ
θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκρο-
31 βυστίαν διὰ τῆς πίστεως; Νόμον οὖν καταργοῦμεν
διὰ τῆς πίστεως; Μὴ γένοιτο! ἀλλὰ νόμον ἱστῶμεν.

Τούτων τοίνυν οὕτω γεγενημένων, καὶ τοῦ πατρὸς σώζοντος τὸν ἐκ πίστεως Ἰησοῦ οἰκειωθέντα λαὸν, ποῦ λοιπὸν τῶν Ἰου-

(α) Γενεσ. ΚΒ', 18. (β) Ἰωαν. ΙΒ', 47. (γ) Ῥωμ. Α', 18.

δαίων ἡ καύχησις; Δείκνυσιν αὐτοὺς εἰκῆ καυχωμένους. *Ἐξεκλείσθη.*] Οὐκ εἶπεν, Ἠφανίσθη· ἀλλ', *Ἐξεκλείσθη*, δεικνὺς, ὅτι καὶ χώραν εἶχέ ποτε· νῦν μέντοι ἡ πίστις ἀπέκλεισεν αὐτήν. *Νόμου ἔργων*, τῶν ἔργων περιφραστικῶς· καὶ, *νόμου πίστεως*, τῆς πίστεως περιφραστικῶς. Φησὶν οὖν· Οὐ δι' ἔργων, ὧν ἐπράξαμεν, ἡ Ἰουδαίων καύχησις ἐξεκλείσθη, ἀλλὰ διὰ πίστεως· ὡς εἰ εἶπε· Πᾶσα ἐκείνη ἡ καύχησις, καὶ τὰ δοκοῦντα προτερήματα, διὰ τῆς πίστεως ἀπεκλείσθη, οὐ δεηθέντων ἡμῶν ἔργων. *Λογιζόμεθα οὖν, πίστει δικαιοῦσθαι ἄνθρωπον*, καὶ τὰ ἑξῆς.] Τοιγαροῦν λέγομεν, φησὶν, ἐκ πίστεως δικαιοῦσθαι ἄνθρωπον, χωρὶς τῆς ἐκ νόμου παρατηρήσεως. *Ἢ Ἰουδαίων ὁ θεὸς μόνον;*] Εἰ γὰρ μόνους τοὺς ἐκ τοῦ νόμου ὁρμωμένους, ἢ τῷ νόμῳ στοιχοῦντας, ἐδικαίου, καὶ οὐχὶ πάντα ἄνθρωπον τὸν πιστεύοντα, μονομερὴς ἂν ἦν ὁ θεός. Ἀλλ' ἰδοὺ, καὶ Ἰουδαίων καὶ ἐθνῶν ὁ θεός· ἐπειδὴ σώζει ἀμφοτέρους πιστεύσαντας. *Ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως, καὶ τὰ ἑξῆς.*] Καὶ οἱ ἀπὸ τοῦ νόμου, καὶ οἱ ἐκτὸς τοῦ νόμου, πίστεως δέονται πρὸς τὸ σωθῆναι. *Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως;*] Ἐθορύβουν Ἰουδαῖοι, ὡς ἐκβαλλομένου τοῦ νόμου διὰ τῆς πίστεως. Λέγει οὖν, ὅτι οὐ μόνον οὐ καταργεῖ ἡ πίστις τὸν νόμον, ἀλλὰ καὶ ἵστησί πως· ὅτι ὁ νόμος σῶσαι βουλόμενος, οὐκ ἰσχύει, ἡ δὲ πίστις σώζει. Τὸν οὖν σκοπὸν τοῦ νόμου πληροῦσα ἡ πίστις, ἵστησιν αὐτόν. Εἰπὼν δὲ, *ἱστῶμεν*, ἔδειξεν αὐτὸν σαλευόμενον. — ΑΛΛΩΣ. Ἔργον ἦν τοῦ νόμου, ὥστε δίκαιον ποιῆσαι τὸν ἄνθρωπον, ἀλλ' οὐκ ἴσχυσε· «πάντες γάρ, φησιν, ἥμαρτον (α)· » ἡ πίστις δὲ ἐλθοῦσα, τοῦτο κατώρθωσεν· ὁμοῦ γάρ τις ἐπίστευσε, καὶ ἐδικαιώθη. Οὐκοῦν ἔστησε τοῦ νόμου τὸ θέλημα. Ἄνωθεν γὰρ ὁ νόμος καὶ οἱ προφῆται περὶ τῆς πίστεως προεθέσπισαν. Δεχόμενοι τοίνυν τὴν πίστιν, βεβαιοῦμεν τὸν νόμον.

(α) Ῥωμ. Γ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦ. IV, 1 Τί οὖν ἐροῦμεν, Ἀβραάμ, τὸν πατέρα ἡμῶν, εὑρηκέναι κατὰ σάρκα;

Μέγα ἐφρόνουν ἐπὶ τῷ Ἀβραὰμ οἱ Ἰουδαῖοι, καὶ ἀεὶ προέφεραν, ὅτι Ἀβραὰμ περιετμήθη. Σκοπὸς οὖν αὐτῷ δεῖξαι, ὅτι καὶ αὐτὸς ὁ Ἀβραὰμ οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ πίστεως ἐδικαιώθη· καὶ φησί· Τί οὖν λέγομεν, Ἀβραὰμ, τὸν κατὰ σάρκα πατέρα ἡμῶν, εὑρηκέναι; καὶ τίνος αὐτὸν ἐπιτετυχηκέναι δικαιοσύνης; τῆς δὶ ἔργων, ἢ τῆς διὰ πίστεως; Καὶ δείκνυσιν, ὅτι τῆς διὰ πίστεως. Ὅθεν καὶ εὕρημα αὐτὴν καλεῖ· ἐπεὶ μὴ ἐξ ἔργων αὐτὴν ἐκτήσατο, ἀλλ' ἐκ πίστεως, ἥτις χάριτι θεοῦ παρέχεται. — Καθ' ὑπερβατόν ἐστιν ἡ ῥῆσις, οὑτωσί πως κειμένη· Τί οὖν ἐροῦμεν, Ἀβραὰμ, τὸν κατὰ σάρκα πατέρα ἡμῶν, εὑρηκέναι; Ἀνέλθωμεν, φησίν, ἐπὶ τὸν ἀρχηγὸν τοῦ κατὰ σάρκα γένους ἡμῶν, ὃν ἐκ πάντων ἐθνῶν ἐκλεξάμενος ὁ θεὸς εὐλόγησέ τε, καὶ εἰς τοὺς ἐξ αὐτοῦ δὶ αὐτοῦ τὰ τῆς εὐλογίας ὑπέσχετο παραπέμψειν. Δῆλον γὰρ ὅτι, ἅπως ἂν ἔχοι τὰ κατ' αὐτὸν, οὕτω σχήσει καὶ τὰ ἡμέτερα. — Τὸ, *κατὰ σάρκα*, ἐν ὑπερβατῷ κεῖται· ἡ δὲ κατὰ φύσιν, ἀλλὰ μὴ κατὰ σχῆμα ἑρμηνεία τοῦ λόγου· Τί οὖν ἐροῦμεν Ἀβραὰμ εὑρηκέναι, τὸν κατὰ σάρκα ἡμῶν πατέρα; Πρὸς Ἰουδαίους δὲ ὁ λόγος, οἷον· Ἐπεὶ τὸ πᾶν ὑμῖν τῆς σεμνολογίας καὶ μεγαλαυχίας ἐν τῷ κατὰ σάρκα πατρὶ ἡμῶν Ἀβραὰμ ἐστι, σκοπήσωμεν, τί ἂν εἴποιμεν ἐκεῖνον εὑρηκέναι. Καὶ φησὶν αὐτὸς προϊών, ὅτι καὶ δικαιοσύνην εὗρε· τοῦτο γάρ ἐστι τὸ, «καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην», τουτέστιν, ὅτι ἐδικαιώθη· τὸ γὰρ εὑρεῖν δικαιοσύνην, δικαιωθῆναι ἐστίν. Εὗρεν οὖν δικαιοσύνην· ἀλλὰ πῶς εὗρεν; ἐξ ἔργων, ἢ ἐκ πίστεως; Καὶ δείκνυσιν, ὅτι ἐκ πίστεως, μάρτυρα τὴν Γραφὴν παριστάς· «ἐπίστευσε γάρ, φησιν, Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Τί οὖν; φησιν, οὐκ εἶχεν ἔργα ὁ Ἀβραὰμ; οὐκ ἐδικαίου ταῦτα αὐτόν; μὴ γένοιτο! Ἔργα μὲν γὰρ εἶχεν, ὥστε, πρὸς τοὺς συμπολιτευομένους αὐτῷ ἀνθρώπους κρινόμενον, δικαιωθῆναι καὶ προκριθῆναι ἐκείνων· τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ πρὸς τὸν θεὸν δικαιωθῆναι ἐκ τῶν ἔργων αὐτοῦ, ὥστε ἄξιον καὶ ἰσοστάσιον ἑαυτὸν παραστῆσαι τῆς ἐκεῖθεν παρεχομένης εὐεργεσίας καὶ δωρεᾶς, παντελῶς ἀπελείπετο. Οὐκοῦν οὐδὲν ἄλως ἔχει καύχημα, ἤτοι προτέρημα καὶ κατόρθωμα, πρὸς τὸν θεὸν, εἰς τὸ ἀξιωθῆναι τῆς εὐεργεσίας καὶ δωρεᾶς. Τί γὰρ ἄν τις καὶ δι' ἔργων ἐπιδείξειεν ἄξιον τοῦ, μετὰ τηλικαύτην φύσεως νέκρωσιν, παιδὸς πατέρα ὀφθῆναι; καὶ βλαστὸν κοιλίας ἐκφῦναι, καὶ τοῦ πληθυνθῆναι τὸ σπέρμα αὐτοῦ ὡς τὴν ἄμμον τῆς θαλάσσης, καὶ τοῦ ἐνευλογηθῆναι τὰ ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ, καὶ τοῦ τὸν Χριστὸν ἐκεῖθεν, τὸν κοινὸν σωτῆρα, προελθεῖν; Ὁρᾷς, ὅτι οὐδὲν ἄλως ἔχει οὐδ' ἴχνος ἔργων πρὸς τὰς τηλικαύτας ἐκ θεοῦ δωρεᾶς; Πόθεν οὖν ἠξιώθη τούτων; Ἐκ μόνης πίστεως. «Ἐπίστευσε γάρ, φησιν ἡ Γραφὴ, Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Ἐπίστευσε, καὶ ἐδικαιώθη παρὰ θεοῦ, τοσούτων καὶ τηλικούτων τυχεῖν. Ὦ πίστεως, πᾶσαν πρᾶξιν τὴν ἐν νόμῳ δευτέραν ποιούσης! Ἐκείνην πράττων Ἀβραὰμ, εἶχέ τι μικρὸν καύχημα, ἀλλὰ πρὸς τοὺς σὺν αὐτῷ ὑπὸ τὸν νόμον τελοῦντας· τὴν πίστιν δὲ προβαλλόμενος, ἀθρόαν πατὴρ ἐγένετο πάντων, καὶ τῶν μυρίων ἐκείνων ἀγαθῶν ἐδικαιώθη ἀπολαύειν. Ὡς ἐν πορίσματος δὲ μοίρᾳ εἴληπται καὶ λύσις ἐκ τῶν εἰρημένων. Πῶς οὖτος μὲν ἐκ πίστεως λέγει δικαιωθῆναι τὸν Ἀβραὰμ, ὁ δὲ θεῖος Ἰάκωβος ἐξ ἔργων; λέγων· «Ἀβραὰμ, ὁ πατὴρ ἡμῶν, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ, τὸν υἱὸν αὐτοῦ; καὶ τὰ ἑξῆς (α).» — *Κατὰ σάρκα.*] Καλῶς πρὸς Ἰουδαίους τὸ, *κατὰ σάρκα*· κατὰ πίστιν γὰρ καὶ ἐπαγγελίαν, ἡμεῖς οἱ πιστοὶ τέκνα ἐσμὲν τοῦ Ἀβραὰμ, καθὼς ἡ γραφὴ φησι· «Οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα (β)». — Ποίαν, φησὶ, πρὸ τοῦ πιστεῦσαι τῷ θεῷ τὸν

(α) Ἰακ. Β', 21, Καὶ ἴδε ἐκεῖ. (β) Ῥωμ. Θ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀβραὰμ, δικαιοσύνην αὐτοῦ δι' ἔργων γεγενημένην ἠκούσαμεν; *Κατὰ σάρκα* γὰρ, τὴν ἐν ἔργοις λέγει· ἐπειδήπερ διὰ τῆς σαρκὸς ἐκτελοῦμεν τὰ ἔργα.

2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχη-
3 μα, ἀλλ' οὐ πρὸς τὸν θεόν. Τί γὰρ ἡ γραφὴ λέγει; «Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη
4 αὐτῷ εἰς δικαιοσύνην (α).» Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ
5 ὀφείλημα· τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις
6 αὐτοῦ εἰς δικαιοσύνην. Καθάπερ καὶ Δαυὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζε-
7 ται δικαιοσύνην χωρὶς ἔργων· «Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρ-
8 τίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν (α).»

Εἰ γὰρ *Ἀβραάμ.*] Δύο δείκνυσιν· ὅτι τε ἐκ πίστεως Ἀβραὰμ ἐδικαιώθη, καὶ ὅτι μείζων ἡ διὰ πίστεως δικαιοσύνη· καὶ φησίν· Εἰ ἐξ ἔργων καὶ κατορθωμάτων Ἀβραὰμ ἐδικαιώθη, ἔχει μὲν καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεὸν, ἀλλ' ἐφ' ἑαυτῷ, ὡς κατωρθωκότι· ὁ δὲ ἐκ πίστεως σωθεὶς, ἐπεὶ μὴ ἔχει εἰς ἑαυτὸν καυχήσασθαι· οὐδὲν γὰρ ἔργον ἔπραξεν· εἰς τὸν θεὸν καυχᾶται· μεῖζον δὲ τὸ εἰς θεὸν καυχᾶσθαι, ἢπερ εἰς ἑαυτόν· τὰ μὲν γὰρ κατορθώματα, πολλάκις καὶ ἀφανίζεται ἑτέραις πλημμελείαις· ἡ δὲ εἰς θεὸν καύχησις, ἄτρεπτος διαμένει. *Τί γὰρ ἡ γραφὴ λέγει;*] Φέρει τὴν Γένεσιν μαρτυροῦσαν, ὅτι Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη. *Τῷ δὲ ἐργαζομένῳ*, καὶ τὰ ἑξῆς.] Δείκνυσι μείζονα τὴν κατὰ χάριν δικαιοσύνην, ἣν ἡ πίστις παρέχει, οὕτω· Τῷ μὲν γὰρ κατορθοῦντι, φησὶ, κατ' ὀφειλὴν ἡ ἀντιμισθία κεχρεώστηται. Τί δέ; δύναται καὶ ὁ πάνυ ἐνάρετος κατορθῶσαι, καὶ ὀφειλέτην ἔχειν θεόν; Ὁ δὲ

(α) Γενες. ιε', 6. (β) Ψαλμ. λά. 1, 2.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

γε ἐκ πίστεως δικαιούμενος, κατὰ χάριν δικαιοῦται· ἔνθα δὲ θεὸς χαρίζεται, πάντως μεγάλα χαρίζεται. Τί γὰρ χαρίζεται; Υἱοθεσίαν παρέχει, ἀδελφοὺς ποιεῖ Χριστοῦ, κληρονόμους θεοῦ, συγκληρονόμους Χριστοῦ. Ἅ τινα πότε ἂν ἡμῖν παρέσχε τὰ κατορθώματα; — Καὶ οὕτω· Τῷ δὲ μὴ ἐργαζομένῳ μὲν ἀπὸ τῶν ἔργων, προσιόντι δὲ ἐκ πίστεως, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην, καὶ δικαιοῦται δι' αὐτῆς.—*Λογίζεται ἡ πίστις.*] Μηδὲ τὴν πίστιν νομίσῃς εὐχερῶς παραγίνεσθαί τινι· ἀνδρείας γὰρ δεῖται καὶ διεγηγερμένης ψυχῆς. *Εἰς δικαιοσύνην.*] Ὁρᾷς, ὅτι τῷ μὲν ἐργαζομένῳ μισθὸς κατὰ τὰ ἔργα λογίζεται, τῷ δὲ πιστῷ δικαιοσύνη; Μυρίων δὲ μισθῶν ἐστι περιεκτικὴ ἡ δικαιοσύνη. *Καθάπερ καὶ Δαυΐδ.*] Καὶ ὁ Δαυὶδ τὴν ἐκ πίστεως δικαιοσύνην ψηφίζεται τὸν ἀγιασμὸν χωρὶς ἔργων. *Μακάριοι.*] Μακαρισμός ἐστιν ἡ κορυφὴ τῶν ἀγαθῶν. Δοκεῖ μέν πως ἀλλόκοτος εἶναι ἡ μαρτυρία· οὐ γὰρ ἔχει τό· Μακάριος, ᾧ ἡ πίστις εἰς δικαιοσύνην χωρὶς ἔργων λογίζεται· πλὴν σφόδρα ἐστὶ κατάλληλος. Εἰ γὰρ μακάριος, ᾧ αἱ ἁμαρτίαι κατὰ χάριν ἀφέθησαν, τρισμακάριστος δηλονότι, ὃν ἐδικαίωσε κατὰ χάριν ὁ θεός. Διὸ κατάλληλος λίαν καὶ ἁρμόζουσα ἡ ψαλμικὴ χρῆσις. Καὶ γὰρ πᾶσα δικαίωσις ἀπὸ θεοῦ, ἢ ἐκ τοῦ ἀφεθῆναι γίνεται τὰς ἀνομίας καὶ ἁμαρτίας, ἢ ἐκ τοῦ ἐπικαλυφθῆναι, οἷον διά τινων κατορθωμάτων ἐκνικηθῆναι καὶ καταπαθῆναι, ἢ ἐκ τοῦ μὴ λογίσασθαι τὸν θεὸν τὸ πραχθὲν εἰς ἁμαρτίαν. Καὶ διὰ τῶν τριῶν τούτων φιλανθρώπων τρόπων λογίζεται ὁ θεὸς τῷ ἀνθρώπῳ τὴν δικαιοσύνην, ὡς συμπαθῶν, ὡς οἰκονομῶν, ὡς φιλοτιμούμενος. Ἡ μὲν γὰρ ἄφεσις, συμπαθείας, ἡ δὲ ἐπικάλυψις, οἰκονομίας, τὸ δὲ μὴ λογίσασθαι εἰς ἁμαρτίαν, φιλοτιμίας. Τίνες οὖν ἀξιοῦνται τούτων; Οἱ πιστοί, καὶ διὰ τῆς πίστεως· διὸ καὶ μακαρίζει αὐτοὺς καὶ ὁ προφήτης Δαυὶδ· τοῖς δ' ἐν νόμῳ, καὶ ἐξ ἔργων ζητοῦσι δικαιωθῆναι, οὐδεμία τῶν τριῶν δικαιώσεων ἕπεται· τοῖς δὲ ἐκ πίστεως, διὰ τῶν τριῶν τούτων τρόπων ἡ δικαιοσύνη λογί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζεται. Προσφόρως ἄρα τὴν Δαυϊτικὴν μαρτυρίαν ὁ θεσπέσιος Παῦλος τῇ ἰδίᾳ ἥρμοσε διδασκαλίᾳ.

9 Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γάρ, ὅτι ἐλογί-
10 σθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην. Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ.

Εἶτα φησίν· Οὗτος, ὁ τῷ Δαυὶδ εἰρημένος μακαρισμὸς, ἐπὶ τὴν περιτομὴν ἦλθεν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Καὶ μᾶλλον δείκνυσιν, ἐπὶ τὴν ἀκροβυστίαν αὐτὸν ἐληλυθότα καὶ χώραν ἔχοντα, τῷ τὸν Ἀβραὰμ, ἐν ἀκροβυστίᾳ ὄντα, σωθῆναι καὶ δικαιωθῆναι. *Πῶς οὖν ἐλογίσθη;*] Εἶτα κατασκευάζει τὸ ἐπὶ τὴν ἀκροβυστίαν μᾶλλον ἔχειν χώραν, καί φησι· Τῷ Ἀβραὰμ ἐλογίσθη δικαιοσύνη διὰ πίστεως. Ἴδωμεν τοιγαροῦν, ἐμπεριτόμῳ ὄντι τῷ Ἀβραὰμ ἡ τοιαύτη ἐλογίσθη δικαιοσύνη, ἢ ἀκροβύστῳ; καὶ δῆλον, φησίν, ὡς ἀκροβύστῳ. Ὁρᾷς οὖν, ὅτι μᾶλλον ἐπὶ τὴν ἀκροβυστίαν χώραν ἔχει; *Ἀλλ' ἐν ἀκροβυστίᾳ.*] Εἰ οὖν ἐν ἀκροβυστίᾳ ὢν ἐδικαιώθη, ἄρα μᾶλλον ὁ τῷ Δαυὶδ εἰρημένος μακαρισμὸς ἐπὶ τὴν ἀκροβυστίαν χώραν ἔχει, ἢ ἐπὶ τὴν περιτομήν. Ἡ περιτομὴ ἐδόθη διὰ τρεῖς ταύτας αἰτίας, ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὴν, καὶ σύμβολον καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος. Ὥστε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ σφραγὶς καὶ σημεῖον τῆς ἐκ πίστεως δικαιοσύνης.

11 Καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δι-
καιοσύνης τῆς πίστεως, τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, (εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν
12 δικαιοσύνην,) καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυσίᾳ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ.

Δοκοῦσαν ἀντίθεσιν λύει. Τοσοῦτόν, φησι, μεγάλη ἡ περιτο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ, καὶ ταύτης χωρὶς οὐκ ἔνι δικαιωθῆναι· ὅτι καὶ αὐτὸς Ἀβραὰμ, ὁ ἐν ἀκροβυστίᾳ, κατὰ τὸν σὸν λόγον, δικαιωθεὶς, περιτομῆς ἐδεήθη· καί φησιν· Οὐ διά τι ἕτερον περιετμήθη, ἢ διὰ τὸ σημεῖον καὶ ἀπόδειξιν ἐπιφέρεσθαι τὴν περιτομὴν τῆς ἐν τῇ ἀκροβυστίᾳ ὑπαρξάσης αὐτῷ δικαιοσύνης. Εἰ δὲ σημείων ἕνεκεν καὶ σφραγίδος ἔλαβεν αὐτὴν, οὐδὲν αὕτη πρὸς τὴν δικαιοσύνην συνετέλεσεν, ἀλλὰ μόνον τὸ τοιῶσδε δεδικαιῶσθαι ἐσήμαινε, τουτέστιν, ὅτι ἐν τῇ ἀκροβυστίᾳ ὢν, ἠξιώθη τῆς δικαιοσύνης. — Διὰ τί, φησὶ, πρῶτον ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ οὕτω περιετμήθη; Πρῶτον μὲν, ἵνα ὡς σημεῖον νομισθῇ ἀρετῆς ἡ περιτομὴ, καὶ οὐχ ὡς αὐτοαρετὴ καὶ κατόρθωμα· τὸ γὰρ σημεῖον τῆς περιτομῆς, φησι, σφραγίς ἐστιν, οἷον σημεῖόν τε καὶ παράστασις τῆς δικαιοσύνης τῆς ἐν τῇ ἀκροβυστίᾳ διὰ πίστεως. Δεύτερον δὲ, ἵνα καὶ τῶν ἀκροβύστων καὶ τῶν ἐμπεριτόμων κοινὸς ἐπιγνωσθῇ καὶ ἀνακηρυχθῇ πατὴρ· τῶν μὲν ἀκροβύστων, ὡς ἐν τῇ ἀκροβυστίᾳ καὶ πιστεύσας καὶ δικαιωθείς· τῶν δ' ἐμπεριτόμων, ὡς καὶ αὐτὸς περιτμηθεὶς μετὰ τὸ πιστεῦσαι. Πάντων οὖν εἰκότως ἂν λογισθείη πατὴρ, τῶν τὴν πίστιν δηλονότι παραδεξαμένων, εἴτε ἀπερίτμητοι, εἴτε περιτετμημένοι εἶεν. Ἂν δὲ τὴν πίστιν μὴ ἔχωσιν, οὐδὲ τὴν πρὸς ἐκεῖνον συγγένειαν ἔχουσιν, οἵ τινες ἂν εἶεν· οὐδὲ κληρονόμοι ἄρα τῆς πρὸς ἐκεῖνον ἐπαγγελίας· τοῖς γὰρ συγγενέσι, (τῷ γὰρ σπέρματι αὐτοῦ,) αἱ ὑποσχέσεις καί εὐλογίαι.—*Σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως.*] Τῆς ἐκ πίστεως ὑπαρξάσης. *Εἰς τὸ εἶναι αὐτὸν πατέρα.*] Διὰ τί δὲ ὅλως ἐδεήθη αὐτῆς, εἰ μηδὲν συνετέλει ἐν τῇ δικαιοσύνῃ; Πρῶτον μὲν, καθὼς ἄνω λέγει, εἰς τὸ εἶναι αὐτὴν σημεῖον· ἔπειτα, ἵνα κοινὸς γένηται πατὴρ τῶν τε ἐν περιτομῇ, τῶν τε ἐν ἀκροβυστίᾳ. *Πάντων τῶν πιστευόντων.*] Οὐχ ἁπλῶς τῶν οἱωνδήποτε πατέρα, ἀλλὰ τῶν πιστευόντων εἰς τὸν Χριστόν. *Δι' ἀκροβυστίας.*] Τῶν ἐν ἀκροβυστίᾳ ὄντων, καὶ πιστευόντων. *Εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιο-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σύην.] Διὰ πίστεως, δηλονότι, χωρὶς ἔργων. *Καὶ πατέρα περιτομῆς.*] Οὐχ ἁπλῶς, φησι, πατὴρ τῶν ἐμπεριτμήτων· τοῦτο γὰρ δηλοῖ τὸ, *περιτομῆς*· ἀλλὰ πατὴρ ἐκείνων τῶν ἐμπεριτμήτων, τῶν μὴ μόνον περιτετμημένων, ἀλλὰ καὶ κατὰ τὰ ἴχνη αὐτοῦ εἰς τὴν πίστιν Χριστοῦ εἰσοικιζομένων· ἐκεῖνοι δὲ κατὰ τὰ ἴχνη καὶ κατὰ μίμησιν τοῦ Ἀβραὰμ πιστεύουσιν εἰς Χριστόν, οἱ ἀδιςάκτως καὶ χωρὶς φιλονεικίας καὶ ἐνδοιάσεως προσερχόμενοι τῷ Χριστῷ. *Τοῖς οὐκ ἐκ περιτομῆς μόνον.*] Ὥσπερ γὰρ οἱ ἐν ἀκροβυστίᾳ, οὐ διὰ τοῦτο μόνον σχοῖεν ἂν τὸν Ἀβραὰμ πατέρα, διὰ τὸ ἐν ἀκροβυστίᾳ αὐτὸν πεπιστευκέναι, εἰ μὴ καὶ τὴν πίςιν μιμήσαιντο, οὕτως οὐδὲ οἱ ἐν περιτομῇ σχήσουσιν, οὐ διὰ τὸ μόνον περιτμηθῆναι τὸν Ἀβραὰμ, ἐὰν μὴ καὶ τὴν πίστιν αὐτοῦ μιμήσωνται. Δῆλον οὖν, ὡς καὶ ἐκπεπεσοῦνται τῆς πρὸς Ἀβραὰμ συγγενείας οἱ Ἰουδαῖοι, ἐὰν μὴ πιστεύσωσι. *Ἀλλὰ καὶ τοῖς στοιχοῦσι.*] Τοῖς πειθομένοις, τοῖς ἐμμένουσι. *Τοῖς ἴχνεσι τῆς πίστεως.*] Τῇ μιμήσει, τῇ ὁμοιώσει. Ἴχνη λέγεται τὰ τῶν προοδευσάντων σύμβολα καὶ σημεῖα τῶν ποδῶν. Ἐπεὶ οὖν οὗτοι μεταγενέστεροι, οἰκείως καὶ ἁρμοδίως φησί· Τοῖς ἐμμένουσι καὶ ἐπακολουθοῦσι τοῖς ἴχνεσιν, ἤτοι πορευομένοις κατὰ τὰ ἐκείνου ἴχνη καὶ τὴν ἐκείνου ὁδὸν, ἥτις χωρὶς περιτομῆς ὑπῆρχε. *Τῆς ἐν τῇ ἀκροβυστίᾳ.*] Πάλιν ὑπομιμνήσκει, ὅτι ἐν ἀκροβυστίᾳ ἐπίςευσε, καὶ ὕστερον περιετμήθη.

13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, ἢ
τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι
14 τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. Εἰ γὰρ
οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ
15 κατήργηται ἡ ἐπαγγελία· ὁ γὰρ νόμος ὀργὴν
κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.

Θαυμάσιον δὲ λέγει· Οὕτω, φησὶν, ἡ περιτομὴ χωρὶς πίστεως οὐκ ἰσχύει δικαιῶσαι, οὐδὲ προπάτορά σοι ποιεῖ, ὦ Ἰουδαῖε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τὸν Ἀβραὰμ, ὥστε οὐδὲ ὁ νόμος, ἐφ' ᾧ μέγα φρονεῖς, συνετέλεσέ τι εἰς τὰς ἐπαγγελίας τῷ Ἀβραὰμ, ἀλλὰ μόνη ἡ πίστις. Ἀκροβύστῳ γὰρ ἔτι ὄντι, καὶ πρὸ τοῦ νόμου ἐδόθησαν αἱ ἐπαγγελίαι πιστεύσαντι. Εἰ οὖν αὐτὸς ὁ νόμος εἰς τὰς ἐπαγγελίας οὐδὲν συνετέλεσε, σχολῇ γοῦν ἡ περιτομὴ πρὸς δικαιοσύνην ἐξαρκέσει. *Τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου.*] Κληρονόμους τοῦ κόσμου, τοὺς δικαίους ἔσεσθαι φησίν· ὅτι τῶν ἀσεβῶν ἐκ μέσου γενομένων, καὶ παραδοθέντων κολάσει ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, τὸν σύμπαντα λοιπὸν κόσμον ἕξουσιν οἱ δίκαιοι ἀνακαινισθέντα, καὶ αὐτῶν ἔσται τὰ οὐράνια ἀγαθὰ καὶ τὰ ἐπίγεια. *Εἰ γὰρ οἱ ἐκ νόμου, καὶ τὰ ἑξῆς.*] Ὁ γὰρ ἐχόμενος τοῦ νόμου ὡς σώζοντος, ἀτιμάζει τὴν διὰ πίστεως σωτηρίαν. *Κληρονόμοι* δὲ, οἷον τῆς τῶν οὐρανῶν βασιλείας. — ΑΔΑΩΣ. Εἰπὼν πρότερον, ὅτι διὰ τοῦτο ἀκρόβυστος ὢν Ἀβραὰμ ἐπίστευσε, καὶ ἐδικαιώθη, ἵνα πατὴρ λογισθῇ τῶν ἐν ἀκροβυστίᾳ πιστῶν· καὶ διὰ τοῦτο πάλιν περιετμήθη, ἵνα καὶ τῶν ἐν περιτομῇ πιστῶν πατὴρ νομισθῇ· καὶ ἐπαγαγὼν καὶ ἀποδείξας, ὅτι καὶ μᾶλλον λογίζεται πατὴρ τῶν ἐν ἀκροβυστίᾳ πιστῶν, ὅσῳ καὶ πρὸ τῆς περιτομῆς, καὶ πρὸ αὐτοῦ τοῦ νόμου, τοῦ καὶ τὴν περιτομὴν περιέχοντος, αὐτὸς καὶ ἐπίστευσε, καὶ ἡ πίστις αὐτοῦ ἐλογίσθη εἰς δικαιοσύνην. Ταῦτα εἰπὼν, καὶ παραστήσας, νῦν καὶ ἑτέρῳ τρόπῳ τὸ αὐτὸ δείκνυσι καὶ φησίν· Ὑποκείσθω, μὴ οὕτως ἔχειν, ὡς ἔφημεν, ἀλλὰ τοὺς ἐκ νόμου μόνους εἶναι κληρονόμους τῶν πρὸς Ἀβραὰμ ἐπαγγελιῶν. Οὐκοῦν εἰς μάτην γέγονεν ἡ πίστις τῷ Ἀβραάμ· αὐτὸς γὰρ πρὸ τοῦ νόμου καὶ χωρὶς τοῦ νόμου ἐπίστευσε· *κεκένωται* ἄρα ἡ *πίστις*, τουτέστιν, οὐδέν ἐστι, καὶ αὐτῆς τὸ ὅλον ἠφανίσται· ἀλλὰ καὶ αἱ ἐπαγγελίαι κατηργήθησαν, οἷον ἄχρηστοι καὶ ἀτέλεστοι γεγένηνται. Εἰ γὰρ ἡ πίστις, δι' ἣν αἱ ἐπαγγελίαι, κεκένωται, δῆλον ὅτι καὶ αἱ ἐπὶ τῇ πίστει ἐδραζόμεναι ἐπαγγελίαι συναπερρύησαν, καὶ γεγόνασι φροῦδοι. Τί οὖν οἱ διὰ νόμου κληρονομήσουσι, τῆς μὲν πίστεως κενωθείσης, συνεκρυείσης δὲ τῇ πίστει τῆς

ἐπαγγελίας; Ὁρᾷς, ὡς δι' ὧν λέγουσι διὰ νόμου κληρονομεῖν, διὰ τούτων δείκνυται μηδόλως κληρονομεῖν; Οὕτω τοίνυν διχῶς τὰς ἀποδείξεις ἐποιήσατο, ὅτι ὁ μακαρισμὸς ἐπὶ τὴν διὰ πίστεως ἀκροβυστίαν μᾶλλον ἁρμόζει, ἢ ἐπὶ τὴν περιτομήν· τὴν πρώτην μὲν, ἐπ' εὐθείας προαγαγὼν, καὶ ἐξ αὐτῶν τῶν κατὰ τὸν Ἀβραὰμ πραχθέντων· τὴν δευτέραν δὲ, συνδραμὼν ἐκείνοις, καὶ ὑποθεὶς τὸ παρὰ τῶν ἐναντίων λεγόμενον, καὶ δείξας οἷον ἄτοπον ἕπεται τῇ ὑποθέσει αὐτῶν. Τίθησι δὲ καὶ τρίτην ἀπόδειξιν, λαμβανομένην ἐξ αὐτοῦ τοῦ νόμου· καὶ φησιν· Ὁ *νόμος*, ἐφ' ᾧ ἐπερείδεσθε, παραβαθεὶς, *ὀργὴν κατεργάζεται*. Τοῦτο εἰπὼν, τὸ ἀκόλουθον, ὡς δῆλον, κατέλιπεν· Εἰ οὖν ὁ νόμος ὀργὴν κατεργάζεται παραβαθεὶς, ὑμεῖς δὲ παραβεβήκατε, οὐ μόνον ἐπαγγελλιῶν οὐκ ἐστὲ ἄξιοι, ἀλλὰ καὶ τιμωρηθήσεσθε· τοῦτο γὰρ διαπαντὸς ὁ νόμος τοῖς παραβεβηκόσιν ἐπανατείνεται. Πόθεν οὖν σωθήσεσθε; πόθεν ὑμῖν αἱ ἐπαγγελίαι πληρωθήσονται; Ἐπεὶ οὖν τά τε ἄλλα εἴρηται, καὶ δέδεικται, ὅτι ἐκ τοῦ νόμου οὐκ ἔστιν ὅλως δικαιωθῆναι, λείπεται καταφυγεῖν ἐπὶ τὴν διὰ πίστεως χάριν. Διὰ ταύτης γὰρ αἱ ἐπαγγελίαι περατοῦνται, καὶ ὁ Ἀβραὰμ πάντων γίνεται πατήρ. Ὥστε ὁ τοῦ Δαυὶδ μακαρισμὸς, κοινὸς ὑπάρχων ἐπὶ τῶν διὰ πίστεως σωζομένων πάντων, οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλόν ἐστιν ἐπὶ τῶν ἐν ἀκροβυστίᾳ πιστῶν ἐφαρμόζων, ὅσῳ καὶ πρῶτον ἐπὶ τοῦ ἐν ἀκροβυστίᾳ Ἀβραὰμ ἐφάνη ἀληθεύων. — *Κατήργηται ἡ ἐπαγγελία.*] Ὡς οὐ χρειώδεις οὖσαι, κατήργηνται αἱ ἐπαγγελίαι, τουτέστι ἄπρακτοι γεγόνασι. Πῶς; Εἰ γὰρ ἡ πίστις καταργεῖται, δῆλον ὅτι συγκαταργοῦνται καὶ αἱ ἐπαγγελίαι· εἰ δὲ αὗται καταργηθῶσιν, οὐδὲ ὁ Ἀβραὰμ πατήρ τινός.

16 Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πί-
17 στεως Ἀβραὰμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν, (κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θὼς γέγραπται (α)· «Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε») κατέναντι οὗ ἐπίστευσε θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα.

Καὶ οὕτω, φησὶν, οὐ διὰ τοῦ νόμου βεβαιοῦνται αἱ ἐπαγγελίαι, ἀλλὰ τρόπον τινὰ καὶ ἐμποδίζονται. Πῶς; Ὅτι ὁ νόμος ὀργὴν κατεργάζεται, παραβαθεὶς δηλονότι. Οὐδεὶς γὰρ αὐτὸν ἴσχυσε πληρῶσαι. Ἔνθα δὲ ὀργὴ, πῶς κληρονομία; πῶς κληρονομήσει ὁ ὠργισμένος; πῶς ἥξουσιν αἱ ἐπαγγελίαι; Ἡ δὲ πίστις, φησὶ, τὴν χάριν εἰσάγει τοῦ θεοῦ· χάριτος δὲ οὔσης, ἔρχονται καὶ πληροῦνται αἱ ἐπαγγελίαι. *Εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν.*] Ἔνθα γὰρ χάρις θεοῦ, οὐκέτι ἀμφίβολοι αἱ ἐπαγγελίαι, ἀλλὰ βέβαιαι. Θεὸς γάρ, φησιν, ὁ δικαιῶν χάριτι, τίς ὁ κατακρίνων; *Παντὶ τῷ σπέρματι.*] Τὸ ὑπερβατόν· Παντὶ τῷ σπέρματι Ἀβραάμ. *Οὐ τῷ ἐκ τοῦ νόμου μόνον.*] Ἐκ τοῦ νόμου λέγει, τοὺς ἐξ Ἰουδαίων εἰς τὴν πίστιν ἐλθόντας. *Πατέρα πολλῶν ἐθνῶν.*] Τοὺς χωρὶς νόμου πιστοὺς γενομένους. Ὅρα δὲ, πῶς λοιπὸν συνάπτει τοὺς δύο λαοὺς, καὶ πάντων ποιεῖ πατέρα τὸν Ἀβραάμ. *Κατέναντι οὗ ἐπίστευσε θεοῦ.*) Τουτέστιν, ὥσπερ ὁ θεὸς οὐκ ἔστι μερικὸς, ἀλλὰ πάντων θεὸς, οὕτω καὶ ὁ Ἀβραὰμ πάντων πατήρ. — *Κατέναντι*, ἐναντίον, ἐνώπιον, εἰς πρόσωπον θεοῦ. Εἰς πρόσωπον γὰρ θεοῦ εἴρηται, οἷον ὡς ἐκ προσώπου θεοῦ, τὸ, *Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε.* Ἐπειδὴ γὰρ εἶπε, *καθὼς γέγραπται*, μὴ προσθεὶς, ποῦ γέγραπται, ἢ πῶς, ἐπήγαγεν, εἰ καὶ ὑπερβὰς, τὸ, *κατέναντι θεοῦ*, τὸ ἀξιόπιστον καὶ βέβαιον τοῦ, *γέγραπται*, παριστῶν. Καθὼς γέγραπται, φησὶ, κατενώπιον θεοῦ, τουτέστιν, εἰς πρόσωπον θεοῦ, καὶ ἐκ προσώπου θεοῦ. Ἀξιόπιστός ἐστι, φησὶν, ἡ γραφὴ, ἀμετάπτωτος, βεβαία· θεός ἐστιν ὁ ἐν αὐτῇ εἰπών· *Πατέρα*

(α) Γενες. ΙΖ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

πολλῶν ἐθνῶν τέθεικά σε. Τὸ γοῦν ἐφεξῆς τῆς τοῦ λόγου συμφράσεως· Καθὼς γέγραπται κατέναντι οὗ ἐπίστευσε θεοῦ, ὅτι πατέρα πολλῶν ἐθνῶν, καὶ τὰ ἑξῆς. Ὥσπερ γάρ, φησι, πάντων ἐστὶ ποιητὴς ὁ θεὸς, καὶ πάντων θεός τε καὶ κηδεμὼν, οὕτω καὶ τὸν Ἀβραὰμ πάντων πατέρα κεχειροτόνηκεν, οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ πάντων τῶν πιστευόντων. — ΑΛΛΩΣ. Ἀντὶ τοῦ, ἐνώπιον καὶ πρὸ προσώπου οὗ ἐπίστευσε θεοῦ. — *Τοῦ ζωοποιοῦντος τοὺς νεκρούς.*] Τὸν μὲν τῆς ἀναστάσεως καταβάλλεται λόγον· πλὴν προσφόρως καὶ εἰς τὸ προκείμενον. Ἐπίστευσέ, φησιν, Ἀβραὰμ τῷ θεῷ, ὅτι καὶ τοὺς νεκροὺς ζωοποιεῖ, διὰ τοῦτο καὶ τὸ δοῦναι αὐτῷ σπέρμα γεγηρακότι. Ὁ γὰρ τοὺς νεκροὺς ζωοποιῶν, καὶ τὰ μὴ ὄντα οὐσιῶν, πολλῷ μᾶλλον δυνήσεται τῷ νενεκρωμένῳ διὰ τὸ γῆρας σώματι δοῦναι σπέρμα ζωογόνον. *Καὶ καλοῦντος τὰ μὴ ὄντα.*] Καλῶς φησὶ, *Καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα.* Λόγῳ γὰρ τὰ μὴ ὄντα εἰς τὸ εἶναι, καὶ ἅμα τῷ καλέσαι παράγει· ὥστε εἶναι παρ' αὐτῷ δυνατὸν καὶ ῥᾴον, καὶ τὰ μὴ ὄντα ὡς ὄντα, καὶ ἔμπαλιν, εἰ βουληθείη, καὶ τὰ ὄντα ὡς μὴ ὄντα καλεῖν.

18 Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γε-
νέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρη-
19 μένον· « Οὕτως ἔσται τὸ σπέρμα σου (α) ». Καὶ μὴ
ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα
ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ
20 τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγ-
γελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ'
21 ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ· καὶ
πληροφορηθεὶς, ὅτι, ὃ ἐπήγγελται, δυνατός ἐστι
22 καὶ ποιῆσαι. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Ὃς *παρ' ἐλπίδα.*] Ἀντὶ τοῦ, ἐπαγγελίαις ἐπίστευσε, πολὺ τὸ ἀνέλπιστον ἐχούσαις, κατὰ ἀνθρώπινον λογισμόν. Παρ' ἐλ-

(α) Γενεσ. ΙΕ, 5.

πίδα γάρ, φησι, τὴν ἀνθρωπίνην, μόνῃ ἐδρασθεὶς τῇ ἐπὶ θεὸν ἐλπίδι. *Ἐπ' ἐλπίδι* γάρ, φησι, τῇ τοῦ θεοῦ· παρ' ἐλπίδα τῆς οἰκείας φύσεως, ἐπ' ἐλπίδι τῆς τοῦ ἐπαγγειλαμένου δυνάνάμεως. *Πολλῶν ἐθνῶν.*] Τῶν κατὰ πίστιν καὶ ἐπαγγελίαν. Τίς δὲ αὐτοῦ υἱὸς διὰ πίστεως καὶ ἐπαγγελίας δοθείς; δῆλον ὅτι Ἰσαάκ· ὁ γὰρ Ἰσμαὴλ, κατὰ σάρκα ἦν αὐτοῦ υἱὸς (α). *Καὶ μὴ ἀσθενήσας τῇ πίστει.*] Πολλὰ μὲν ἦν τὰ ἀσθενῆ καὶ ἀδύναμον αὐτοῦ τὴν πίσιν παρασκευάζοντα γενέσθαι· πρῶτον, ὅτι πρὸς οὐδὲ ἓν τοιοῦτον παράδειγμα ἰδεῖν ἠδύνατο, ἀλλὰ πρώτῳ αὐτῷ ἡ τῆς παρ' ἐλπίδα παιδοποιΐας δέδοται ἐπαγγελία· δεύτερον, τὸ νενεκρῶσθαι αὐτοῦ τῷ γήρᾳ τὸ σῶμα· τρίτον, τὸ συννενεκρῶσθαι τὴν μήτραν Σάῤῥας, καὶ ἀδυνάτως ἔχειν πρὸς παιδοποιΐαν· ἀλλ' οὐδὲ πρὸς ἓν ἠσθένησεν ἡ γενναία ψυχή. *Ἑκατονταέτης που.*] Καλῶς τό, *ἑκατονταέτης που*· οὐ γὰρ ἦν ἑκατονταέτης, ἀλλ' ἐννενηκονταεννέα. *Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ.*] Οὐ γὰρ ἦν ἔργων ἀπόδειξις, ἀλλὰ ψιλὰ ῥήματα. *Οὐ διεκρίθη τῇ ἀπιστίᾳ.*] Οὐκ εἶπεν· Οὐκ ἠπίστησεν· ἀλλ', *Οὐ διεκρίθη τῇ ἀπιστίᾳ*, τουτέστιν, οὐδὲ ἐνεδοίασεν, οὐδὲ ἀμφέβαλεν. *Ἀλλ' ἐνεδυναμώθη τῇ πίστει.*] Εἰπών, *Ἐνεδυναμώθη*, δείκνυσι πολλῷ καμάτῳ καὶ δυνάμει ψυχῆς κατορθουμένην τὴν πίστιν. *Δοὺς δόξαν τῷ θεῷ.*] Πῶς ἐνεδυναμώθη; Δοὺς δόξαν, φησὶ, τῷ θεῷ, τουτέστιν, οὐ περιεργασάμενος, πῶς ἐγχωρεῖ τοῦτο γενέσθαι, πῶς ἓνι δυνατὸν, πῶς ἐνδέχεται· ἀλλ' εὐθὺς πιστεύσας, καὶ εὐλογήσας ὡς εὐεργέτην τὸν θεὸν, ὡς ἤδη δεδωκότα τὸ ἐπαγγελθέν. *Καὶ πληροφορηθείς.*] Οὐκ εἶπε· Πιστεύσας· ἀλλ' ἐμφατικώτερον, *Πληροφορηθείς. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.*] Ὁρᾷς, ὅτι ἀπὸ πίστεως ἐδικαιώθη;

23 Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ·
24 ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πι-

(α) Γαλατ. Δ', 22. 23.

στεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν, τὸν Κύριον
25 ἡμῶν, ἐκ νεκρῶν· ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Εἶτα, ἵνα μὴ λέγωσιν οἱ ἀκροαταί· Καὶ τί πρὸς ἡμᾶς; ἐκεῖνος γὰρ ἐδικαιώθη· ἐπάγει, ὅτι ταῦτα οὐ χάριν μόνου τοῦ πατριάρχου γέγραπται· ἀλλὰ καὶ δι' ἡμᾶς· ἵνα παράδειγμα τὸν Ἀβραὰμ ἔχοντες, πιστοί τε ὁμοίως γινώμεθα, καὶ ὁμοίως ἡ πίστις ἡμῖν εἰς δικαιοσύνην λογίζηται. *Ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν.*] Εὐρυῶς εἰσέβαλεν εἰς τὸν περὶ τοῦ Κυρίου λόγον, καί φησιν· Οὐ διὰ τὰς οἰκείας ἁμαρτίας ἀπέθανεν· ἐπεὶ οὐδὲ ἀναστηναι αὐτὸν ἔδει, ὥσπερ οὐδὲ πρὸ τούτου τίς· ἀλλὰ διὰ τὰς ἡμῶν ἁμαρτίας, ἵνα ἐξ αὐτῶν ἡμᾶς ἀπαλλάξῃ. *Καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.*] Ἵνα, φησί, δικαιώσῃ ἡμᾶς, καὶ ἀπαλλάξῃ ἁμαρτιῶν. Οὐ γὰρ διὰ τοῦτο οἰκειωσάμενος τὰς ἡμῶν ἁμαρτίας δίκην θανάτου δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα ἡμᾶς ὑπευθύνους καὶ χρεώστας ἔχῃ θανάτου· ἀλλ' ἵνα δικαιώσῃ ἡμᾶς, ζωώσας νεκροὺς ὄντας τῇ ἁμαρτίᾳ, καὶ τέλεον ἀνευθύνους ἀφῇ, ὥσπερ καὶ τὸν Ἀβραὰμ καὶ τὴν τῆς Σάρρας μήτραν τῷ γήρᾳ καὶ τῇ στειρότητι νεκρωθέντας ἀνεζώωσε τῇ τεκνογονίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἀποκειμένης ἐλπίδος.

ΚΕΦ. V, 1 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην
ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
2 Χριστοῦ· δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν· καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ.

Πῶς δ' ἄν τις εἰρηνεύοι πρὸς τὸν θεόν; Ἀκολουθῶν ταῖς ἐντολαῖς αὐτοῦ, ὡς ὅγε ἁμαρτάνων, πολεμεῖ θεῷ. Καὶ οὕτω·

Δημόσιο Κεντρική Βιβλιοθήκη Θεσσ

Δείκνυσι τοὺς Ἰουδαίους στασιάζοντας πρὸς πίστιν, καὶ μὴ παραδεχομένους τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ πρὸς αὐτὸν στασιάζειν τὸν πατέρα, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν. Ἵνα γάρ, φησι, δικαιωθῶμεν ἡμεῖς, διὰ τοῦτο καὶ ἐν νεκροῖς ἐλογίσθη, καὶ ἀνέστη ἐκ τῶν νεκρῶν· ὑμεῖς δὲ οὐ προσδεχόμενοι αὐτὸν, καὶ τῷ πατρὶ πολεμεῖτε, τῷ ἀναστήσαντι αὐτόν. Ἀλλ' οἱ δικαιωθέντες, φησὶν, εἰρήνην ἔχωμεν πρὸς τὸν πατέρα, καταλύσωμεν τελείως τὸν πρὸς αὐτὸν πόλεμον. Πῶς δὲ καταλύεται; Διὰ τελείας καὶ ἀδιστάκτου πίστεως τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· αὐτὸς γάρ ἐστιν ὁ καὶ προσάγων ἡμᾶς αὐτῷ τῷ πατρί. *Διὰ τοῦ Κυρίου ἡμῶν.*] Εἰ γὰρ δι' αὐτοῦ τῶν προγεγονότων ἐλυτρώθημεν ἁμαρτημάτων, δι' αὐτοῦ πάλιν καὶ τῆς εἰς αὐτὸν πίστεως μενοῦμεν μὴ ἁμαρτάνοντες. Καὶ γὰρ εὐχερὲς μᾶλλον φυλάξαι, ἢ κτήσασθαι τὰ ἀγαθὰ τῇ ἡμετέρᾳ συνεργίᾳ. *Δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν.*] Δι' αὐτοῦ γὰρ προσήχθημεν τῷ πατρί. Εἰ οὖν μακρὰν ὄντες, ἐγγὺς γεγόναμεν τῷ θανάτῳ αὐτοῦ (α), πολλῷ μᾶλλον ἐγγὺς ὄντες, εἰρηνεύσομεν πρὸς αὐτὸν χάριτι αὐτοῦ. *Τῇ πίστει.*] Θεὶς τὰ τοῦ Χριστοῦ, καὶ τὰ ἡμῶν τίθησι. Πρὸς γὰρ τὰς ἀφάτους δωρεὰς τοῦ Χριστοῦ ἡμεῖς οὐδὲν πλὴν πίστεως ἠνέγκαμεν. *Εἰς τὴν χάριν ταύτην.*] Τουτέστι, τὸ καταξιωθῆναι τῆς τοῦ θεοῦ γνώσεως, τὸ προσαχθῆναι αὐτῷ, τὸ ἁμαρτιῶν ἀπαλλαγῆναι, καὶ ὅσα τὸ βάπτισμα χαρίζεται. Τὸ δὲ, *ἑστήκαμεν*, βεβαιότητα δηλοῖ.— *Εἰς τὴν χάριν ταύτην.*] Δεικτικῶς εἶπε, τὸ μέγεθος τῶν ἐμπεριεχομένων τῇ χάριτι καὶ τὸ πλῆθος δηλῶν. Καὶ γὰρ αὐτὴ ἡ προσαγωγὴ μέγα καὶ θαυμάσιον, καὶ πρὸ τούτου ἡ τῶν ἁμαρτιῶν ἄφεσις, καὶ μετὰ ταῦτα ἡ τῶν οὐρανῶν ἐπηγγελμένη βασιλεία. Ἐπὶ ποίᾳ πράξει; ἐπὶ ποίῳ κατορθώματι αὕτη ἡ χάρις ἐδόθη; Ἐπὶ πίσει μόνῃ. Μόνον γὰρ ἐπιστεύσαμεν, καὶ διὰ τοῦ βαπτίσματος

(α) Ἐφες. Β', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντα ἡμῖν ἡ χάρις ἐχαρίσατο. Ἡ οὕτως· Ὥσπερ εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ, οὕτω πάλιν καυχώμεθα καὶ ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι δι' αὐτῶν, καὶ διὰ τῆς ὑπομονῆς καὶ δοκιμῆς, εἰς τὴν αὐτὴν ἀκαταίσχυντον ἐπανατρέχομεν ἐλπίδα.— *Ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ.*] Ἢ ὅτι δοξάζεται ὁ θεὸς, ἢ ὅτι δοξάζει ἡμᾶς ἀῤῥήτῳ καὶ ὑπερφυεῖ δόξῃ, δωρούμενος, ἃ ἐπηγγείλατο, υἱοθεσίας καὶ βασιλείας οὐρανῶν ἀξιῶν· καὶ δοξάζεται καὶ αὐτὸς, εἰ καὶ μὴ κατ' ἀξίαν, ἀλλ' ὅσον ἐστιν ἀγγέλοις καὶ ἀνθρώποις δυνατὸν, τοσαύτην φιλοτιμίαν περὶ τὸ ἀνθρώπινον ἐπιδεικνύμενος γένος, καὶ ταῦτα περαίνων, καὶ εἰς ἔργον ἄγων, ἃ μόνης ἐστὶ τῆς αὐτοῦ θεότητος καὶ φιλανθρωπίας ἐνδεικτικά.

3 Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλί-
4 ψεσιν· εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ, δοκιμὴν, ἡ δὲ δοκιμὴ, ἐλπίδα·
5 ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου, τοῦ δοθέντος ἡμῖν.

Οὐ μόνον δέ, φησιν, ἐπὶ τοῖς δοθεῖσι καὶ τοῖς μέλλουσιν ἀγαθοῖς καυχώμεθα, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις εἶναι δοκοῦσιν, οἷον ταῖς θλίψεσι. Τί δή ποτε; Ὅτι πρὸς ὑπομονὴν ἡμᾶς ἀλείφουσι. Τί δὲ τῆς ὑπομονῆς τὸ κέρδος; Δοκίμους, φησὶν, ἡμᾶς ποιεῖ. Τί δὲ τοῦ γενέσθαι δοκίμους τὸ ὄφελος; Ἐλπίδα ἡμῖν προξενεῖ τῶν μελλόντων ἀγαθῶν· ὁ δέ γε ταῦτα ἐλπίζων, οὐκ ἂν καταισχυνθείη. Ὁ μὲν γὰρ ἐπ' ἄνθρωπον ἐλπίζων, ἴσως ἂν καὶ ψευσθείη τῆς ἐλπίδος· ὁ δὲ ἐπὶ θεὸν, οὐκέτι. Πλὴν, οὐ μόνον, φησὶν, ἐν οἷς ἑστήκαμεν ἀγαθοῖς, ἀλλὰ καὶ ἐν τοῖς προσδοκωμένοις, ὡς ἤδη παροῦσι, καυχώμεθα· τοῦτο γὰρ πίστεως ἀκριβοῦς. Καλῶς δὲ, λόξης, εἶπεν· ἐκβαίνοντα γὰρ τὰ ἐπαγγελλόμενα, δοξάζεσθαι τὸν ἐπαγγειλάμενον ποιεῖ.— *Ἀλλὰ καὶ καυχώμεθα ἐν*

ταῖς θλίψεσι.] Πόθεν καυχώμεθα ἐν ταῖς θλίψεσιν; Ὅτι ἐρῶμεν σφόδρα τοῦ θεοῦ. Ἐραστὴς γὰρ ἅπας χαίρει καὶ σεμνύνεται, ἡνίκα πάσχει, ὑπὲρ οὗ ἐρᾷ. Ἀλλὰ πόθεν ὁ θεῖος ἔρως ἐκεῖνος ἐκκέχυται, καὶ ὅλην ἐμπεριείληφε τὴν ἡμῶν καρδίαν; Ἐκ τοῦ παναγίου πνεύματος, τοῦ δοθέντος ἡμῖν. Ὥστε ὅλον τῆς ἄνωθεν χάριτος. Ἀλλὰ καὶ χρεωστοῦμεν ὑπερεραν αὐτοῦ· κἂν τι δέοι παθεῖν, μὴ ἀφίστασθαι τοῦ πρὸς αὐτὸν ἔρωτος. Διὰ τί; Ὅτι αὐτὸς ἡμῶν ἠράσθη πρῶτος· καὶ τότε τίνων; ἡμῶν ἐχθρῶν καὶ πολεμίων ὑπαρχόντων. Εἶδες ὑπερβολήν; εἶδες πόσον τὸ χρέος; Πρόσθες καὶ τὸ ἔτι μεῖζον. Οὐκ ἠράσθη μόνον ἡμῶν, ἀλλὰ καὶ ἠτιμάσθη ὑπὲρ ἡμῶν, καὶ ἐῤῥαπίσθη, καὶ ἐσταυρώθη, καὶ ἐν νεκροῖς ἐλογίσθη, καὶ διὰ τούτων ἁπάντων τὸν περὶ ἡμᾶς αὐτοῦ παρέστησεν ἔρωτα. Ὦ ἔρωτος, ἀγγέλους καταπλήξαντος, ἀνθρώπους εἰς οὐρανοὺς ἀνυψώσαντος, καὶ δαιμόνων τυραννίδα καταργήσαντος! Τίς ἐραστὴν τοιοῦτον οὐ φιλεῖ; μᾶλλον δὲ, τίς τί πράξας, ἄξιον τοῦ τηλικούτου ἔρωτος ἐπιτελέσει; ἢ κἂν βραχὺ γοῦν τῷ χρέους ἀποτίσει; Κἂν γὰρ μυριάκις ἀποθάνοι, οὐ μέγα εἰσήνεγκεν. Ὑπὲρ γὰρ εὐεργέτου, ὑπὲρ γὰρ ἐραστοῦ, καὶ ἡμῶν ἕκαστος πάσχει· ἀλλ' οὐχ ὑπὲρ ἐχθρῶν καὶ πολεμίων, ὡς ἐκεῖνος ἔπαθε. Διὸ ἡνίκα πάσχομεν, χαίρειν ὀφείλομεν καὶ σεμνύνεσθαι, ὅτι κἂν βραχὺ γοῦν ὑπὲρ τηλικούτου ἐραστοῦ καὶ ἡμεῖς παθεῖν τι κατηξιώθημεν. — *Εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται.*] Πῶς καυχώμεθα ἐν ταῖς θλίψεσι; Καλῶς, φησίν· αἱ γὰρ θλίψεις γυμνάζουσι πρὸς ὑπομονήν. Ἀλλὰ τί τὸ κέρδος τῆς ὑπομονῆς; Μέγα, φησί· δοκιμωτέρους γὰρ ἐργάζεται, ὥσπερ καὶ τὸν χρυσὸν ἡ χωνεία, Τί δὲ γίνεται ἐκ τοῦ δοκιμωτέρους ὀφθῆναι; Πολὺ ὄφελος· ἡ γὰρ ἐλπὶς ἡμῶν ἐντεῦθεν βεβαιωτέρα καὶ ἀκριβεστέρα καθίσταται. Ἐκ δὲ ταύτης, τί; Τὸ πᾶν ἀνύεται, φησι. Ποῖον; Τυγχάνομεν ὧν ἐλπίζομεν· ἡ γὰρ ἐλπὶς, ἡ βεβαία, καὶ διὰ δοκιμῆς ἀχθεῖσα καὶ ὑπομονῆς καὶ θλίψεως, οὐδέποτε καταισχύνει. Καὶ ὅρα, πῶς, εἰπὼν ἀνωτέρω, ὅτι καν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χώμεθα ἐπ' ἐλπίδι, πάλιν καὶ ἐνταῦθα εἰς ἐλπίδα κατέληξε. Καὶ γὰρ ἀπὸ ἐλπίδος δεῖ ἄρχεσθαι, καὶ ὁμοίως εἰς ἐλπίδα καταλήγειν. Ἀλλ' ἡμὲν ἀρχομένων ἐλπὶς, οὔπω δῆλον ὅπως ἔχει, μήπω θλίψεων καὶ πειρασμῶν προσβαλόντων· ἡ δὲ διὰ τούτων ὁδεύσασα, καὶ δοκιμασθεῖσα, καὶ φανεῖσα ἀδίστακτος, καὶ μὴ σαλευομένη, αὕτη καὶ τὸ τέλειον ἔχει, καὶ τῶν ἐλπισθέντων ἐν ἀπολαύσει παρασκευάζει. Ἤλπισεν ὁ Ἀβραὰμ μετὰ γῆρας καὶ στείρωσιν μήτρας, ὅτι ἔσται κατὰ τὴν ἐπαγγελίαν πατήρ. Μέγα μὲν, ἀλλ' οὐχ οἷον μετὰ τὴν δοκιμήν. Ἐπείρασεν αὐτὸν ὁ θεὸς, καὶ ἐχώνευσεν, ὡς ἀληθῶς, χωνείαν φριατὴν καὶ φοβερὰν, πῦρ τοῖς ἐγκάτοις ὑφάψας, ὅτε σφάξαι προσέταξε τὸν υἱόν. Ἔδειξεν ἐκεῖνος καὶ διὰ τούτων ἀσάλευτον καὶ σταθηρὰν τὴν ἐλπίδα. Ἔδραμε γὰρ σφάξαι τὸν υἱόν, καὶ οὐκ ἐδίστασε λογισάμενος, Πῶς οὖν ἔσομαι πατήρ; Τοῦτο ὑπερμεγέθης, ὡς ἀληθῶς, ἐλπίς· διὸ καὶ τυγχάνει ὧν ἤλπισεν. *Ἡ δὲ δοκιμὴ ἐλπίδα.*] Ἆρά γε οἱ κακῷ συνειδότι πληττόμενοι, οὐδὲ ἐλπίζουσιν ἀντίδοσιν ἀγαθοῦ καὶ κακοῦ. Ὃ γὰρ βούλεται ἕκαστος, τοῦτο καὶ νομίζει. *Ὅτι ἡ ἀγάπη τοῦ θεοῦ.*] Καὶ πόθεν δῆλον, φησὶν, ὅτι ἐκεῖ δώσει ἡμῖν ἀγαθὰ ὁ θεὸς; Πόθεν; Ἐξ ὧν ἐνταῦθα δέδωκε. Τί δὲ δέδωκε; Τὸ πνεῦμά, φησιν, ὅπερ ἐκ μόνης ἀγάπης θεοῦ, ἧς ἠγάπησεν ἡμᾶς, ἐπεφοίτησεν ἡμῖν. Οὐ γὰρ ἡμεῖς οἰκείοις κατορθώμασιν ἐπεσπασάμεθα τὴν χάριν τοῦ πνεύματος. *Ἐκκέχυται.*] Καλῶς δὲ τὴν ἀγάπην τοῦ θεοῦ, ἣ ἐστὶν ἡ δόσις τοῦ πνεύματος, εἶπεν *ἐκκεχύσθαι*, οἷον δαψιλῶς δεδόσθαι. *Ἐν ταῖς καρδίαις ἡμῶν.*] Νοητὴ γὰρ ἡ ἐνοίκησις τοῦ προσκυνητοῦ καὶ τρισαγίου Πνεύματος, καὶ νῷ μόνῳ καὶ καρδίᾳ ληπτή.

6 Ἔτι γὰρ Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ
7 καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν.

Εἰπὼν, τοῦ παναγίου Πνεύματος τὴν δόσιν μὲ ἀβαίνειν εἰς

τὸν θεὸν, τρία τίθησι τὴν ὑπερβολὴν δεικνύντα τῆς ἀγάπης τοῦ θεοῦ, καὶ ἅμα συνιστῶντα καὶ τὴν εἰς τὸ ἑπειτα αὐτοῦ πρόνοιαν καὶ φιλανθρωπίαν. Ταῦτα δὲ τὰ τρία, ἀπὸ μόνου λαμβάνεται τοῦ ὑποκειμένου, ἤτοι ἐξ ἐκείνων, περὶ ἃ τῆς ἀγάπης ἡ ἀπόδειξις· ἐπεὶ ἔστι καὶ ἄλλα πάλιν ἐξ αὐτοῦ τοῦ ἀγαπήσαντος, δι' ὧν πάλιν ἡ ὑπερβολὴ τῆς ἀγαπήσεως συνίσταται καὶ παρίσταται· οἷον αὐτὸ τὸ παρθενικὴν ἐνοικῆσαι μήτραν, καὶ σαρκωθῆναι ἐξ αὐτῆς· ὑπηρετήσασθαί τε ταῖς κατὰ νόμον ἐντολαῖς τὸν νομοθέτην· εἶτα ἀτιμασθῆναι, ὑβρισθῆναι, ῥαπισθῆναι, καὶ, τὸ κεφάλαιον, διὰ σταυροῦ θανατωθῆναι. Ὁ δὲ ἀπόστολος τὰ μὲν ἐκ τοῦ ἀγαπήσαντος συγκεφαλαιωσάμενος, καὶ τὸν θάνατον μόνον τέως εἰπὼν, τὰ ἀπὸ τῶν ἀγαπηθέντων διεξῆλε, συντελούσης αὐτῷ ἐνταῦθα τῆς τοιαύτης μεταχειρίσεως, εἰς τὸ ὅτι ἔτι καὶ ἔτι προνοήσεται, καὶ ὑπερασπιεῖ, καὶ ῥύσεται ἐκ πάσης ὀργῆς, τῆς τε παρούσης, ὅτε τοῦτο συμφέρον οἶδε, καὶ τῆς μελλούσης, ἥτις ἐστὶν ὡς ἀληθῶς ἐσχάτη ὀργή. Ἃ δὲ τίθησι τρία, ταῦτά ἐστιν· Ἀσθενεῖς ἦμεν, φησὶν· ἀσθενεῖς δὲ, οὐκ ἐκ φύσεως, ἀλλ' ἐξ οἰκείας γνώμης καὶ πράξεως. Ἀσθενεῖς οὖν ἦμεν, καὶ πολλῆς βοηθείας ἐχρῄζομεν· ἀλλὰ καὶ ἀσεβεῖς ἦμεν· αὐτὸν τὸν μέλλοντα βοηθεῖν ἀπωθούμεθα, ἑτέροις μὲν τὸ σέβας προσάπτοντες, αὐτῷ δὲ, ἐχθροῖς ἴσα καὶ πολεμίοις, ἐνυβρίζοντες. Οὐκοῦν ἄπορα πάντα ἔχομεν τὰ ἡμέτερα. Εἰ γὰρ αὐτοὶ μὲν ἀσθενεῖς, καὶ ἀδύνατοι ἀναστῆναι τοῦ νοσήματος, πολλῆς δὲ βοηθείας δεόμενοι, τὸν βοηθὸν ἐνυβρίσαντες ἀπωσάμεθα, πῶς οὐκ εἰς ἔσχατον ἀπορίας τὰ ἡμέτερα; Εἶτα, ἀλλὰ ἁμαρτωλοὶ ἦμεν, φησι, καὶ ὁ βίος μᾶλλον καθεῖλκεν ἐπὶ τὸ πτῶμα, καὶ ἀνενεγκεῖν οὐ συνεχώρει. Οὕτω δὲ ἐχόντων, καὶ πάσης ὑπαρχούσης ἀπογνώσεως, τότε αὐτὸς ὁ ἀγαθὸς, ὁ φιλάνθρωπος, ὁ τοῦ θεοῦ παῖς, καὶ ἠγάπησε, καὶ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν τέθεικεν. Εἰ δὲ τότε μυρίοις ἐνεχομένους κακοῖς, καὶ εἰς παντελῆ ἀσχημοσύνην καὶ αἰσχρότητα κατηντηκότας, καὶ ἠγάπησε, καὶ τῆς ἀσθενείας ἀνέζησε, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐδυνάμωσε, τὸ αὐτοῦ λύτρον ὑπὲρ ἡμῶν δεδωκὼς αἷμα, πολλῷ μᾶλλον οἰκειωσάμενος καὶ δικαιώσας, καὶ προσήσεται, καὶ ἀντιλήψεται, καὶ ὑπερασπιεῖ, ὅτε μήτε χρεία θανεῖν αὐτὸν, μήτε οὕτως, ὡς πρότερον, εἰς ἀρρωστίαν καὶ ἀσχημοσύνην κατηνέχθημεν· ἀλλὰ μηδ' αὐτὸν ἀπωσάμεθα, τὸ σέβας ἑτέροις περιθέμενοι. Οὐ χρὴ τοιγαροῦν ἐν δισταγμῷ τὴν ἐλπίδα τῶν ἐπηγγελμένων ἔχειν, ἀλλὰ βεβαίαν, καὶ ὡς παρόντων τῶν ἀγαθῶν οὕτω χαίρειν, καὶ δοξάζειν τὸν ἐπαγγειλάμενον, καὶ παρέξοντα πάντως, Κύριον ἡμῶν καὶ θεόν. Οὐ γὰρ μόνον ἀπὸ τῆς ὀργῆς σώσει ἡμᾶς, ἀλλὰ καὶ τῆς οὐρανίου δόξης ἀξιώσει. *Ὄντων ἡμῶν ἀσθενῶν, καὶ τὰ ἑξῆς.*] Τὰ μέλλοντα πιστωσάμενος ἐκ τῆς τοῦ ἁγίου Πνεύματος δωρεᾶς, νῦν καὶ ἐκ τοῦ θανάτου τοῦ Χριστοῦ πιστοῦται. Εἰ γάρ, φησιν, ὑπὲρ ἀνδρὸς ἐναρέτου οὐκ ἄν τις ἔλοιτο ἀποθανεῖν, σκόπει μοι τοῦ δεσπότου τὴν ἀγαθότητα· ὅτι τὸν υἱὸν ὑπὲρ ἀσεβῶν ἔδωκε τῇ ἁμαρτίᾳ. *Κατὰ καιρόν.*] Τουτέστι, κατὰ καιρὸν εὔκαιρον, καὶ προσήκοντα καὶ προωρισμένον καιρὸν καὶ χρόνον.

8 Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς,
ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν
9 ἀπέθανε. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν
τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς
10 ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ
διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον
11 καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Οὐ
μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν κατα-
λλαγὴν ἐλάβομεν.

Συνίστησι δέ.] Ἀντὶ τοῦ, βεβαιοῖ, δείκνυσι. *Πολλῷ οὖν μᾶλλον δικαιωθέντες.*] Εἰ γὰρ τότε, φησὶν, οὐ περιεῖδεν, ὅτε καὶ ἁμαρτωλοὶ ἦμεν, καὶ χρεία ἦν πρὸς τὸ σῶσαι καὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πόσῳ μᾶλλον νῦν οὐ περιόψεται, ἀλλὰ σώσει, ὅτε οὔτε ἁμαρτωλοὶ ἐσμὲν, δικαιωθέντες τῷ αἵματι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ Χριστοῦ, οὔτε ἔτι χρεία θανατωθῆναι τὸν υἱὸν αὐτοῦ; *Ἀπὸ τῆς ὀργῆς.*] Τῆς μελλούσης κολάσεως. *Ἐν τῇ ζωῇ αὐτοῦ.*] Οὐκέτι γάρ, φησι, χρεία, ὡς τὸ πρότερον, δοῦναι τὸν υἱὸν αὐτοῦ εἰς θάνατον· ἀλλὰ ζῶντος ἔσαι ἡ σωτηρία. Οὐδὲν οὖν, φησι, δυσχερές. *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ.*] Ἵνα μὴ ἐρυθριῶμεν καὶ ἀδημονῶμεν, ὅτι τοσοῦτον γεγόναμεν ἀσεβεῖς, ὡς χρείαν γενέσθαι καὶ τοῦ θανάτου τοῦ υἱοῦ τοῦ θεοῦ πρὸς τὸ σωθῆναι ἡμᾶς, ἐπάγει· Οὐ μόνον δὲ ἐσώθημεν, ἀλλὰ καὶ καυχᾶσθαι ὀφείλομεν. Τοιγαροῦν καὶ καυχώμεθα, ὅτι ὅλως ἀπέθανε Χριστὸς ὑπὲρ ἡμῶν ὄντων ἀσεβῶν. Τοῦτο γὰρ τὴν ἄγαν τοῦ πατρὸς ἀγάπην δηλοῖ, ὅτι καὶ ὑπὲρ ἀσεβῶν τὸν υἱὸν δέδωκε. Τοὺς δὲ ἀγαπωμένους ὑπὸ θεοῦ, οὐκ ἐγκαλύπτεσθαι, οὐδὲ ἀδημονεῖν, ἀλλὰ ἀγάλλεσθαι καὶ καυχᾶσθαι ἐν θεῷ προσήκει. *Δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.*] Τουτέστι, τὴν οἰκείωσιν, καὶ τὸ διαλλαγῆναι ἡμῖν ὀργιζόμενον πρὸ τούτου τὸν θεόν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ εἰσαγωγῆς τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ, ἀντὶ τοῦ πεσόντος ἐξ ἀρχῆς γηγενοῦς Ἀδάμ.

12 Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος
13 διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον. Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ·

Κατασκευάσας ἄνω πολλαχῶς τὸ δεδικαιῶσθαι ἡμᾶς τῇτε μετουσίᾳ τοῦ πνεύματος, καὶ τῷ θανάτῳ τοῦ υἱοῦ, νῦν καὶ ἐκ τοῦ εὐλόγου αὐτὸ κατασκευάζει. Ὅτι, φησὶ, καὶ εὔλογον ἦν, τοὺς δι' ἕνα ἄνθρωπον ἁμαρτωλοὺς καὶ θνητοὺς γενομένους, ἐπεὶ ἐζηλώσαμεν αὐτοῦ τὴν παρακοὴν, διὰ τὸν ἕνα ἄνθρωπον,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν Κύριον δηλαδὴ, σωθῆναι, δικαιωθέντας καὶ ἀπαθανατισθέντας. Σωθησόμεθα, φησὶν, ὑπὸ τοῦ θεοῦ πάντως, ἐάν περ αὐτοὶ μόνον θέλωμεν. Καὶ εἴρηνται μὲν μικρὸν πρόσθεν αἱ ἀποδείξεις· ἀλλὰ καὶ διὰ τοῦτό, φησι, σωθησόμεθα. Διὰ ποῖον; Ὅτι καὶ δυνατὸν τοῦτο, καὶ εὔλογον, καὶ ἀκόλουθον. Πόθεν ταῦτα δῆλον; Ἐκ τοῦ ἐναντίου, φησί. Καὶ γὰρ δι' ἑνὸς ἀνθρώπου καὶ ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ αὐτὸς ὁ θάνατος. Εἰ οὖν δι' ἑνὸς ἀνθρώπου ταῦτα γέγονεν ἡμῖν τὰ χαλεπὰ, δυνατὸν καὶ ἀκόλουθον, δι' ἑνὸς ἀνθρώπου, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὰ παρεισαχθέντα ἀναιρεθῆναι χαλεπὰ, καὶ τὰ ἀμείνω δωρηθῆναι ἡμῖν. Αὐτὸς δὲ τὰ τοῦ Ἀδὰμ παραθεὶς, κατέλιπεν ἅπερ ἔπραξεν ὁ Χριστὸς, διδοὺς τοῦτο ἐκ τοῦ ἐναντίου ἐννοεῖν, καὶ ἅμα προειρηκὼς αὐτὰ, καὶ δυνατὸν κἀνταῦθα ἐκεῖνα συνεπινοεῖν. Διὸ μόνον τὴν παραβολὴν προτάξας, ὡς ἐφελκυστικὸν ἐκείνου τοῦ νοήματος· ἀπαιτεῖ γὰρ πάντως τὸ εἰπεῖν· Ὥσπερ τόδε, καὶ τὸ ἀκόλουθον· οἷον, οὕτω καὶ τόδε· ἀλλ', ὡς ἔφημεν, διὰ τῆς παραβολῆς τὸ ἀκόλουθον ἐνδειξάμενος, ῥητῶς οὐ παρέθετο, ἀλλ' αὐτοὺς ἡμᾶς συνεπινοεῖν προετρέψατο. *Ἐφ' ᾧ πάντες ἥμαρτον.*] Ἐφ' ᾧ Ἀδάμ· ἢ δι' ὃν Ἀδάμ· ἢ, ὅτι ἐπ' αὐτῷ καὶ οἱ ἄλλοι ἥμαρτον. Ἐπὶ τούτῳ, φησὶ, συναποθνήσκομεν τῷ Ἀδὰμ, ἐφ' ᾧ καὶ συναμαρτάνομεν. Καὶ τὴν μὲν ἀρχὴν ἐκεῖνος παρέσχεν, ἡμεῖς δ' ἐκεῖθεν τὴν ἀφορμὴν λαβόντες, οὐκ ἐκωλύσαμεν τὸ κακὸν, ἀλλὰ καὶ συνηργήσαμεν, καὶ ἐπὶ μέγα χωρῆσαι παρεσκευάσαμεν.—Ἵνα γὰρ μή τις ἀδικίαν ἐγκαλέσῃ τῷ θεῷ, ὅτι, τοῦ Ἀδὰμ πταίσαντος, ἡμεῖς ἀποθνήσκομεν, ἐπάγει· *Ἐφ' ᾧ πάντες ἥμαρτον*· ὡσεὶ ἔλεγεν· Αὐτὸς μὲν τὴν ἀρχὴν παρέσχε καὶ τὴν αἰτίαν, ὅτι πάντες ἡμάρτομεν κατὰ τὴν ὁμοίωσιν αὐτοῦ.—*Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ.*] Θέλει δεῖξαι, ὅτι οὐ τοσοῦτον διὰ τὰς ἁμαρτίας ἡμῶν ἀποθνήσκομεν, ὅσον διὰ τὸν Ἀδὰμ, χώραν δεδωκότα τῷ θανάτῳ ἐκ τῆς παρακοῆς· καί φησιν· Ἦν μὲν ἐν τοῖς ἀνθρώποις καὶ πρὸ τοῦ νόμου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ ἁμαρτία· πλὴν οὐκ ἐλογίζετο αὐτοῖς, διὰ τὸ μὴ εἶναι νόμον τὸν ἀπαγορεύοντα τὴν ἁμαρτίαν. Μὴ λογιζομένης οὖν τῆς ἁμαρτίας, ἀπέθνησκον οἱ ἄνθρωποι. Τί δή ποτε ἄρα οὐ πρόδηλον, ὅτι διὰ τὴν τοῦ Ἀδὰμ κατάκρισιν; — ΚΑΙ ΑΛΛΩΣ. Εἰπών, *Ἐφ' ᾧ πάντες ἥμαρτον*· ἵνα μή τις εἴπῃ· Καὶ πῶς ἦν ἁμαρτεῖν, νόμου μὴ ὄντος; αὐτὸς γὰρ σὺ ἀνωτέρω ἔφης, ὅτι Οὗ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις (α)· παραβάσεως δὲ μὴ οὔσης, δῆλον ὅτι οὐδὲ ἁμαρτία. Πῶς οὖν διῆλθεν ὁ θάνατος εἰς πάντας, ἐφ' ᾧ πάντες ἥμαρτον; Ἵνα οὖν μὴ ἧ τις λέγων τοῦτο, προλαβὼν λύει τὴν ἀπορίαν, καὶ φησὶν, ὅτι ἦν καὶ πρὸ τοῦ νόμου [ἁμαρτία]· ἐπράττετο γὰρ, καὶ τὸ πραττόμενον, οὐκ ἔστι μὴ εἶναι. Ἦν οὖν ἡ ἁμαρτία· ἀλλ' οὐχ οὕτω πᾶσιν ἐλογίζετο, οὐδ' εἰς ὅσον χωρεῖ τιμωρίας τῶν ἁμαρτανομένων ἕκαστον ἐγνωρίζετο· τοῦ δὲ νόμου τάξαντος καὶ ὁρίσαντος τὰς τιμωρίας, καὶ διὰ τῆς ποινηλασίας ἐκδηλότερον αὐτὰς καταστήσαντος, καὶ τὰ μεγέθη τῶν ἁμαρτημάτων ἐμφανίσαντος, μᾶλλον καὶ πᾶσιν ἐγένοντο γνώριμοι καὶ συνετῷ καὶ ἀσυνέτῳ, καὶ νέῳ καὶ πρεσβύτῃ, καὶ γυναικὶ καὶ ἀνδρί. Διὰ τοῦτο οὖν πρὸ τοῦ νόμου οὐχ ὁμοίως ἐλογίζετο ἡ ἁμαρτία· ὅτι τε οὐχ ὥριστο ἡ τιμωρία, καὶ ὅτι οὐδὲ τὸ μέγεθος αὐτῶν ἀκριβῶς ἐγινώσκετο· καὶ ὅτι οὐδὲ κατὰ πόδας ἠκολούθει τοῖς πλημμελοῦσιν ἡ τιμωρία· ἐπεὶ, ὅτι ἦν ἡ ἁμαρτία, καὶ ὅτι, εἰ καὶ μετὰ πολλῆς ἀνοχῆς καὶ μακροθυμίας, ὅμως ἐπιμενόντων αὐτῶν καὶ ἀνιάτως ἐχόντων, αἱ τῶν δικῶν εἰσπράξεις ἐγίνοντο, μαρτυρεῖ σαφῶς τά τε τῶν Σοδομιτῶν πάθη, καὶ πρό γε τούτου τὸ κοινὸν ναυάγιον, ὁ κατακλυσμὸς, καὶ τοιαῦθ' ἕτερα. Ἦν οὖν ἡ ἁμαρτία πρὸ τοῦ νόμου, καὶ ἐλογίζετο· ἀλλ' οὐχ οὕτως, ὡς μετὰ τὸν νόμον. Ὥστε ἄμφω καλῶς ἔχει, καὶ τό· *Διῆλθεν εἰς πάντας ἀνθρώπους ὁ θάνατος, ἐφ' ᾧ πάντες ἥμαρτον*· καὶ τό· *Οὗ γὰρ οὐκ ἔστι*

(α) Ῥωμ. Δ', 15.

νόμος, οὐδὲ παράβασις. Λέλυται γὰρ τὸ δοκοῦν ἀντιπίπτειν, διὰ τοῦ εἰπεῖν τὸν θεσπέσιον Παῦλον, *Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ*, καὶ ἑξῆς. Εἶτα· *Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος*, τουτέστιν εἰς ἔννομον ἐξουσίαν ἐλογίσθη αὐτοῦ ἡ τυραννὶς, τῷ τε χρόνῳ σεμνυνομένη, καὶ τοῖς ἡμῶν ἁμαρτήμασι κρατυνομένη, *ἀπὸ Ἀδὰμ*, τοῦ κατὰ παράβασιν ἐντολῆς νενομοθετημένης ἁμαρτήσαντος. Ἀπὸ Ἀδὰμ οὖν ὁ θάνατος *ἐβασίλευσε*, τουτέστι, κατ' ἐξουσίαν πολλὴν ἐκράτησε, καὶ ἐπὶ τοὺς μὴ ἐπὶ τῷ ὁμοιώματι τοῦ Ἀδὰμ ἁμαρτήσαντας. Μέχρι τίνος; *Μέχρι τοῦ Μωσέως*· οἱ γὰρ μεταξὺ Ἀδὰμ καὶ Μωσέως, ἥμαρτον μὲν, ἀλλ' οὐχὶ ἐπὶ τῷ ὁμοιώματι τῆς τοῦ Ἀδὰμ παραβάσεως. Ὁ μὲν γὰρ, ὡρισμένην καὶ νομοθετηθεῖσαν ἐντολὴν θεοῦ παρέβη καὶ ἥμαρτεν· οἱ δὲ, ἡμάρτανον, τὸν αὐτοδίδακτον τῆς φύσεως λόγον ἐνυβρίζοντες, οὐ μὴν καὶ τοῦτον εἰσαχθέντα ῥητῶς παραβαίνοντες. Καὶ οἱ μὲν μέχρι Μωσέως, ἡμάρτανον οὕτως· ἀπὸ δὲ Μωσέως μέχρι τῆς παρουσίας Χριστοῦ, κατὰ ὁμοιότητα τῆς τοῦ Ἀδὰμ παραβάσεως ἡμάρτανον· νόμους γὰρ ῥητοὺς, καὶ νόμους ἐκ θεοῦ διὰ Μωσέως δοθέντας, παραβαίνοντες ἡμάρτανον. *Ἐβασίλευσε* δὲ *ὁ θάνατος*, εἰπὼν, *ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ ἁμαρτήσαντας*, οὐκ ἐξάγει τοὺς ἐξ ἐκείνου μέχρι Χριστοῦ ἡμαρτηκότας· πῶς γὰρ ἂν ἐξῆγε, τοὺς μᾶλλον ἐοικότας ταῖς παραβάσεσι τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ; Οὐκ ἐξάγει τοίνυν τούτους τῆς τοῦ θανάτου βασιλείας καὶ ἐπικρατείας· ἀλλὰ διὰ τοῦ εἰπεῖν, *Καὶ ἐπὶ τοὺς μὴ κατὰ ὁμοιότητα τοῦ Ἀδὰμ ἁμαρτήσαντας*, τῇ προσρήσει τοῦ, Καὶ, ἐκείνους μάλιστα παρεδήλωσεν· οἷον· Οὐ μόνον ἐπὶ τῶν κατὰ ὁμοιότητα τοῦ Ἀδὰμ ἁμαρτησάντων ἐβασίλευσεν ὁ θάνατος· ἀλλὰ καὶ ἐπὶ τῶν μὴ ἐπὶ τῷ ὁμοιώματι αὐτοῦ ἁμαρτησάντων. Ἢ οὕτω ῥητέον, ἢ ἐν ὑπερβατῷ νοήσαντας τὸ, *ἐπὶ τῷ ὁμοιώματι*, καὶ συμφράσαντας τὸ ῥητὸν τὸν τρόπον τοῦτον· Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. Οὕτως οὖν συντάξαντας, δεῖ τὸν νοῦν ἀναπτύξαι. — Ὅρα δὲ τὴν ἀσφάλειαν τοῦ ἀποστόλου! Ἵνα μὴ δόξωμεν λοιπὸν ἀδικεῖσθαι, δι' ἄλλον ἀποθνήσκοντες, εἶπεν· Ἁμαρτία ἦν ἐν κόσμῳ, εἰ καὶ μὴ ἐλογίζετο. Τοιγαροῦν οὐ μόνον διὰ τὸν Ἀδὰμ, ἀλλὰ καὶ διὰ τὴν ἁμαρτίαν ἀποθνήσκομεν.

13 Ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου.
14 Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος.

Ἐγὼ νομίζω, *ἁμαρτίαν* λέγειν αὐτὸν ἐνταῦθα τὴν ἐκ τῆς παραβάσεως τοῦ Μωσέως νόμου καὶ τῶν ἐκεῖσε ἐπιταγμάτων συνισταμένην· οἷον, τοῦ δεῖν περιτέμνεσθαι, τοῦ σαββατίζειν· καὶ τάδε μὲν ἐσθίειν, τῶνδε δὲ ἀπέχεσθαι. Ἐπεὶ ἡ καθόλου ἁμαρτία ἦν καὶ αὐτὴ τῇ τῶν ἀνθρώπων φύσει γινωσκομένη, καὶ ἦν, καὶ ἐνελογεῖτο, οἷον ἀδροφονία, κλοπὴ, παιδοφθορία, καὶ τὰ ὅμοια· καὶ μάρτυρες τούτων Κάϊν, Λάμεχ, οἱ ἐπὶ τοῦ κατακλυσμοῦ, οἱ Σοδομῖται. Ἐπὶ γὰρ τούτων τῶν ἁμαρτιῶν καὶ ὁ φυσικὸς ἔκειτο νόμος. Ὁ γὰρ δημιουργὸς, παράγων εἰς γένεσιν τὸν ἄνθρωπον, τῶν τε πρακτέων, τῶν τε οὐ πρακτέων φυσικήν τινα γνῶσιν ἐνέθεικε. Φασὶ δέ τινες τῶν Πατέρων, ὧν ἐστι καὶ Γρηγόριος, ἐν τῷ τοῦ ἀνθρώπου ποιήματι, καὶ τὴν ἐντολὴν, τὴν τῷ Ἀδὰμ δοθεῖσαν μὴ φαγεῖν ἐκ τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν ξύλου, νόμον εἶναι, ἁμαρτιῶν τούτων δὴ τῶν καθόλου ἀπείργοντα· τὸ γὰρ ξύλον, τὸ ποιητικὸν τῆς γνώσεως τοῦ καλοῦ καὶ πονηροῦ, ἁμαρτίαν εἶναι ἐδέξαντο. — *Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδάμ.*] Εἰρμὸν λαβὼν τὴν τοῦ Ἀδὰμ παράβασιν, *Μωσέα* φησὶ πᾶσαν τὴν Παλαιὰν, ὡς ἐκεῖ· « Εἰ Μωσέως οὐκ ἀκούουσι (α) ». Τὸν

(α) Λουκ. ιϛ', 31.

οὖν ἄχρι τῆς ἐπιδημίας τοῦ Χριστοῦ χρόνον, *Μωσέα* λέγει. Φησὶν οὖν, ὅτι ἄχρι τῆς παλαιᾶς Διαθήκης ἐπεκράτει ὁ θάνατος· νῦν γὰρ ἐν τῇ νέᾳ, χάριτι Χριστοῦ, λέλυται, καὶ τῷ αἵματι τοῦ θεοῦ ἡμῶν κατήργηται. *Μὴ ἁμαρτήσαντας* δέ φησι, τοὺς πρὸ τοῦ νόμου· οὐκ ἐπειδὴ οἱ πρὸ τοῦ νόμου οὐχ ἡμάρτανον· μᾶλλον γὰρ ἐκεῖνοι τῶν κατὰ τὸν νόμον· ἀλλὰ διὰ τὴν αἰτίαν, ἣν αὐτὸς εἶπεν, ὅτι ἁμαρτία μὲν ἦν, καὶ ἐνηργεῖτο παρὰ τῶν ἀνθρώπων· οὐκ ἐλογίζετο δὲ αὐτοῖς, διὰ τὸ μὴ εἶναι νόμον τὸν τὴν ἁμαρτίαν ἀπαγορεύοντα. Ὅσον οὖν πρὸς τὸ μὴ λογίζεσθαι πρὸ τοῦ νόμου τὴν ἁμαρτίαν· (*ἁμαρτία γάρ φησιν, οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου*)· ἀναμάρτητοι ἦσαν τὸ τηνικάδε οἱ ἄνθρωποι, καίτοι ἁμαρτάνοντες. *Ὃς ἐστι τύπος τοῦ μέλλοντος.*] Ὃς, φησιν, Ἀδάμ, τύπος ἦν τοῦ μέλλοντος ἔρχεσθαι, τουτέστι τοῦ Χριστοῦ. Πῶς; Ὥσπερ, φησὶ, τῷ θανάτῳ τοῦ Ἀδὰμ πάντες ἀπέθνησκον, οὕτω τῷ θανάτῳ τοῦ Χριστοῦ πάντες ζητούμεθα καὶ ἀναστησόμεθα. Ὁ οὖν τύπος, ἐκ τοῦ ἐναντίου συμβέβηκεν. Ὥσπερ ἐκεῖνος τοῖς ἐξ αὐτοῦ, καίτοι γε μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου τοῦ διὰ τὴν βρῶσιν εἰσαχθέντος· οὕτω καὶ ὁ Χριστὸς, τοῖς ἐξ αὐτοῦ, καίτοι γε μὴ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιοσύνης.—Τρία ἐστὶν ἐν τούτοις τοῖς παραβολικῶς ἀλλήλοις παρατεθεῖσιν, ὁμοιότης τις, ἐναντιότης, ὑπερβολὴ κατὰ τὴν ὁμοιότητα. Ἐναντιότης μέν, ἁμαρτία, ἀναμάρτητον· ἔχθρα πρὸς θεὸν, καὶ καταλλαγὴ πρὸς θεόν· κατάκριμα, καὶ δικαίωμα· ἀπώλεια, καὶ πτῶμα, καὶ θάνατος, σωτηρία καὶ ἀνάστασις, καὶ ζωή. Ἡ μὲν οὖν ἐναντιότης ἐν τούτοις· ἡ δὲ ὁμοιότης· Ὥσπερ δι' ἑνὸς τοῖς πᾶσι τὰ χείρω συνέπεσεν, οὕτω δι' ἑνὸς τὰ ἀμείνω τοῖς πᾶσιν ἐπιγέγονεν. Ἡ δὲ ὑπερβολή· Ὅτι ἐπὶ μὲν τῶν χειρόνων, συνέπραξαν τῷ ἑνὶ οἱ πολλοὶ ἐπὶ τῷ μετασχεῖν αὐτοὺς τῶν κακῶν· ἐπὶ δὲ τῶν ἀμεινόνων, οὐδεὶς συνέπραξεν, ἀλλὰ μόνου τοῦ ἑνὸς Χριστοῦ τὸ χάρισμα γέγονεν. Ὥστε οὐχ ὁμοίως καὶ ἐπίσης, ἀλλὰ καθ' ὑπερβολὴν καὶ ἐκ περισσείας ἡ ὁμοιότης.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Πάλιν, διὰ τοῦ Ἀδὰμ, τῶν χειρόνων εἰσαχθέντων, οὐκ ἀνηρέθη μόνον ταῦτα· ὅπερ ὡς ἐναντίοις ὄμμιον καὶ ἀνάλογον· ἀλλὰ καὶ ἐπεδόθη παρὰ Χριστοῦ τὰ ἀμείνω· ὅπερ τὴν ὑπερβολὴν καὶ τὴν περισσείαν παρίστησι. Διό φησιν· *Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα.* Καὶ ὅρα, τί λέγει. Εἰ οὕτως ἰσχύει, φησὶ, τὸ παράπτωμα τοῦ Ἀδὰμ, καίτοι ἀσθενὲς ὂν, καὶ κατὰ πολὺ ἡττώμενον τοῦ χαρίσματος τοῦ θεοῦ, ὥστε καὶ τοὺς μὴ ἁμαρτήσαντας θανατῶσαι, πόσῳ μᾶλλον ὑπερισχύσει τὸ χάρισμα τοῦ θεοῦ, καὶ τοὺς μὴ κατορθώσαντας ζωοποιῆσαι τῇ ἀναιρέσει;

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι, τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς ἐπερίσσευσε.

Βούλεται δεῖξαι μείζονα ἐνεργήσασαν τὴν τοῦ Χριστοῦ χάριν, ἥπερ ἐνήργησε τὸ τοῦ Ἀδὰμ παράπτωμα. Καὶ πῶς τοῦτο; καὶ γὰρ ὁρῶμεν τὰ ἴσα ἐνεργήσαντα, καὶ ἐναντία τὰ ἐνεργηθέντα· ὥσπερ γὰρ ἡ ὑπακοὴ τοῦ Χριστοῦ εἰς πάντας ἀνθρώπους παρέπεμψε τὴν ζωὴν καὶ τὴν ἀνάστασιν, τὸν ἴσον τρόπον καὶ ἡ παρακοὴ τοῦ Ἀδὰμ εἰς πάντας ἀνθρώπους παρέπεμψε τὸν θάνατον. Πῶς οὖν, φησὶν· *Οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα;* Ὅτι καὶ οὕτως ἔχοντος τοῦ πράγματος, καθὼς εἶπας, μεῖζον ἐνήργησεν ἡ χάρις τοῦ θεοῦ. Καὶ οὐ κατὰ τοῦτο λέγω μεῖζον, ὡς ἄν τις οἰηθείη, καθὸ μείζων καὶ διαφορωτέρα ἡ ζωὴ τοῦ θανάτου· ἀλλ' ὅτι καὶ αὐτῷ τῷ ἔργῳ καὶ τῇ ἐνεργείᾳ μεῖζον εἰργάσατο ἡ Χριστοῦ ὑπακοὴ, τῆς Ἀδὰμ παραβάσεως. Πῶς; Ὅτι ὁ μὲν θάνατος, ὁ τὴν ἀρχὴν ἐκ τοῦ Ἀδὰμ λαβὼν, συνεργὸν ἔσχε καὶ τὴν ἡμῶν ἁπάντων ἁμαρτίαν· ἵνα κατὰ πάντων ἰσχύσῃ, οὐ πάντως ἰσχύειν μέλλων, εἰ καθαροὶ παντὸς ῥύπου ἔμειναν οἱ ἄνθρωποι· ἡ δέ γε τοῦ Χριστοῦ χάρις, καὶ ἄνευ τῆς ἡμῶν συνεργίας, εἰς πάντας ἀφίκετο. Καὶ τοῦτο δηλοῖ τὸ τὴν χάριν τῆς ἀναστάσεως μὴ μόνον εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούς πιστούς ἐνεργεῖσθαι, τοὺς οἷον δόξαντας τὴν πίστιν συνεισφέρειν· ἀλλὰ καὶ εἰς τοὺς ἀπίστους, οἷον Ἰουδαίους καὶ Ἕλληνας. Μεῖζον οὖν τὸ μὴ προσδεηθὲν τῆς ἀφ' ἡμῶν συμμαχίας τοῦ δεηθέντος καὶ τῆς ἡμῶν αὐτῶν εἰς τὸ ἰσχύσαι συνεργίας. — *Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι.*] Εἰπὼν, ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ, τύπος δὲ δηλονότι ἐκ τοῦ ἐναντίου· ὡς γὰρ ἐκεῖνος αἴτιος ἀνθρώποις θανάτου, οὕτως ὁ Χριστὸς αἴτιος ἀνθρώποις ἀναστάσεως· εἰπὼν οὖν, ὡς ἔφημεν, ὅτι τύπος ἦν ὁ Ἀδὰμ τοῦ Χριστοῦ, ἐπειδὴ μέλλων αὐτὸ κατασκευάζειν, οὐ μόνον τὴν ὁμοιότητα κατασκευάζει καὶ τὸν τύπον, ἀλλὰ καὶ τὴν ἐν τῷ τύπῳ καὶ τῇ ὁμοιότητι ὑπεροχὴν καὶ περισσείαν· τοῦτο γὰρ ἐνδείκνυται διὰ τοῦ λέγειν· *Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα·* καὶ πάλιν· *Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος.* Ἐπεὶ οὖν σύνθετον αὐτῷ πως γέγονε τὸ ἐπιχείρημα, ἀνομοιότητά πως ἐν ὁμοιότητι διαπλέκοντι, νῦν ἐπαναλαμβάνεται μὲν τὸ αὐτὸ, καθαρῶς δὲ τὴν ὁμοιότητα δείκνυσι, καὶ οὐκ ἐπιπλέκων, ὅσον ἀπὸ τῆς λέξεως, τινὰ ἀνομοιότητος μάχην. Εἶτα σαφῶς τοῦτο καὶ καθαρῶς ἐνδειξάμενος, ὅτι, ὥσπερ δι' ἑνὸς ἐβασίλευσεν ὁ θάνατος, πολλῷ μᾶλλον ἐν ζωῇ βασιλεύσουσι δι' ἑνὸς Χριστοῦ, ἐπάγει, ὥσπερ συμπερανόμενος, καὶ εἰς τὸ ἔτι σαφέστερον καὶ συνεσταλμένον ἀνάγων τὸν λόγον, καί φησιν· *Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα,* καὶ ἑξῆς. Εἶτα, ἐπειδὴ καὶ ἐν τῷ πρώτῳ καὶ συνθέτῳ ἐπιχειρήματι, καὶ ἐν τῷ δευτέρῳ καὶ διακεκαθαρμένῳ καὶ ἐπαναληπτικῷ, καὶ ἐν τῷ, ὥσπερ συμπεράσματι, ἐπενεχθέντι, παραπτώματος μὲν, καὶ χαρίσματος, καὶ κατακρίματος, καὶ δωρήματος, καὶ δικαιώματος, καὶ τοιούτων μνημονεύει, ὅθεν δὲ τὴν ἀρχὴν εἴληφεν ἑκατέρα τῶν ἐναντίων ἡ συστοιχία αὕτη οὐδέπω ἐπεσημήνατο, νῦν αὐτὸ τοῦτο διασαφεῖ καὶ ἀποκαλύπτει, καί φησιν· ὅτι τὰ μὲν ἐκ παρακοῆς ἐῤῥύη· τὰ δὲ ἐξ ὑπακοῆς ἤνθησεν. Ὥστε κατασκευαστικὸν ἂν εἴη τοῦτο τοῦ ἐπιχειρήματος τοῦ κατασκευάζοντος τὸν τύπον καὶ τὴν ὁμοιότητα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἷον τοῦ· *Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος*, καὶ ἑξῆς. Οὐ ταυτολογεῖ τοίνυν, ὡς ἄν τις οἰηθείη, ὁ θεῖος ἀπόστολος ἐν τούτοις· ἀλλὰ σαφῶς λίαν καὶ διηκριβωμένως ἀλληλουχεῖ καὶ ἐντάττει τῶν κεφαλαίων τὴν δύναμιν. Ἔστιν οὖν τὸ μέν· *Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα*, καὶ ἑξῆς, ἕως τοῦ· *Ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα*, ἐπιχείρημα μέν, ὡς ἔφημεν, δεικτικὸν τοῦ τύπου καὶ τῆς ὁμοιότητος· ἀλλὰ διαπεπλεγμένον πως καὶ συντεθειμένον δι' ἀνομοιότητος. Ἐδεῖτο οὖν σαφηνείας καὶ διακαθάρσεως, καὶ τοῦτο ποιεῖ τὸ ἑφεξῆς ἐπιχείρημα, ἐπαναλαμβάνον τὸ προειρημένον καὶ διακαθαῖρον, καὶ εἰς τὸ σαφὲς ἀπαγαγόν. Ἀλλ' ἔδει καὶ τοῦτο λαβεῖν ἀξίωμα, καὶ μὴ ἐξ ὑποθέσεως προτείνεσθαι μόνον. Οὐδὲ τοῦτο παρρᾳ· ἀλλ' ὥσπερ συμπεραινόμενος καὶ τῇ τοῦ λόγου θαῤῥῶν ἀληθείᾳ, μετὰ βεβαιώσεως ἀποφαίνεται· *Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος*, καὶ ἑξῆς. Εἶτα, ἐπεὶ οὐκ ἦν εἰπὼν ἐν τοσούτοις ἐπιχειρήμασιν οὐδαμοῦ, πόθεν ἔσχεν ἀρχὴν τὸ δικαίωμα καὶ τὸ κατάκριμα, οὐδὲ τοῦτο παρρᾳ· ἀλλὰ προστίθησι, λέγων· *Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς*, καὶ ἑξῆς.— *Πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ.*] Οὐ μόνον, φησίν, ἡ χάρις τοῦ πατρὸς, ἀλλὰ δὴ καὶ ἡ τοῦ υἱοῦ. Τοῦτο δὲ κακατσκευαστικὸν ἐςι τοῦ δυνατοῦ· ὅτι, φησὶ, ἡ χάρις τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ. Ὅπου δὲ πατὴρ καὶ υἱὸς, εὔδηλον ὅτι καὶ τὸ πνεῦμα δύναται πάντας σῶσαι.

16 Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα. Τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα.
17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς
18 Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους,
19 εἰς δικαίωσιν ζωῆς. Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς δι' ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί· οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

Καὶ οὐχ ὥσπερ ἡ ἁμαρτία, φησὶ, τοῦ Ἀδὰμ, οὕτω καὶ ἡ δωρεὰ τοῦ θεοῦ· ἀλλ' ἡ δωρεὰ μείζων. Πῶς; Τὸ μὲν γὰρ *κρῖμα*, τουτέστι, τὸ κατάκριμα, ἐκ τοῦ ἑνὸς Ἀδὰμ εἰς πάντας ἦλθεν ἀνθρώπους· τὸ δὲ χάρισμα καὶ ἡ δωρεὰ τοῦ θεοῦ τοσοῦτον ὑπερίσχυσεν, ὥστε καὶ αὐτὴν τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν ἐξαλεῖψαι· καὶ οὐ μόνον ἐκείνην, ἀλλὰ καὶ τὰ λοιπὰ ἁμαρτήματα τῶν ἀνθρώπων, ἅπερ μετὰ τὴν ἁμαρτίαν ἐκείνην ἥμαρτον. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ *εἰς δικαίωμα*, τουτέστιν, εἰς δικαιοσύνην ἅπαντας ἤγαγε· πολὺ δὲ τὸ μέσον ἀμνηστίας ἁμαρτιῶν καὶ δικαιοσύνης. Ἡ δὲ σύνταξις· Καὶ οὐχ οὕτω τὸ δώρημα, ὡς ἡ διὰ τοῦ ἑνὸς ἁμαρτήσαντος παράβασις καὶ ἁμαρτία· ἀλλ' ἡ δωρεὰ πολλῷ μᾶλλον. *Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε.*] Πάλιν τὸ αὐτὸ κατασκευάζει, καί φησιν· Εἰ γὰρ τῷ παραπτώματι τοῦ Ἀδὰμ, διὰ τὸν ἕνα αὐτὸν, ὁ θάνατος ἐβασίλευσε, πολλῷ μᾶλλον ἡμεῖς, οἱ τὴν χάριν λαβόντες καὶ τὴν δωρεὰν καὶ τὴν δικαιοσύνην, οὐχ ὑπαχθησόμεθα θανάτῳ, ἀλλὰ ζήσομεν. *Πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος.*] *Περισσείαν* φησὶ τὴν δαψίλειαν. Τοῦτο δὲ κατασκευαστικόν ἐστι τοῦ πάντως ἐν ζωῇ βασιλεῦσαι, ὅσῳ καὶ ἡ χάρις οὐ φειδωλῶς, οὐδὲ μεμετρημένως ἐδόθη, ἀλλ' ἐκ περισσείας. — ΚΑΙ ΑΛΛΩΣ. Οὐ μόνον, ἵνα ζήσωμεν ἐδόθη ἡ χάρις τοῦ θεοῦ, καὶ ἡ ἁμαρτία ἀνῃρέθη, καὶ ἡ κόλασις συνανῃρέθη· ἀλλ' ἵνα καὶ υἱοὶ θεοῦ γενώμεθα, καὶ συγκληρονόμοι Χριστοῦ, καὶ κληρονόμοι πατρὸς, καὶ σύσσωμοι τοῦ υἱοῦ, καὶ ἄλλα μυρία ἀγαθά. Διὰ τοῦτό φησιν· *Οἱ τὴν περισσείαν τῆς χάριτος λαμβάνοντες.* — Ἆρα οὖν ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' ἑνὸς παραπτώματος.] Πάλιν τῷ αὐτῷ ἐπαγωνίζεται λόγῳ. Ἐπειδὴ γὰρ παράδοξον ἐδόκει, τῇ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ ζωῇ καὶ δωρεᾷ καὶ κατορθώματι ἅπαν σώζεσθαι τὸ γένος τῶν ἀνθρώπων, πολλαχῶς αὐτὸ κατασκευάζει. *Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς.*] Τὸ αὐτὸ πάλιν λέγει ἐπιχείρημα. *Ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί.*] Τουτέστιν, ὑπεύθυνοι θανάτῳ καὶ κολάσει, διὰ τὸ τάξει καὶ εἰρμῷ εἰς πάντας τοὺς τοῦ γένους αὐτοῦ διαβῆναι τὴν τοῦ προπάτορος ἁμαρτίαν, πάντων κατά τινα μίμησιν καὶ διδαχὴν ἐπιτελούντων αὐτήν. *Οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνός.*] Ὑπήκοος γὰρ γέγονε τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ (α).

20 Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ
21 χάρις· ἵνα, ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Νόμος *δὲ παρεισῆλθε.*] Τὸ γεγονὸς λέγει· καὶ οὐκ αἴτιον φησὶ τὸν νόμον τῆς ἁμαρτίας· οἷον· Νόμος δὲ παρεισῆλθε, καὶ ἐπλεόνασε τὸ παράπτωμα. Τοῦτο γὰρ ἐπ' αὐτῶν ὤφθη τῶν ἔργων καὶ πράξεων. Ἅμα δὲ, καὶ ἐπιπληκτικῶς πρὸς τοὺς Ἰουδαίους εἴρηται· πρὸς γὰρ ἐκείνους ἀποτείνεται· καὶ ἐκεῖνοι ἦσαν οἱ ὑπέρογκα τῷ νόμῳ φρονοῦντες. Ἐπιπλήττων οὖν, ὑπαινίττεται, ὅτι μάτην τῷ νόμῳ μέγα φρονεῖτε· ὅσῳ γὰρ ἐπὶ ταῖς ὑμετέραις ἐργασίαις, ὁ νόμος παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. Τοῦτο δὲ νῦν ἔφη, ἐπειδὴ τῶν ἐκ τοῦ Ἀδὰμ χαλεπῶν ἐπεμνήσθη, καὶ τούτων ἀπαλλαγὴν μόνον ἔφη γενέσθαι τὸν Σωτῆρα. Ἵνα οὖν μὴ λέγωσι· Τί οὖν; ὁ νόμος οὐδὲν συνεβάλετο εἰς τὴν ἐκείνων ἀπαλλαγήν; τίθησι γοῦν τοῦτο· ὅτι οὐ μόνον οὐδὲν συνήνεγκεν, ἀλλ', ὅσον ἐφ' ὑμῖν,

(α) Φιλιπ. Β', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐπλεόνασε τὴν ἁμαρτίαν ἐκείνην. Τὸ δὲ, παρεισῆλθε, τὸ πρόσκαιρον αὐτοῦ δείκνυσιν. *Ἵνα πλεονάσῃ τὸ παράπτωμα.*] Καθαιρεῖ τοῦ νόμου τὴν δόξαν· πρὸς Ἰουδαίους γὰρ ἦν αὐτῷ ὁ ἀγών· καί φησιν· Οὐ μόνον οὐδὲν ὑμᾶς ὤνησεν ὁ νόμος, ἀλλὰ καὶ ἠύξησε τὰς ἁμαρτίας ἐκ τοῦ παραβαίνεσθαι. Τὸ δὲ, *Ἵνα*, ἐνταῦθα οὐκ αἰτιολογικῶς κεῖται, ἀλλὰ τὸ, ὅπως ἐξέβη, δηλοῖ. Οὐ γὰρ διὰ τοῦτο ἐδόθη, ἵνα πλεονάσῃ τὴν ἁμαρτίαν, ἄπαγε! ἀλλ' ἵνα σώσῃ καὶ παιδεύσῃ· μὴ φυλαχθεὶς δὲ, ηὔξησε τὴν ἁμαρτίαν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν τῶν μὴ φυλαξάντων αὐτὸν ῥᾳθυμίαν καὶ παράβασιν. —ΚΑΙ ΑΔΔΩΣ. Ἔοικε τοῦτο τῇ πρὸς Γαλάτας· *Ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη* (α). Τὸ γὰρ, *Ἵνα*, κἀνταῦθα, κατὰ τὸ ἰδίωμα τέθεικε· σημαίνει γὰρ τὸ ἀκόλουθον. Τοῖς γὰρ μετὰ τὸν Ἀδὰμ, φησιν, ἅπασι, μᾶλλον δὲ καὶ αὐτῷ τῷ Ἀδὰμ, νόμου δοθέντος, ἐπλεόνασε τὸ παράπτωμα. Ὅσῳ γὰρ τὰ παραγγέλματα πλείω, τοσούτῳ πλείω, παραβαινομένων αὐτῶν, καὶ τὰ παραπτώματα. Πολλὰς γὰρ δοὺς ἐντολὰς ὁ νόμος, παραβαθεὶς ἐπλεόνασεν. —*Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία.*] Μὴ φοβηθῇς, φησίν, ὅτι ἐπλεόνασεν ἡ ἁμαρτία· καὶ γὰρ τῇ τῶν ἀνθρώπων παραβάσει εἰς δέον καὶ συμφέρον ἐχρήσατο, πόρον τοῖς ἀπόροις μηχανευόμενος ὁ θεός· ἐκ γὰρ τούτου ἡ χάρις διὰ Χριστοῦ μείζων καὶ πολὺ ποθητέα γεγένηται. Ἧς οὕτω γενομένης, ἡ πίστις μᾶλλον ἐπέδωκεν. Οὐκοῦν ἐκ τοῦ πλεονασμοῦ τῆς ἁμαρτίας, οὐχ ἡ κόλασις ἐπλεονάσθη, ἀλλ' ἡ σωτηρία γέγονεν ἐρασμιωτέρα· οὐ γὰρ μόνον τῶν ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ μυρία ἀγαθὰ δέδωκεν. —*Ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ.*] Ἡ μὲν γὰρ ἁμαρτία ἐν τάξει βασιλέως ἦν· ὁ δὲ θάνατος, ἐν τάξει στρατιώτου καὶ ὑπουργοῦ γεγένηται. *Ἐν τῷ θανάτῳ*, τουτέστι, διὰ τοῦ θανάτου. *Οὕτω καὶ ἡ χάρις βασιλεύσει.*] Χάρις μὲν γὰρ, καὶ χάρις

(α) Γαλατ. Γ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ καὶ δικαιοσύνη, μείζων κατορθοῖ ἁμάρτιας καὶ θανάτου. Ὅμως αὐτὸς ἐκ περιουσίας εἶπε τὸ, *οὕτω βασιλεύσει. Διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.*] Διὰ τῆς τοῦ Χριστοῦ δηλονότι δικαιοσύνης. Ἡ σύνταξις δέ· Διὰ δικαιοσύνης, διὰ Ἰησοῦ Χριστοῦ ἐπιτελεσθείσης καὶ καταπραχθείσης (ι).

ΚΕΦ. VI, 1 Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρ-
2 τίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο! Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; Τί οὖν; φησί· διὰ τὴν τῶν εἰρημένων ἀκολουθίαν ἔλθωμεν εἰς τοιάδε ῥήματα; Καὶ λέγει ποῖα. *Ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ;*] Ἐπειδὴ εἶπεν ἄνω· *Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις·* ἵνα μὴ τοῖς ἀνοήτοις εἶναι δόξῃ τὰ εἰρημένα προτροπὴ εἰς ἁμαρτίαν, ἀναιρεῖ αὐτά. *Μὴ γένοιτο!*] Ὅπερ ἐπὶ τῶν ὡμολογημένων ὡς ἀτόπων εἰώθαμεν λέγειν. *Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ,* καὶ ἑξῆς.] Ἤ, ὅτι τὸ αὐτῆς μέρος ἐνεκρώθημεν· πῶς οὖν ἐστὶν ἐκ τῆς αὐτῆς καὶ νεκροῦσθαι καὶ ζῆν; ἤ, ὅτι νεκροὶ γεγόναμεν τῇ ἁμαρτίᾳ, πιστεύσαντες τῷ Χριστῷ καὶ βαπτισθέντες. Οὐ δεῖ οὖν, φησί, τοὺς τὴν σωτήριον νέκρωσιν ὑπομείναντας, ζῆσαι τὴν κακὴν ζωὴν τῆς ἁμαρτίας. Ἐνεκρώθημεν δὲ τῇ ἁμαρτίᾳ. Πῶς; Εἰς τὸ μὴ ὑπακούειν, φησὶν, αὐτῆς.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς ὀφειλομένης ἐπὶ τῇ πίστει ἀγαθῆς πράξεως.

3 Ἢ ἀγνοεῖτε, ὅτι, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν

(ι) « Εἰ οὖν ἡ ἁμαρτία ἐβασίλευσεν ἡμῶν, οἷόν τινα στρατιώτην ἔχουσα τὸν θάνατον, πολλῷ μᾶλλον ἡ χάρις βασιλεύσει ἐν ὑμῖν, ἐπαγομένη τὴν δικαιοσύνην, τὴν ἀνελετικὴν τῆς ἁμαρτίας, καὶ διὰ τοῦ ἀναιρεῖν τὴν ἁμαρτίαν, συναναιροῦσα τὸν θάνατον, καὶ ζωὴν εἰσάγουσα αἰώνιον. Οἱονεὶ γοῦν ἀντιπαράταξις γέγονε· καὶ ἡ μὲν ἁμαρτία εἶχε στρατιώτην τὸν θάνατον· ἡ δὲ χάρις, τὴν δικαιοσύνην. Ἀνεῖλεν οὖν ἡ δικαιοσύνη τὴν βασιλίδα ἁμαρτίαν, καὶ σὺν αὐτῇ τὸν θάνατον· καὶ λοιπὸν εἰσήχθη ζωὴ αἰώνιος ». Θεοφύλακτος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;
4 Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς
τὸν θάνατον· ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν
διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν και-
5 νότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι
γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ
καὶ τῆς ἀναστάσεως ἐσόμεθα·

Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν.] Εἰς τὸ παραπλήσιον αὐτοῦ θάνατον ἀποθανεῖν· ἢ, εἰς τὸ τέλειον αὐτὸν καὶ λυσιτελέστατον ἀφθῆναι· γίνεται δὲ ταῦτα διὰ τοῦ βαπτίσματος· βαπτιζόμενοι γὰρ, ἀποτιθέμεθα τὰς ἁμαρτίας· ὅπερ ἤρξατο κατεργάζεσθαι ὁ θάνατος τοῦ Χριστοῦ. Καὶ γὰρ ὑπὲρ τῶν ἡμετέρων ἀπέθανεν ἁμαρτιῶν, ἐλευθερῶσαι τούτων ἡμᾶς βουλόμενος. Ἐνήργησεν οὖν ὁ θάνατος τοῦ Χριστοῦ τὴν ἀπόθεσιν καὶ νέκρωσιν τῶν ἁμαρτιῶν, καὶ, ὅσον ἐφ' ἑαυτῷ, τὸ ὅλον ἀπήρτισε. Λείπει δὲ μόνη ἡ ἡμῶν πίστις καὶ γνώμη καὶ προαίρεσις. Ταῦτα δὲ διὰ τοῦ βαπτίσματος ἐπιδείκνυται· οὗπερ ἐπιτελουμένου, ὁ θάνατος μᾶλλον τοῦ Χριστοῦ εἰς ὅσον ὤνησε σωτηρίας ἐμφανίζεται. Καλῶς οὖν φησὶν· *Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν*· οἷον· Εἰς τὸ ἀποθανεῖν τὸν παραπλήσιον αὐτῷ θάνατον, τὰς ἁμαρτίας τῷ βαπτίσματι ἐνθάπτοντας, καὶ εἰς τὸ ἐμφανέστερον τοῦ σωτηρίου θανάτου αὐτοῦ τὸ κέρδος διὰ πάντων ἐπιδειχθῆναι, καὶ ἡμῶν πρὸς τὴν ὁλοκληρίαν τῆς σωτηρίας τὴν γνώμην καὶ τὴν προαίρεσιν καὶ τὴν πίστιν συνεισαγόντων διὰ τοῦ βαπτίσματος. Ἐπιπληκτικωτέρῳ δὲ λόγῳ κέχρηται, ἑρμηνεύων, πῶς ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, καὶ φησὶν· Ἢ *ἀγνοεῖτε, ὅτι, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τοῦτο ἐβαπτίσθημεν, εἰς τὸ καὶ αὐτοὶ ἀποθανεῖν*; θάνατον γὰρ μιμεῖται τὸ βάπτισμα· τοῦτο γὰρ δηλοῖ τό· *Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν*. Εἰ γὰρ καὶ μὴ σωματικός ἐστι θάνατος τὸ βάπτισμα, ἁμαρτιῶν μέντοι. *Διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον.*] Ἐπειδὴ βαπτιζόμενοι,

Αγιορειτικη Κεντρικη Βιβλιοθηκη Θεσσαλονικης

ὁμολογοῦμεν, ἀποτεθνηκέναι τῷ κόσμῳ, καὶ ἀποτάσσεσθαι τῇ ἁμαρτίᾳ καὶ τῷ διαβόλῳ. *Χριστὸς ἠγέρθη διὰ τῆς δόξης τοῦ πατρός.*] Πιθανὴν ποιεῖται τὴν ἀνάστασιν διὰ τῆς τοῦ ἐγείραντος δόξης. Καλῶς οὖν τὸν πατέρα φησὶν ἐγηγερκέναι· νηπίοις γὰρ ἔτι διαλέγεται. *Δόξαν* δὲ τοῦ πατρὸς, τὴν θεότητα καλεῖ τοῦ Χριστοῦ. [*Διὰ τῆς δόξης ἄρα τοῦ πατρὸς*, ταὐτὸν τῷ, διὰ τῆς οἰκείας θεότητος.] Καὶ γὰρ ἐν ἑτέρᾳ φησὶν ἐπιστολῇ· «*Ἵνα ὁ θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης* (α)». Ἦν δὲ ἀκόλουθον εἰπεῖν· Οὕτω καὶ ἡμεῖς ἀναστησόμεθα· ἀλλ' εἰς πολιτείαν ἦλθεν, ἑτέραν ἡμᾶς ἀπαιτῶν ἀνάστασιν, τὴν διὰ χρηστῆς πολιτείας, ἐν ᾗ νεκροῦται μὲν ἡ ἁμαρτία, ἀνίσταται δὲ βίος ἐνάρετος. Ἐν ᾧ γὰρ ὁ πόρνος μηκέτι πορνεύει, καὶ ἅρπαξ μὴ ἁρπάζει, τοῦτο καινότης ζωῆς. — ΚΑΙ ΑΛΛΩΣ. Νέαν δεῖ εἶναι τῶν πιστῶν τὴν ζωὴν, μηδὲν τῆς παλαιᾶς ἁμαρτίας ἐπισυρομένην ἐφόδιον.—*Εἰ γὰρ σύμφυτοι.*] Ὁμοιότητα δείξαι ἐπιχειρεῖ ἡμῶν τε καὶ τοῦ Χριστοῦ, καί φησιν· *Εἰ σύμφυτοι*, οἷον συμμέτοχοι, *γεγόναμεν τοῦ θανάτου. Συμφύτους* δὲ λέγει διὰ τοῦτο, ὥσπερ τὸ σῶμα τὸ δεσποτικὸν ταφὲν ἐν τῇ γῇ, ἔφυσε σωτηρίαν τῷ κόσμῳ, οὕτω καὶ τὸ ἡμῶν, φησὶ, ταφὲν ἐν τῷ βαπτίσματι, ἔφυσεν ἡμῖν αὐτοῖς δικαιοσύνην. — Κατὰ μεταφορὰν ἡ λέξις, *σύμφυτοι*, ἀπὸ τῶν κατὰ συγγένειαν δένδρων, ἅμα φυτευομένων καὶ σὺν ἀλλήλοις. *Σύμφυτοι* οὖν, φησὶ, *γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ*, τουτέστι, συναπεθάνομεν αὐτῷ. Οἰκείως δὲ ἐχρήσατο τῇ τροπῇ. Ὥσπερ γὰρ τὸ φυτὸν, ἐν τῇ γῇ κατατεθὲν χρόνον τινὰ, οἷον νέκρωσίν τινα καὶ ἀκινησίαν ὑπομένει, ἔπειτα δὲ ἀθρόον ἀναζῇ καὶ ἀναθάλλει, οὕτω καὶ τὸ κυριακὸν σῶμα, ἐπὶ χρόνον βραχὺν τεθὲν ἐν τῷ τάφῳ, ἀθρόον ἤνθησεν ἐκεῖθεν, καὶ ἐβλάστησε τῇ οἰκουμένῃ τὴν σωτηρίαν. Καὶ ἡμεῖς δὲ, βαπτιζόμενοι καὶ ἐνθαπτόμενοι, καὶ τρό-

(α) Ἐφισ. Α', 17.

που τινὰ ὥσπερ τὰ φυτὰ τῇ γῇ, οὕτω καὶ ἡμεῖς, ἐννεκρούμενοι τῷ ὕδατι, ἀθρόον θάλλοντες καὶ ἀκμάζοντες τὴν σφῶν σωτηρίαν ἀνερχόμεθα. Καλῶς δὲ οὐκ εἶπε, *σύμφυτοι τῷ θανάτῳ*, ἀλλὰ, *τῷ ὁμοιώματι*· ὁμοίωμα γὰρ θανάτου ἔχομεν ἐν τῷ βαπτίσματι, οὐ σωματικὸν θάνατον. Αἱ γὰρ τρεῖς καταδύσεις καὶ ἀναδύσεις τοῦ βαπτίσματος, θάνατον καὶ ἀνάστασιν σημαίνουσιν. — *Ὁμοίωμα θανάτου* ὁ Χριστοῦ θάνατος, διὰ τὸ μὴ ἀπομεμενηκέναι αὐτὸν τῷ θανάτῳ, ἀλλ' ἀναβιῶναι τριήμερον. Καὶ πάλιν, *ὁμοίωμα θανάτου*, τὸ πάθος ἦν ἐν τῷ Χριστῷ· καὶ μάλιστα εἰκότως· ἀνεβίω γὰρ, καὶ οὐ μεμένηκε νεκρός. — *Ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.*] Ποίας; Τῆς γενησομένης ἡμῖν, ὅταν ἀναστῶμεν. Καὶ ὅρα ἀγαθότητα Θεοῦ! Τὸν μὲν θάνατον τοῦ Κυρίου, ὡς ἐν εἰκόνι ἀπεθάνομεν· τῆς δὲ ἀναστάσεως ἀληθῶς κοινωνήσομεν.

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος
συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρ-
7 τίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ
8 γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ·

Εἶτα λέγει, πῶς ἡμῖν ἔσται ἐπίδοξος ἡ ἀνάστασις· καὶ φησι· *Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος*, τουτέστιν, ὁ κατεγνωσμένος βίος, *συνεσταυρώθη* τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος, ἐφ' ᾧ τε, φησὶ, *καταργηθῆναι τὸ σῶμα τῆς ἁμαρτίας*, τουτέστιν, ἵνα νέκρωσιν αἱ κακαὶ πράξεις ὑπομείνωσιν, ἃς καὶ λέγει, *σῶμα ἁμαρτίας*. — *Ὁ παλαιὸς*, τουτέστιν, ὁ ἐν ταῖς ἁμαρτίαις παλαιωθείς. Οὗτος οὖν, βαπτιζομένων ἡμῶν, συσταυροῦται Χριστῷ καὶ ἀποθνήσκει· καὶ ἀνερχόμεθα ἀπὸ τοῦ βαπτίσματος καινοὶ καὶ πρόσφατοι, πάντα τὸν παλαιωθέντα ἄνθρωπον ἀποθέμενοι· καὶ καταργεῖται τὸ σῶμα τῆς ἁμαρτίας, ἐν ᾗ ἐστηρίζετο, καὶ ὑφ' ἧς ἐμορφοποιεῖτο ὁ *παλαιὸς ἡμῶν ἄνθρωπος*, τουτέστιν, ὁ καταγηράσας βίος ἡμῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς παραπτώμασιν. *Ἄνθρωπον* δὲ καλεῖ τὸν τοιοῦτον, τὴν τῶν ἀνθρώπων πρὸς αὐτὸν δηλῶν δυσαπόσπαστον καὶ πολυχρόνιον σχέσιν. Οὕτω γὰρ ἐνετετήκεισαν αὐτῷ πρὸ τῆς δεσποτικῆς ἐπιδημίας καὶ οἰκονομίας οἱ ἄνθρωποι, ὡς μηδ' ἂν ἄνθρωποι αἱρεῖσθαι εἶναι, καὶ μηδόλως εἶναι χωρὶς φιληδόνου πολιτείας καὶ ἀκολάστων πράξεων. Τῷ οὖν συμπεπλέχθαι αὐτῷ τοὺς ἀνθρώπους καὶ συνανακεκρᾶσθαι καὶ δυσαποσπάστως ἔχειν, *ἄνθρωπον* ἐπιπληκτικῶς τὸν τοιοῦτον βίον ἐκάλεσε, τουτέστιν, ὃν ὡς αὐτοὺς ἡμᾶς, μᾶλλον δὲ καὶ ἡμῶν πλέον, καὶ ἐστέργομεν καὶ περιειχόμεθα. — ΚΑΙ ΑΛΛΩΣ. *Παλαιὸν ἄνθρωπον*, οὐ τὴν φύσιν ἐκάλεσεν, ἀλλὰ τὴν πονηρὰν γνώμην· ταύτην δὲ ἔφη τῷ βαπτίσματι νεκρωθῆναι. — *Ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας.*] Εἰς τοῦτό φησιν, ἵνα καταργηθῇ καὶ νεκρωθῇ, εἰς τὸ μηκέτι ὑποπεσεῖν ἁμαρτίᾳ. *Νέκρωσιν* δέ φησιν, ὅσον εἰς τὸ ἁμαρτάνειν, ἵνα ᾖ νεκρόν· νεκρὸς γὰρ οὐχ ἁμαρτάνει. *Τὸ σῶμα δὲ τῆς ἁμαρτίας*, περιφραστικῶς, αὐτὴ ἡ ἁμαρτία, τουτέστιν, ὅλη διόλου ἀργὴ καὶ ἄχρηστος τὸ λοιπὸν χρηματίζουσα. Πῶς δὲ καταργεῖται; Ἡμῶν μὴ χρωμένων αὐτῇ. Εἶτα δείκνυσι καὶ τὸν τρόπον τῆς χρήσεως δριμέως καὶ ὀνειδιστικῶς· *τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ*· ἡ γὰρ χρῆσις τῆς ἁμαρτίας δούλους ἡμᾶς ποιεῖ τῆς ἁμαρτίας. Κατήργηται δὲ τὸ σῶμα τῆς ἁμαρτίας, τουτέστι, τῶν ἐν αὐτῇ κινημάτων ἡ ἔμφυτος ἀγριότης, κατασείουσα μὲν ἀεὶ πρὸς τὰ αἰσχίω τὸν νοῦν, ἐνιεῖσα δὲ ὥσπερ πηλῷ τὰς γεωδεστέρας ἡδονάς. Καὶ τοῦτο κατωτέρω φησί· *Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ πατὴρ τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί* (α). Ὁρᾷς, πῶς τὸ σῶμα τῆς ἁμαρτίας κατήργηται; Κατακέκριται γὰρ ἐν τῇ σαρκὶ τῆς ἁμαρτίας τὸ κέντρον· καὶ νενέκρωται μὲν ἐν πρώτῳ Χριστῷ· διέβη δὲ

(α) Ῥωμ. Η', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρ' αὐτοῦ τε καὶ δι' αὐτοῦ καὶ εἰς ἡμᾶς ἡ χάρις. —*Ὁ γὰρ ἀποθανών*, καὶ ἑξῆς.] Ὁρᾷς, ὅτι, ὅσον εἰς τὸ ἁμαρτάνειν, δεῖ ἡμᾶς εἶναι νεκρούς. *Ὁ γὰρ ἀποθανών*, φησι, *δεδικαίωται*, τουτέστιν, ἀπήλλακται καὶ ἠλευθέρωται, *ἀπὸ τῆς ἁμαρτίας*. Τινὲς δὲ τοῦτο περὶ τοῦ βαπτίσματος ἐδέξαντο, ἐν ᾧ συνετάφημεν τῷ Χριστῷ· ὅτι οὐκ ἔστιν ἕτερον βάπτισμα, καθάπερ καὶ ὁ Χριστὸς οὐκέτι δεύτερον ἀπέθανεν, εἰς ὃν συνετάφημεν καὶ συνηγέρθημεν. — *Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ.*] Εἰ δὲ περιπατήσομεν ἐν καινότητι ζωῆς, δῆλον ὅτι καὶ ἀναστησόμεθα, ὥσπερ ὁ Χριστὸς ἠγέρθη ἐκ νεκρῶν· τοῦτο γὰρ ἀκόλουθον τοῦ εἰρημένου· αὐτὸς δὲ τὴν προηγουμένην τῆς ἀναστάσεως πολιτείαν ἐπαγαγὼν τοῖς εἰρημένοις, τὸ ἐξ ἀνάγκης ἑπόμενον κατέλιπεν ἐννοεῖν· εἶτα λοιπὸν καθαρῶς τὴν ἀνάστασιν εὐαγγελίζεται, καί φησιν· *Εἰ ἀπεθάνομεν σὺν Χριστῷ*, ὥσπερ καὶ ἀπεθάνομεν διὰ τοῦ βαπτίσματος, *πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ*, τὴν μακαρίαν ἐκείνην καὶ ἀγήρω ζωὴν δηλονότι, τὴν μετὰ τὴν ἀνάστασιν. Ὀφείλομεν, φησί, πιστεύειν, ὅτι καὶ συζήσομεν αὐτῷ. Παρακελεύσεως οὖν τὸ, *πιστεύομεν*, καὶ συμβουλῆς.

9 Εἰδότες, ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι
10 ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ
ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ,
11 ζῇ τῷ θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς
νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ
ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν.

Καὶ πόθεν, φησὶ, δῆλον, ὅτι συζήσομεν τῷ Χριστῷ; Καὶ γὰρ αὐτὸ τοῦτο ἄδηλον, μήπως καὶ αὐτὸς ὁ ἐγερθεὶς Χριστὸς πάλιν ἀποθάνῃ. Ἄπαγε! φησί. Τοῦτο γὰρ χρὴ πεπληροφορῆσθαι, ὅτι ὁ Χριστὸς οὐκέτι ἀποθανεῖται. Διὰ γὰρ τοῦτο καὶ ἀπέθανεν, ἵνα καταργήσῃ τὸν θάνατον. Πῶς γὰρ ἀποθανεῖται, δι' ὃν καὶ οἱ λοιποὶ ζησόμεθα; συναναπεμπομένου τοῦ ὅλου θανάτου ἐν Χριστῷ, τῇ ἀπαρχῇ ἡμῶν. *Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θανεν ἐφάπαξ.] Καὶ τοσοῦτόν, φησιν, οὐκέτι ἀποθανεῖται, ὅτι, καὶ ἐκεῖνο τὸ ἅπαξ ὃ ἀπέθανεν, οὐχ ὡς ὑπεύθυνος θανάτου κατὰ τοὺς λοιποὺς ἀνθρώπους ἀπέθανεν, ἀλλὰ διὰ τὴν τοῦ κόσμου ἁμαρτίαν, ἵνα ταύτην ἀνέλῃ καὶ θανατώσῃ. *Ζῇ τῷ θεῷ.*] Τουτέστιν, ὡς θεὸς ἀπαύστως καὶ ἀκαταλύτως· ὡς γὰρ νοεῖται, *τῇ ἁμαρτίᾳ*, διὰ τὴν ἁμαρτίαν, οὕτω νοεῖται καὶ, *τῷ θεῷ*, διὰ τὸ εἶναι θεός. Καὶ οὕτω νοήσεις, ὥσπερ λέγομεν ἐπὶ τοῦ καθ' ἡμᾶς ἀνθρώπου· Ἀπέθανε τῇ σαρκί, ζῇ δὲ τῇ ψυχῇ, κατὰ δοτικὴν ἀποδιδόντες τὸν λόγον. Οὕτω μοι νόει, *τῷ θεῷ ζῇ*, τουτέστι, τῷ εἶναι θεός. Οὐκ ἐπειδὴ καὶ τῷ εἶναι ψυχὴ οὐκ ἔζη, ἀλλὰ τὸ ἀμαχώτερον τέθεικε, τὸ εἶναι αὐτὸν θεόν. *Οὕτω καὶ ὑμεῖς λογίζεσθε.*] Εἶτα, ἵνα μὴ λέγωσι· Καὶ τί πρὸς ἡμᾶς, εἰ ἅπαξ ἀποθανὼν ὁ Χριστὸς οὐκέτι ἀποθνήσκει; φησίν· Οὕτω καὶ ὑμεῖς λογίζεσθε. Πῶς; Ὅτι ἀποθανεῖσθε μὲν διὰ τὴν ἁμαρτίαν ἅπαξ, ζήσετε δὲ τῷ θεῷ. Καὶ γὰρ ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν, καθὼς καὶ ἀλλαχοῦ φησιν (α). Ἢ οὕτως· Ὥσπερ ὁ Χριστὸς ἀπέθανε καὶ ζῇ, οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς χρεὼν εἶναι νεκροὺς μέν, ὅσον πρὸς τὸ ἁμαρτάνειν, ζῶντας δὲ, εἰς τὰ κατὰ θεὸν, διὰ Ἰησοῦ Χριστοῦ, τουτέστι, συμμαχοῦντος Χριστοῦ. *Ἐν Χριστῷ Ἰησοῦ.*] Διὰ Ἰησοῦ Χριστοῦ· διὰ γὰρ τοῦ θανάτου αὐτοῦ ἡ ζωὴ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν
σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις
13 αὐτοῦ· μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ,
ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα
14 δικαιοσύνης τῷ θεῷ. Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

Ἐπεὶ οὖν νεκροὺς ὑμᾶς εἶναι χρὴ ὅσον εἰς τὴν ἁμαρτίαν, μὴ

(α) Πράξ. ΙΖ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

κρατείτω, φησίν, ὑμῶν ἡ ἁμαρτία. Καλῶς δὲ, *ἐν τῷ θνητῷ σώματι*· διὰγὰρ τοῦ σώματος ἡ ἁμαρτία ὡς ἐπὶ τὸ πολὺ ἐνεργεῖται. Μὴ βασιλευέτω δὲ *εἰς τὸ ὑπακούειν αὐτῇ*· τοῦτο γὰρ βασιλεύεσθαι. Βασιλεία δὲ τυραννίδος ταύτῃ διαφέρει, τῷ τὴν μὲν τυραννίδα, ἀκόντων γίνεσθαι τῶν ὑπηκόων· τὴν δὲ βασιλείαν, βουλομένων τῶν ἀρχομένων. Παραινεῖ τοίνυν, μηκέτι τῇ δυναστείᾳ τῆς ἁμαρτίας συντίθεσθαι· κατέλυσε γὰρ αὐτῆς τὴν βασιλείαν ὁ δεσπότης ἐνανθρωπήσας. Καὶ ἅτε δὲ θνητοῖς ἔτι καὶ παθητὸν ἔχουσι σῶμα νομοθετῶν, σύμμετρα τῇ ἀσθενείᾳ νομοθετεῖ. Καὶ οὐ λέγει· Μὴ τυραννείτω ἡ ἁμαρτία· ἀλλὰ, *Μὴ βασιλευέτω*· τὸ μὲν γὰρ, ἴδιον ἐκείνης, τὸ τυραννεῖν· τὸ δὲ, τῆς ἡμετέρας γνώμης, τὸ βασιλεύεσθαι. Ἡ μὲν γὰρ τῶν παθημάτων κίνησίς τε καὶ ὄχλησις, κατὰ φύσιν ἡμῖν ἐγγίνεται· τῶν δὲ ἀπειρημένων ἡ πρᾶξις, τῆς γνώμης ἐξήρτηται.—Ἐπεὶ γάρ, φησιν, ἀπεθάνομεν, καὶ νεκρὸν ἡμῶν γέγονε τὸ σῶμα τῇ ἁμαρτίᾳ, μὴ ποιήσωμεν πάλιν αὐτὸ ἀναζῆσαι τὴν ἐν τῇ ἁμαρτίᾳ ζωήν· μηδὲ παρασκευασώμεθα οὕτως, ὥστε πάλιν ἐν αὐτῷ, θνητῷ γενομένῳ διὰ τοῦ βαπτίσματος, βασιλεύειν τὴν ἁμαρτίαν. Τί δέ ἐστι, Βασιλεύειν ἐν ἡμῖν τὴν ἁμαρτίαν; Τὸ ἐπιτελεῖν τὰς ἐπιθυμίας τοῦ σώματος. Παραμυθεῖται δὲ αὐτοὺς ἐν τῷ εἰπεῖν, *θνητῷ σώματι*, δεικνὺς, ὅτι πρόσκαιρος ἡ πάλη ἡ πρὸς ἁμαρτίας· πρόσκαιρον γὰρ τὸ σῶμα.—*Ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ.*] Τουτέστι, τοῦ σώματος. *Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν.*] Οἷον, Μὴ ἀποτελεῖτε· τὸ γὰρ σῶμα ἄγεται, καθὸ ἂν ἄγῃ τις. Δύναται γάρ τις τὴν χεῖρα, καὶ ὅπλον ἐλεημοσύνης καὶ ἁρπαγῆς ποιῆσαι· τὴν γλῶσσαν, καὶ εὔφημον καὶ δύσφημον· καὶ οὕτω πάντα τὰ μέλη. *Ὅπλα ἀδικίας.*] Καλῶς τὴν ἁμαρτίαν, *ἀδικίαν*, ἐκάλεσεν. Ἡ γὰρ ἑαυτόν τις ἀδικεῖ δι' αὐτῆς, ἢ τὸν πλησίον. *Ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ.*] Τέως ἐκ τῶν ὀνομάτων τὸ διάφορον. Οἷον γάρ ἐστι· Μὴ παραστῆσαι ἑαυτὸν τῇ ἁμαρτίᾳ, ἀλλὰ τῷ θεῷ· οὕτως, *Ἑαυτούς*, φησι, *παραστή-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σατε τῷ θεῷ, ὡς ἄξιον· ὅτι νενεκρωμένους ὑμᾶς ταῖς πάλαι ἁμαρτίαις, ἤγουν τῷ ὑπὸ τοῦ θανάτου βασιλεύεσθαι, ἐζωοποίησεν. Ἤ, ὡς ἔξιν ἄξιον τοὺς τηλικαύτης εὐεργεσίας ἀξιωθέντας, καὶ ἐκ τῶν νεκρῶν καὶ φθοροποιῶν παθῶν ἐλευθερωθέντας, καὶ ζῶντας ἀποδειχθέντας, ἑαυτοὺς παραστῆσαι. *Καὶ τὰ μέλη ὑμῶν ὅπλα.*] Ὁ γὰρ εἰς ὅπλα δικαιοσύνης τὰ μέλη παραστήσας, τῷ θεῷ ἑαυτὸν παρίστησιν. *Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει.*] Μὴ γὰρ ἔστω ὑμῖν ὁ τῆς ἁμαρτίας πόλεμος, πρόφασις· ἀσθενὴς ἐστι νῦν ἡ ἁμαρτία· οὐ δύναται κυριεύειν, ἐὰν μὴ ἡμεῖς ἑκόντες ὑποκατακλιθῶμεν αὐτῇ· ἀλλὰ προσβάλλει μέν, οὐ κυριεύει δέ. Πῶς οὖν ἐκυρίευεν ἕως τοῦ νῦν; Ὅτι *ὑπὸ νόμον* ἦσαν οἱ ὑπ' αὐτῆς κυριευόμενοι ἐπὶ τοῦ νόμου· ὃς ἀπεθέσπιζε μὲν τὴν τῆς ἁμαρτίας πρᾶξιν, οὐκ ἐνίσχυε δὲ εἰς τὸ κρατεῖν αὐτῆς καὶ περιγίνεσθαι. Ἡμεῖς δὲ *ὑπὸ χάριν* ἐσμέν· ἥτις, μετὰ τοῦ συμβουλεύειν καὶ διατάττεσθαι, ἃ χρὴ, καὶ ἐνισχύει, καὶ συνεργεῖ εἰς τὴν πρᾶξιν αὐτῶν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰς προγεγενημένας ἡμῖν ἁμαρτίας ἐξαλείφει. Ποία ἁμαρτία οὐ κυριεύσει; Ἡ πρὸ τοῦ βαπτίσματος δηλονότι, ἣν ἀφίησιν ἡ χάρις τοῦ Χριστοῦ. Τοῦτο δὲ ὁ νόμος ποιεῖν οὐκ ἠδύνατο. *Οὐκ ἐστὲ* οὖν, φησὶν, *ὑπὸ νόμον*, τὸν μὴ δυνάμενον ῥύσασθαι, ἀλλὰ μᾶλλον τιμωρούμενον.

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον,
16 ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο! Οὐκ οἴδατε, ὅτι, ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστὲ, ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ
17 ὑπακοῆς εἰς δικαιοσύνην; Χάρις δὲ τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.

Ἵνα μὴ ῥᾴθυμος ὁ ἀκροατὴς γένηται, ὡς μὴ κυριευθησόμενος ὑπὸ τῆς ἁμαρτίας, διὰ τὸ εἶναι ὑπὸ χάριν τὴν φρουροῦσαν, ἀσφαλίζεται αὐτόν. Ἐάν, φησιν, ἑαυτοὺς μὴ ὑποκλίνωμεν τῇ ἁμαρτίᾳ, οὐχ ἁλισκόμεθα παρ' αὐτῆς. Πῶς; Ὅτι οὐκ ἐσμὲν ὑπὸ τὸν νόμον ἔτι, τὸν ἀπαγορεύοντα μὲν τὴν ἁμαρτίαν, ῥύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Πέραιας

σασθαι δὲ μὴ δυνάμενον· ἀλλ' ὑπὸ τὴν χάριν Χριστοῦ, τὴν καὶ τὰς προγενομένας ἁμαρτίας ἀφεῖσαν, καὶ εἰς τὸ μέλλον φρουροῦσαν, ἐὰν ἡμεῖς μὴ ῥᾳθυμήσωμεν. *Οὐκ οἴδατε, ὅτι, ᾧ παριστάνετε ἑαυτούς.*] Ὦ, πράγματι διὰ τῆς ὑπακοῆς δούλους ἑαυτοὺς παριστάνετε, τουτέστι, πυεῖτε, ἀποδείκνυτε, παρασκευάζετε, τούτῳ καὶ εἰς τὸ ἑξῆς δοῦλοι χρηματίσετε, τῆς ἑκουσίου ὑμῶν ὑπακοῆς τὴν δουλείαν παρασχομένης, ἤτοι τῆς ἐπὶ θάνατον ἀγούσης ἁμαρτίας, ἢ τῆς ὡς ἀληθῶς ὑπακοῆς, τῆς εἰς δικαιοσύνην χειραγωγούσης. Ἢ τὸ, *ᾧ ὑπακούετε, μᾶλλον* ἀντὶ τοῦ, *ἐν ᾧ καὶ καθ' ὃν τρόπον*· οἷον ὅτι, ἐν τούτῳ καὶ κατὰ τοῦτον τὸν τρόπον δοῦλοι ἐστὲ ἢ τῆς ἁμαρτίας ἢ τῆς δικαιοσύνης, καθ' ὃ καὶ ἐν ᾧ θατέρᾳ αὐτῶν ὑπακούετε. Ἵνα γὰρ μήτις εἴπῃ· Πῶς ἐστι δοῦλον τούτων γενέσθαι; τὸν τρόπον τίθησιν· *ᾧ παριστάνετε.* Οὐ λέγω, φησὶ, τὴν γέενναν, οὐδὲ τὰ ἐκεῖ δεσμωτήρια· αὕτη ἡ αἰσχύνη οὐχ ἱκανὴ ἀναχαιτίσαι ὑμᾶς, ὅτι καταδουλοῦτε ἑαυτοὺς τῇ ἁμαρτίᾳ, ὑπὸ Χριστοῦ ἐλευθερωθέντες; *Δοῦλοι ἐστέ.*] Ἐκείνου, φησὶν, ἐσὲ τοῦ πράγματος δοῦλοι, ᾧ ὑπακούετε. *Ἤτοι ἁμαρτίας εἰς θάνατον.*] Ἤτοι τῆς εἰς θάνατον ἀγούσης ἁμαρτίας, φησὶν, ἢ τῆς ὑπακοῆς τοῦ θεοῦ, τῆς εἰς δικαιοσύνην ἀγούσης. Ἀπὸ κοινοῦ τὸ, *δοῦλοι ἐστέ. Χάρις δὲ τῷ θεῷ.*] Φοβήσας αὐτοὺς τῇ δουλείᾳ τῆς ἁμαρτίας καὶ τῷ ἐκ ταύτης θανάτῳ, τῶν εὐεργεσιῶν ὑπομιμνήσκει τοῦ θεοῦ, παραμυθούμενός τε αὐτοὺς, καὶ δεικνὺς εὐκολώτερον τὸ μέλλον πρὸς σωτηρίαν. *Ὑπηκούσατε δὲ ἐκ καρδίας.*] Μηδενός, φησι, βιασαμένου, μηδὲ ἀναγκάσαντος. Τοῦτο δὲ καὶ ἐγκώμιον ἐστὶν αὐτῶν. *Εἰς ὃν παρεδόθητε.*] Εἶτα, ἐπειδὴ εἶπεν αὐθαίρετον αὐτῶν εἶναι τὴν προθυμίαν, λοιπὸν λέγει καὶ τὴν τοῦ θεοῦ βοήθειαν. Ὑμεῖς μὲν γάρ, φησιν, ἑκόντες ὑπηκούσατε· ὁ δὲ θεὸς ὑμᾶς εἰς τὸν τύπον τοῦτον τῆς διδαχῆς παρέδωκε. Ποῖον; Τὸ ὀρθῶς ζῆν ἐθέλειν καὶ ὑγιαίνειν περὶ τὰ δόγματα. *Τύπον* δέ, φησι, *διδαχῆς*, οἷον ὅρον καὶ κανόνα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε
19 τῇ δικαιοσύνῃ. (Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθέ-
νειαν τῆς σαρκὸς ὑμῶν). Ὥσπερ γὰρ παρεστήσατε
τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ
εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη
20 ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. Ὅτε γὰρ
δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιο-
21 σύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν
22 ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος. Νυνὶ
δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες
δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ
23 δὲ τέλος, ζωὴν αἰώνιον. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρ-
τίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ θεοῦ, ζωὴ αἰώ-
νιος, ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν.

Οὐ μόνον γάρ, φησιν, ὁ θεὸς ἠλευθέρωσεν ὑμᾶς ἀπὸ τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἐδούλωσε τῇ δικαιοσύνῃ. *Ἀνθρώπινον λέγω.*] Ἀνθρώπινον λέγω, φησὶ, λέγων· *ἐδουλώθητε*· οὐ γάρ ἐστι τοῦτο κατὰ ἀλήθειαν δουλεία, τὸ κατὰ τὴν δικαιοσύνην πολιτεύεσθαι· ἀλλὰ τοῦτο ἡ ἀληθὴς ἐλευθερία καὶ εὐδαιμονία. Τί οὖν καλεῖς αὐτὴν δουλείαν, εἰ μὴ ἔστι δουλεία; *Διὰ τὴν ἀσθένειαν*, φησὶ, *τῆς σαρκὸς ὑμῶν*· τουτέστιν, ἐπειδὴ ἀντιπίπτειν δοκεῖ τὸ φρόνημα τῆς σαρκὸς, καὶ τραχύνεσθαι καὶ ἀλγύνεσθαι κατ' ἀρχὰς πρὸς τὰ ἐπιτάγματα τῆς δικαιοσύνης, διὰ τοῦτο τὸ ἀπὸ τῆς ὑμετέρας σαρκὸς ἀσθενὲς καὶ ἀλγυνόμενον λογιζόμενος, κατὰ τὴν ἀνθρωπίνην συνήθειαν, δουλείαν αὐτὸ ἐκάλεσα. Καὶ γὰρ εἰώθαμεν, ἐφ' ὧν ἀλγυνόμενοι καὶ ἄκοντές τι πράττομεν, τὸ τῆς τυραννίδος καὶ δουλείας ὄνομα τιθέναι. Οὕτω γοῦν καὶ ὁ Παῦλός φησιν, ὅτι *Κατὰ ἄνθρωπον λέγω* τὸ, *ἐδουλώθητε τῇ δικαιοσύνῃ*. Εἶτα κατασκευάζει αὐτὸ καὶ ἐκ τοῦ ἐναντίου. Ὥσπερ γάρ, φησι, τὰ τῆς ἀκαθαρσίας πράττοντες, δοῦλοι ἦτε τῆς ἀκαθαρσίας· οὕτω τὰ τῆς δικαιοσύνης ἐπιτελοῦντες, δοῦλοι, οὐκ ἀπεικότως, ἂν κληθείητε τῆς δικαιοσύνης. Τοῦτο δὲ καὶ ἐντρέπων ἅμα ἐπήγαγεν. Εἰ γὰρ δοῦλοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶναι οὐκ ἠσχύνεθε τῆς ἀκαθαρσίας, πῶς οὐκ ἂν καὶ μέγα φρονήσητε, δοῦλοι καταξιωθέντες γενέσθαι τῆς δικαιοσύνης, εἶτα κατασκευάζει τοῦτο καὶ ἑτέρως· καὶ προϊὼν δείκνυσι τῆς τοιαύτης δουλείας τὸ ἄξίωμα, συμπεραινόμενος, ὅτι αὕτη ἡ δουλεία δούλους ποιεῖ τοῦ θεοῦ, οὗ τι ἂν εἴη ἐλευθεριώτερον καὶ εὐδαιμονέστερον; Καὶ γάρ φησι· *Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ*, καὶ ἑξῆς. Ἢ τὸ, *Ἀνθρώπινον λέγω*, εἰ νοηθείη καθ' ὑπερβατόν, τῷ ἑρεξῆς ὀφείλει τάττεσθαι· *Οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν*. Εἰ οὖν οὕτως ἐκληρθείη, σημαίνοι ἂν, ὅτι Μέτριόν τι εἶπον καὶ ταπεινόν, ταῦτα εἰπών. Ὃ γὰρ τὸ τέλειον λέγων, εἴποι ἂν ὅτι, *Παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ*, μὴ ὡς τῇ ἁμαρτίᾳ, ἀλλὰ πολὺ μᾶλλον σπουδαιότερον. Νῦν δὲ διὰ τὸ ἀσθενὲς ὑμῶν, φησίν, οὕτως εἶπον ταπεινῶς καὶ μετρίως. Ἢ, σύμμετρόν τί, φησι, λέγω καὶ μικρὸν, καὶ οὐχ ὑπερβαῖνον τὸ τῆς φύσεως ἀσθενές· τῇ φύσει μετρῶ τὴν παραίνεσιν· οἶδα γὰρ τὰ ἐν τῷ θνητῷ σώματι κινούμενα πάθη. *Τῆς σαρκὸς ὑμῶν.*] Οὐκ εἶπε, τῆς προαιρέσεως, ἢ τῆς ἐπιθυμίας, ὅπερ ἦν ἐκείνων ἀδίκημα· ἀλλὰ, *τῆς σαρκὸς*, ὃ παρὰ γνώμην αὐτῶν ἐγίνετο. Τοῦτο δέ φησιν, ἀνεπαχθῆ τὸν λόγον ποιῶν. *Ὥσπερ γὰρ παρεστήσατε.*] Πολλῷ μὲν μείζονα ἔδει τῷ Χριστῷ τὴν δουλείαν παρασχεῖν καὶ τῇ δικαιοσύνῃ, ἅπερ ὅσην παρέσχετε *τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν*· πλὴν διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς, τὴν ἴσην ἀπαιτῶ. Τὸ δὲ, *εἰς τὴν ἀνομίαν*, τουτέστιν, εἰς τὸ ἐπὶ πλέον ἀνομεῖν, ὡς εἰ ἔλεγεν· Ἐξεκαίεσθε καὶ εἰς ἔτι μᾶλλον ἀνομεῖν. *Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας.*] Ὅτε, φησὶν, ἐν ἁμαρτίᾳ ἐζῆτε, τοσοῦτον ὑπηκούετε τῇ ἁμαρτίᾳ, ὡς μηδοτιοῦν πράττειν καλόν· τοῦτο γὰρ δηλοῖ τό, *ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ*, τουτέστιν, ἐν οὐδενὶ ἦτε ὑποτεταγμένοι αὐτῇ. Οὐκοῦν καὶ νῦν, ἐπεὶ μετέστητε εἰς τὴν δικαιοσύνην, ἐλεύθεροι γίνεσθε τῇ ἁμαρτίᾳ· τοῦτο γὰρ συνυπακούειν

Διάθεσι Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ σκοπὸς τοῦ ἀνωτέρου κεφαλαίου ἀπαιτεῖ. *Τίνα οὖν καρπὸν εἴχετε τότε;*] Τί οὖν τὸ ὄφελος ὑμῖν, φησι, τῆς πάλαι πονηρίας; Οὐδέν, ἀλλ' ἢ τὸ ἐπαισχύνεσθαι ὑμᾶς νῦν. Οὕτω γὰρ κακὸν ἡ ἁμαρτία, ὅτι καὶ μετὰ τὴν ἀπαλλαγὴν, αἰσχύνεταί τις ἐπ' αὐτῇ. *Τὸ γὰρ τέλος ἐκείνων, θάνατος.*] Οὐ μόνον ἀπὸ τῆς αἰσχύνης, ἀλλὰ καὶ ἀπὸ τῶν ἀποτελεσμάτων κατασκευάζει τὸ μοχθηρὸν τῆς ἁμαρτίας. Τὸ τέλος ἐκείνων, φησὶ, θάνατον ἔχει, τοῦτο δὴ τὸν νοητόν. *Ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν.*] Ἐκείνων μέν, φησιν, ὁ καρπὸς, θάνατος καὶ αἰσχύνη, τούτων δὲ ὁ καρπὸς, ἁγιασμὸς καὶ ζωὴ αἰώνιος. Ἀλλ' ὅμως καὶ τούτων οὕτως ὄντων, φησὶ, καὶ οὕτω τῷ θεῷ δουλεύσατε, ὥσπερ ποτε καὶ τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ. *Τὸ δὲ τέλος ζωὴν αἰώνιον.*] Ἐκ τῶν δεδομένων τὰ προσδοκώμενα πιστοῦται, τουτέστιν, ἀπὸ τοῦ ἁγιασμοῦ, τὴν αἰώνιον ζωήν. *Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος.*] *Τὰ ὀψώνια*, οἷον ὁ καρπὸς, ἡ δωρεά. *Ὀψώνιον* δὲ λέγεται, ἡ βασιλικὴ δωρεὰ (α). Ὅρα δὲ, ἐξ ὧν ἐπεξέρχεται τῷ λόγῳ ἀσφαλεστέρους τε αὐτοὺς πρὸς τὸ μέλλον ποιεῖ, καὶ αὐτοὶ εὐχαριστοῦσιν ὧν ἐρρύσθησαν. — Ὀψώνιον διὰ τῆς ἁμαρτίας ὠνούμεθα, ὃ ἡμῖν ἐκείνη πραττομένη, ἀντιδίδωσι καὶ προξενεῖ. — *Τὸ δὲ χάρισμα τοῦ θεοῦ.*] Οὐκ εἶπεν· Ὁ μισθὸς τῶν κατορθωμάτων· ἀλλὰ, τὸ *χάρισμα*, δεικνὺς, ὅτι οὐκ ἐκ καμάτων, ἀλλὰ κατὰ χάριν ἀπηλλάγησαν τῶν ἁμαρτιῶν. *Ἐν Χριστῷ Ἰησοῦ.*] Αὐτὸς γάρ ἐστιν, ὁ τοῦτο ἐνεργήσας.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἐπανάληψις περὶ τῆς ἐν χάριτι ζωῆς.

ΚΕΦ. VII, 1 Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, (γινώσκουσι γὰρ

(α) «Ὀψώνιον λέγεται τὸ τοῖς στρατιώταις παρὰ τοῦ βασιλέως διδόμενον σιτηρέσιον.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόμον λαλῶ,) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου,
2 ἐφ' ὅσον χρόνον ζῇ; Ἡ γὰρ ὕπανδρος γυνὴ, τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ,
3 κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν, ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ.

Μετ' ἐγκωμίου λέγει τὸ, *γινώσκουσι νόμον*. *Ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου.*] Εἶπεν ἄνω, ὅτι ἀπεθάνομεν τῇ ἁμαρτίᾳ· τοιγαροῦν οὐ κυριεύει ἡμῶν, τῶν, ὅσον ἐπ' αὐτὴν, νεκρῶν ὄντων. Νῦν δὲ θέλει δεῖξαι, ὅτι οὔτε ὁ νόμος ἡμῶν κυριεύει. Ἀνθρώπινον δὲ λέγει παράδειγμα. Εἶτα προϊὼν δείκνυσιν, ὅτι οὐ μόνον ἡμεῖς ἀπεθάνομεν τῷ νόμῳ, ἀλλὰ καὶ ὁ νόμος ἀπέθανε τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ. *Τοῦ ἀνθρώπου.*] Οὐκ εἶπεν, ἀνδρὸς, ἢ γυναικὸς, ἀλλὰ, *ἀνθρώπου*, ἵνα ἀμφοτέρους δηλώσῃ. *Ἐφ' ὅσον χρόνον ζῇ.*] Τίς; Δῆλον ὅτι ὁ ἄνθρωπος. Ἐλλειπτικῶς οὖν εἴρηται· σαφὲς δὲ αὐτὸ ποιεῖ τὸ ἐπαγόμενον. *Ἡ γὰρ ὕπανδρος γυνή.*] Ἐν τάξει τοῦ ἀνδρὸς, τέθεικε τὸν νόμον· ἐν τάξει δὲ γυναικὸς, τοὺς πιστεύσαντας. *Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ.*] Ἐν τῷ παραδείγματι τῆς χήρας, τὸν νόμον ὑποτίθεται ἀποθανόντα, ἀλλ' οὐκ ἐν τῷ συμπεράσματι, ἵνα μὴ ἐπαχθῇ ποιήσῃ τὸν λόγον, μόνον ἁπλῶς διηγούμενος. *Ἀπὸ τοῦ νόμου.*] Τοῦ νομοθετοῦντος περὶ τοῦ ἀνδρὸς, καὶ δεσμοῦντος τὴν γυναῖκα πρὸς αὐτόν. Τὸ δὲ, *κατήργηται*, ἀντὶ τοῦ, ἀπολέλυται, ἠλευθέρωται.

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν
5 τῷ Θεῷ. Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν, τὰ διὰ τοῦ νόμου, ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ ῥῆσαι τῷ θανάτῳ. Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα·

Ἐν τῷ συμπεράσματι οὐκ εἰσάγει ἀποθανόντα τὸν νόμον, διὰ τὸ μὴ δόξαι εἶναι ἐπαχθῆ· Ἰουδαίοις γὰρ λαλεῖ· ἀλλὰ τοὺς πιστεύσαντας εἰσάγει τῷ θανάτῳ Χριστοῦ ἀποθανόντας ἀπὸ τοῦ νόμου, διὸ καὶ ἐλευθερωθέντας. Εἰ οὖν, τοῦ νόμου ἀποθανόντος, οὐκ ἔστι παραβάτης ὁ καταλιμπάνων αὐτὸν, καὶ πιστεύων τῷ Κυρίῳ, πολλῷ μᾶλλον ἂν καὶ αὐτός τις ἀποθάνῃ, (ὥσπερ, φησὶ, καὶ ἡμεῖς ἀπεθάνομεν,) λέλυται ἀπὸ τοῦ νόμου, καὶ οὐκ ἔστι παραβάτης. *Διὰ τοῦ σώματος τοῦ Χριστοῦ.*] Τοῦ θανατωθέντος ὑπὲρ ἡμῶν· συναπεθάνομεν γὰρ αὐτῷ ἐν τῷ βαπτίσματι, καὶ οὐκ ἐσμὲν ἑαυτῶν· ἠγοράσθημεν γὰρ τιμῆς (α). *Εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ.*] Ὡς τοῦ νόμου ἀποθανόντος· διὸ οὔτε παραβάται εὑρεθησόμεθα. *Ἵνα καρποφορήσωμεν τῷ θεῷ.*] Εἶτα προτρέπει ἐλπίσι κρείττοσι. Τότε μὲν γάρ, φησι, τῷ θανάτῳ ἐκαρποφοροῦμεν, τὸ πᾶν ἐκείνῳ πράττοντες· νῦν δὲ, τῷ θεῷ. *Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ.*] Τουτέστιν, ἐν τῇ κατὰ νόμον πολιτείᾳ. *Σάρκα* γὰρ, τὰς τῇ σαρκὶ δεδομένας νομοθεσίας ὠνόμασε, τὰς περὶ βρώσεως, καὶ πόσεως, καὶ λέπρας, καὶ τῶν τοιούτων. *Ἐν τῇ σαρκί*, τουτέστιν, ἐν τῷ σαρκικῷ βίῳ. Οὐκ εἶπε δὲ, Ἐν τῷ νόμῳ, ἵνα μὴ ἀπαράδεκτος γένηται· ἔτι γὰρ ἐσέβοντο τὸν νόμον. *Τὰ διὰ τοῦ νόμου, ἐνηργεῖτο.*] *Οὐ γὰρ ᾔδειν*, φησὶ, *τὴν ἐπιθυμίαν, εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις* (6)· τὰ οὖν διὰ τοῦ νόμου γνωριζόμενα. Καὶ πάλιν οὐκ εἶπεν, Ἐνήργει τὰ μέλη, ἵνα μὴ κατηγορήσῃ τῆς σαρκός· ἀλλὰ, *ἐνηργεῖτο ἐν τοῖς μέλεσιν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ*, δεικνὺς ἔξωθεν παραγενόμενα, ἐνεργείᾳ τοῦ σατανᾶ, εἰς τὸ συνεισενεγκεῖν τῷ θανάτῳ. Διὰ γὰρ τῶν ἁμαρτιῶν τῷ θανάτῳ καρποφοροῦμεν. *Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου.*] Πάλιν τὸ ἐπαχθὲς φεύγων, οὐκ εἶπε· Κατήργηται ὁ

(α) Α΄ Κορ. Ζ΄, 20. (6) Κατωτέρω στίχ. 7.

νόμος· ἀλλ᾽ ἡμεῖς ἀπὸ τοῦ νόμου κατηργήθημεν, τουτέστιν, ἀπολελύμεθα καὶ λελυτρώμεθα. Διατί; Ἐπειδὴ ἀπεθάνομεν διὰ τῆς ἁμαρτίας· αὕτη γὰρ ἡ κατέχουσα· καὶ ἠγέρθημεν, οὐ διὰ τοῦ νόμου, ἀλλὰ διὰ τοῦ Χριστοῦ. Δῆλον οὖν, ὅτι ἀπὸ μὲν τοῦ νόμου ἀπολελύμεθα, ὡς ἀποθανόντες· ὑπετάγημεν δὲ τῷ ῥυσαμένῳ ἡμᾶς ἀπὸ τοῦ θανάτου Χριστῷ.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῆς ὑπὸ νόμου κατακρίσεως διὰ τὴν ἁμαρτίαν.

6 Ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ
7 οὐ παλαιότητι γράμματος. Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο! ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν· « Οὐκ ἐπιθυμήσεις. »

Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι ἀπολυθέντες τοῦ νόμου, λοιπὸν ἃ βούλονται ἀκινδύνως δύνανται πράττειν, ἐπάγει ἄλλην δουλείαν ἀκριβεστέραν, τὴν τοῦ πνεύματος. Καλῶς δὲ τὸ, *ἐν καινότητι*· ἐπειδὴ οὐ τὰ αὐτὰ ἐν τῇ νέᾳ Διαθήκῃ ἐπιταττόμεθα, ἅπερ οἱ πάλαι ἐν τῷ γράμματι, ἤτοι ἐν τῷ νόμῳ· ἀλλὰ καινὰ καὶ νέα παραγγέλματα, καὶ φιλοσοφώτερα· ὡσεὶ εἶπεν· Ἵνα δουλεύωμεν τοῖς νέοις τοῖς ἐκ τοῦ πνεύματος ἐπιταγεῖσι. Καὶ γὰρ τοῖς μὲν ἀρχαίοις τὸ μὴ φονεύειν· ἡμῖν δὲ τὸ μὴ ὀργίζεσθαι· ἐκείνοις μὴ μοιχεύειν· ἡμῖν δὲ τὸ μηδὲ περιέργως ὁρᾶν ἐπιτέτακται (α). *Καὶ οὐ παλαιότητι γράμματος.*] Οὐκέτι γὰρ ὁ νόμος ἐπιτάσσει, ἀλλὰ τὸ πνεῦμα. Εἰπὼν δὲ, *παλαιότητι*, ἔδειξε τὸ σαθρὸν τοῦ νόμου καὶ ἀχρεῖον. « Πᾶν γὰρ τὸ παλαιούμενον, φησὶ, καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ (β) ».

(α) Ματθ. Ε, 21. 22. 27. 28. (β) Ἑβρ. Η, 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τί οὖν ἐροῦμεν.] Ἐπειδὴ εἶπεν· Ἵνα δουλεύωμεν ἐν καινότητι πνεύματος· ὡς τοῦ μὲν πνεύματος σώζοντος, τοῦ δὲ νόμου μὴ σώζοντος· φησί· Τί οὖν εἴποί τις; ὅτι ὁ νόμος ἁμαρτωλός ἐστιν, ἢ ἁμαρτίας πρόξενος; Οὐ τοῦτο, φησὶ, λέγω· ἀλλ' ὅτι πρόξενός μοι τοῦ γνῶναι τὴν ἁμαρτίαν· οὐκοῦν καὶ χειρόνως τιμωρηθῆναι· ὅτι ἐν γνώσει λοιπὸν ἁμαρτάνω. Ὅμως κατὰ μικρὸν δείκνυσι τὸν νόμον, καὶ κατασκευαστικὸν τῆς ἁμαρτίας, οὐ μὴν παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν αὐτῶν κακίαν. Οὐκ εἶπε· Τί οὖν; ὁ νόμος ἀπέθανεν, ἢ κατήργηται; (τοῦτο γὰρ ἐβούλετο·) ἀλλ' ὅπερ οὐδὲ αὐτῷ ἐδόκει· Τί οὖν; φησὶν, *ὁ νόμος ἁμαρτία*; Διὸ ἐπάγει, Μὴ γένοιτο! ἅμα κἀκείνους λεαίνων, καὶ τὸ αὐτοῦ οὐκ ἀναιρῶν. Οὐ γὰρ εἰ μὴ ἐστιν ἁμαρτία, ἤδη οὐκ ἀπέθανεν, ἢ οὐ κατήργηται, ὅπερ ἐκεῖνος καὶ ἐδείκνυε καὶ ἐβούλετο. *Ὁ νόμος ἁμαρτία*;] Μετετράπη, φησὶν, ὁ νόμος τὴν φύσιν, καὶ γέγονεν εἰς ἁμαρτίαν ὠθῶν; Οὐχί, φησιν. Ἴδες πῶς πανταχοῦ τῆς ἁμαρτίας ἔχεται, τὸν νόμον ἀπαλλάττων κατηγορίας ἁπάσης; Διὸ καὶ ἐπήγαγε, λέγων· *Ὥστε ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή* (α). Ἀλλ', εἰ βούλεσθε, καὶ τῶν παρακοιούντων τὰς ἐξηγήσεις ταύτας εἰς μέσον τὸν λόγον ἀγάγωμεν· οὕτω γὰρ σαφέστερα τὰ παρ' ἡμῶν λεγόμενα. Τινὲς γὰρ ἐνταῦθα, οὐ περὶ τοῦ νόμου Μωϋσέως αὐτόν φασι λέγειν τὰ λεγόμενα· ἀλλ' οἱ μὲν, περὶ τοῦ φυσικοῦ· ἄλλοι δὲ, περὶ τῆς ἐντολῆς τῆς ἐν τῷ παραδείσῳ δοθείσης. Καὶ μὴν πανταχοῦ σκοπὸς τῷ Παύλῳ, τοῦτον ἀναστῆσαι τὸν νόμον· πρὸς δὲ ἐκείνους, οὐδένα λόγον ἔχει, καὶ μάλα εἰκότως. Τοῦτον γὰρ Ἰουδαῖοι δεδοικότες καὶ τρέμοντες ἐφιλονείκουν τῇ χάριτι· τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ, οὐδὲ νόμον ποτὲ φαίνεται καλέσας, οὐδ' αὐτὸς, οὐδ' ἄλλος οὐδείς. Ἵνα δὲ καὶ ἐξ αὐτῶν τῶν εἰρημένων τοῦτο σαφέστερον γένηται, ἐπεξέλθωμεν τοῖς ῥήμασι, μικρὸν ἀνωτέ-

(α) Κατωτέρω στιχ. 12.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ρω τὸν λόγον ἀγαγόντες. Περὶ γὰρ πολιτείας ἀκριβοῦς αὐτοῖς διαλεχθείς, ἐπήγαγε λέγων· *Ἢ ἀγνοεῖτε, ἀδελφοί, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ; Ὥστε καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ.* Οὐκοῦν εἰ περὶ τοῦ φυσικοῦ ταῦτα εἴρηται, εὑρεθησόμεθα μὴ ἔχοντες νόμον φυσικόν· εἰ δὲ τοῦτο ἀληθὲς, τῶν ἀλόγων ἐσμὲν ἀνοητότεροι. Ἀλλ' οὐκ ἔστι ταῦτα. Περὶ γὰρ τοῦ ἐν τῷ παραδείσῳ οὐδὲ φιλονεικεῖν ἀναγκαῖον, ἵνα μὴ περιττὸν ἀναδεξώμεθα πόνον πρὸς τὰ ὡμολογημένα ἀποδυόμενοι. Πῶς οὖν· *Τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου;* Οὐ τὴν καθόλου λέγων ἄγνοιαν τοῦτο λέγει, ἀλλὰ τὴν ἀκριβεστέραν γνῶσιν. Εἰ γὰρ περὶ τοῦ φυσικοῦ τοῦτο εἴρηται, πῶς ἂν τὸ ἑξῆς ἔχοι λόγον· *Ἐγὼ γὰρ ἔζων χωρὶς νόμου ποτέ;* Οὔτε γὰρ Ἀδὰμ, οὔτε ἄλλος ἄνθρωπος οὐδεὶς, οὐδέποτε χωρὶς νόμου φυσικοῦ φαίνεται ζήσας. Ὁμοῦ τε γὰρ αὐτὸν ἔπλασεν ὁ θεὸς, καὶ ἐκεῖνον αὐτὸν ἐτίθει τὸν νόμον αὐτῷ, σύνοικον ἀσφαλῆ παρακαθιστὰς τῇ φύσει πάσῃ. Χωρὶς δὲ τούτου, οὐδαμοῦ φαίνεται ἐντολὴν τὸν φυσικὸν νόμον καλέσας. Τοῦτον δὲ καὶ ἐντολὴν καὶ δικαίαν καὶ ἁγίαν καλεῖ, καὶ νόμον πνευματικόν.—*Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων.*] Οὐκ εἶπεν· Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἐποίησα, εἰ μὴ διὰ νόμου· ἀλλ', *Οὐκ ἔγνων.* Ὥστε οὐ τοῦ ποιεῖν, ἀλλὰ τοῦ διαγινώσκειν τὴν ἁμαρτίαν ὁ νόμος αἴτιος, παιδευτικὸς ὢν, καὶ μὴ συγχωρῶν διὰ τῆς ἀγνοίας εἰς τὴν τῶν ἀλόγων ἐκπίπτειν φύσιν.

8 Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς,
κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ
9 νόμου ἁμαρτία νεκρά. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου
ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν,
10 ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ, ἡ εἰς
11 ζωὴν, αὕτη εἰς θάνατον. Ἡ γὰρ ἁμαρτία, ἀφορμὴν
λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ με, καὶ δι'
αὐτῆς ἀπέκτεινεν.

Οὐχ ὁ νόμος αἴτιος, φησὶ, τῆς ἁμαρτίας, ἀλλ' ἡ ἁμαρτία διὰ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἐντολῆς, ἥ ἐστιν ὁ νόμος, ἐξηπάτησέ με. Ὅρα, πῶς ἡρέμα δείκνυσι πρόφασιν τῆς ἁμαρτίας τὸν νόμον· φανερῶς δὲ οὐ λέγει, ἵνα μὴ προστῇ αὐτοῖς. *Ἁμαρτίαν* δὲ ἔοικε λέγειν τὸν διάβολον. Ὥσπερ οὖν τὸν Σωτῆρα, *ζωὴν* ἡ γραφὴ καλεῖ, καὶ *δικαιοσύνην*, τῷ ζωῆς καὶ δικαιοσύνης αἴτιον εἶναι· οὕτω καὶ τὴν ἐναντίαν δύναμιν ἐκ τῆς οἰκείας ἐνεργείας, ποτὲ μὲν, *ἁμαρτίαν*, ποτὲ δὲ, *ψεῦδος* καὶ *θάνατον* καλεῖ. Οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς εἰπὼν, *ἡ ἁμαρτία ἀνέζησε*, τὸν διάβολον δηλοῖ. Λοιπὸν οὖν διὰ τῆς ἐντολῆς ἀφορμὴν ὁ διάβολος ἔλαβεν· ὅτι τὰ παραγγέλματα τοῦ νόμου, ὡς ὕλην τινὰ τῆς ἑαυτοῦ τέχνης ποιησάμενος, εἰς τὸ ἐναντίον ταῖς ἐντολαῖς περιέτρεπε τὸν ἄνθρωπον. Δῆλον δὲ ὅτι *δι' ἑαυτοῦ* ὁ ἀπόστολος, τὸν κοινὸν ἄνθρωπον δηλοῖ. *Πᾶσαν ἐπιθυμίαν.*] Καλῶς τὸ, *πᾶσαν*· ἦν γὰρ καὶ πρὸ τοῦ νόμου ἐπιθυμία· ἐπεὶ, διὰ τί ὁ κατακλυσμὸς γέγονε, καὶ τὰ Σόδομα ἀπώλετο; Ἀλλὰ νῦν, φησι, καὶ ἃς οὐκ ἤδειν ἐπιθυμίας, ἔμαθον ἐκ τοῦ νόμου, καὶ μαθὼν ἐποίησα. *Ἁμαρτία νεκρά.*] Τουτέστιν, ἀνενέργητος. Εἰ γὰρ ἐνήργει καὶ πρὸ τοῦ νόμου, ἀλλ' οὐ τοσοῦτον. Καθεύδειν ἐδόκουν, φησὶν, αἱ πλείους ἁμαρτίαι, καὶ τεθνάναι. Οὐ γὰρ ἤδειν τὰς πλείους, καὶ ἐν ἀγνοίᾳ πράττων, οὐχ οὕτως ἡμάρτανον. Ἡ μὲν οὖν ἁμαρτία νεκρά· ἐγὼ δὲ ἐν ζωῇ, ἅτε μὴ ἐνοχλούμενος, μηδὲ νεκρούμενος ὑπ' αὐτῆς. Πῶς οὖν ἀνέζησεν ἐκείνη; Διὰ τοῦ νόμου. Τίνα τρόπον; Ὅτι τοῦ νόμου δοθέντος, μᾶλλον ἐκείνη πρὸς ἐπίθεσιν παρωξύνθη, καὶ οἷον ἐπηρεάσαι ὥρμησεν, ἅτε δὴ καὶ στεφανοῦσθαι μέλλοντα τὸν φυλάξαντα τὴν ἐντολὴν ὑπολογιζομένη, καὶ διὰ τοῦτο μᾶλλον διαβασκαίνουσα. Καὶ ἐγὼ πάλιν γνοὺς διὰ τῆς ἐντολῆς τὴν ἁμαρτίαν, ὡς ἐν γνώσει πράττων, ἃ φεύγειν ἔδει, μᾶλλον κατὰ τοῦτο ἡμάρτανον, καὶ μᾶλλον αὐτὴν κατ' ἐμαυτοῦ ἐπερρώννυον, ἰσχὺν αὐτῇ διὰ τῆς κατὰ γνῶσιν ἀτόπου πράξεως ἐπιχορηγῶν· καὶ οἷον ἀσθενῆ καὶ νενεκρωμένην οὖσαν, ἐνισχύων καὶ ἀναζωπυρῶν. Ἡ δὲ, ζήσασα, ἐμὲ ἐνέκρωσε· πρὸ δὲ τοῦ ἀναζῆσαι ἐκείνην, ἐγὼ ἔζων μᾶλλον· τοῦτο δέ ἦν πρὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ νόμου καὶ τῆς ἐντολῆς. Ὥστε εἰ καὶ μὴ ὁ νόμος ἁμαρτίαν, ἀλλ' οὖν, ἐκείνου δοθέντος, κατὰ δύο τρόπους ἡ ἁμαρτία ἀνέζησεν, αὐτῆς τε ἐκείνης μᾶλλον πρὸς ἐπίθεσιν ἀνακινηθείσης καὶ διεγερθείσης, καὶ ἡμῶν τῇ κατὰ γνῶσιν ἐκτόπῳ πράξει ἐνισχυσάντων αὐτήν, καὶ τὴν καθ' ἡμῶν ἐπιβουλὴν σὺν παῤῥησίᾳ παρασχομένων. Ἀλλ' ἐκείνη μὲν ἀνέζησεν· ἐγὼ δὲ ἀπέθανον. *Ἔζων χωρὶς νόμου ποτέ.*] Πότε ἔζων χωρὶς νόμου; Πρὸ τοῦ δοθῆναι τὴν ἐντολὴν τοῖς πρωτοπλάστοις, τὴν ἐν παραδείσῳ διάγων ζωήν· ἢ πρὸ τοῦ Μωσέως *ἔζων χωρὶς νόμου*, τουτέστιν, οὐκ ἤμην νεκρὸς τῷ πλήθει τῶν ἁμαρτιῶν. Τότε γὰρ μόνον εἶχον κατήγορον τὸν φυσικὸν νόμον· νυνὶ δὲ καὶ τὸν γραπτόν. Ὁρᾷς, πῶς ἐκ περιστάσεως ἔβλαψεν ὁ νόμος; *Ἐλθούσης δὲ τῆς ἐντολῆς.*] Ἐντολὴν φησὶ, τὸν νόμον. Εἰπὼν δὲ, *ἡ ἁμαρτία ἀνέζησεν*, ἔδειξεν, ὅτι ἦν μὲν ἡ ἁμαρτία, ἀλλ' ἡσύχαζεν· ὁ δὲ νόμος, ὡς εὐεργετῶν, ἐφανέρωσεν αὐτὴν, ἵνα φύγωμεν αὐτήν· ἀλλ' ἡ περίστασις τοὺς μὴ φυγόντας ἔβλαψεν. Ἡ οὖν *εἰς ζωὴν* μοι δοθεῖσα· (οὕτω γὰρ εἶχε φύσεως·) *εἰς θάνατόν* μοι γέγονε, διὰ τὴν ἡμετέραν ῥᾳθυμίαν, οὐ διὰ τὴν αὐτῆς φύσιν. *Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα.*] Πάλιν τὰ αὐτὰ ποικίλως κατασκευάζει· καὶ εἰκότως· μεγάλην γὰρ εἶχε δόξαν ὁ νόμος. Δείκνυσιν οὖν αὐτὸν μηδὲν ὠφελοῦντα, ἀλλ' ἐκ περιστάσεως βλάψαντα. Ποιεῖ δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται, κηρύσσων τὸ ἀφεῖναι μὲν τὸν νόμον, προσδραμεῖν δὲ τῇ πίστει Χριστοῦ. Ἀνωτέρω γὰρ εἰπὼν, ὅτι *Ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν*, ἐπάγει· ὅτι οὐ μόνον ἐπιθυμίαν πᾶσαν κατειργάσατο, ἀλλὰ καὶ ἐθανάτωσέ με, αὕτη μοι γενομένη εἰς θάνατον. Εἶτα, ὡς ἔθος αὐτῷ αἰτίας αἰτίαις συνείρειν, καὶ τὴν ἀκολουθίαν ἐνδεικνῦναι τῶν πραγμάτων καὶ ἐν τοῖς λόγοις ἀνατρέχει, καὶ τίθησι, πῶς κατειργάσατο πᾶσαν ἐπιθυμίαν καί φησιν, ὅτι, *Ἀφορμὴν λαβοῦσα, ἐξηπάτησέ με.* Εἶτα ἀφῆκε τὸ προῤῥηθὲν νοεῖν ἐνταῦθα, οἷον ὅτι ἐκ τούτου δὲ εἰργάσατο τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιθυμίαν· καὶ τοῦτο ἀρεῖς, ἐπισυνάπτει τὸ τέλος, καὶ ἀπέκτειγεν, ἵν' ᾖ κατὰ συνέχειαν, εἴ τις ἀναλάβοι, οὕτως αὐτῷ εἰρημένον· Ἀφορμὴν λαβοῦσα ἡ ἁμαρτία, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· τὴν δὲ ἐπιθυμίαν κατειργάσατο, ἀπατήσασα· ἐργασαμένη δὲ τὴν ἐπιθυμίαν, ἀπέκτεινέ με. Ἔστιν οὖν ἡ ἀπάτη, αἰτία τῆς ἐπιθυμίας· ἡ δὲ ἐπιθυμία, τοῦ θανάτου. Τὴν δὲ ἀπάτην εἰργάσατο διὰ τῆς ἐντολῆς ἡ ἁμαρτία, ἵνα φανῇ τὸ ὑπερβάλλον τῆς κακίας αὐτῆς, διὰ τοῦ ἀγαθοῦ τὸ κάκιστον ἐργαζομένης.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ
13 δικαία καὶ ἀγαθή. Τὸ οὖν ἀγαθὸν, ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο! ἀλλὰ ἡ ἁμαρτία· ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

Ἅγιος ὁ νόμος· ὅτι ἐφύλαττεν ἀπὸ ἀκαθαρσίας τοὺς φυλάττοντας αὐτόν· *δίκαιος*· ὅτι τοὺς μὲν κατορθοῦντας ἠμείβετο δωρεαῖς, τοῖς δὲ παραβαίνουσιν ἐπετίθει τὰς τιμωρίας· *ἀγαθὸς*· ὅτι οὐχ ἡδόμενος ταῖς τιμωρίαις, ἢ ὀργῇ χρώμενος ἐκόλαζεν, ἀλλὰ τῆς αὐτῶν ἕνεκα σωτηρίας καὶ ὠφελείας καὶ βελτιώσεως. Καὶ ἔτι, ὅτι μικρὰ κατορθοῦσι, μεγάλα ἐχαρίζετο, καὶ ἁμαρτάνοντας περιεῖπε, καὶ οὐ κατ' ἀξίαν τῶν πλημμελημάτων ἐκόλαζεν. Αὐτὸς δὲ τέως παραδραμὼν ταῦτα, ἐκ τούτων συμπεραίνει, ἅγιον καὶ δίκαιον καὶ ἀγαθὸν εἶναι τὸν νόμον, ἤτοι τὴν ἐντολήν· ἐξ ἑνὸς μέν, ὅτι ἐδίδαξέ με γνωρίσαι τὴν ἁμαρτίαν, καὶ ἐπέταξε φυγεῖν αὐτήν· ἐξ ἑτέρου δὲ, ὅτι κηδόμενος καὶ φροντίζων τοῦτο ἐποίησεν· εἰς γὰρ ζωὴν ἐμοὶ καὶ σωτηρίαν ταῦτα ἐποίησεν. *Ἅγιος* οὖν· ὅτι ἐδίδαξε, καὶ φυγεῖν ἀπὸ τῆς ἀκαθαρσίας αὐτῆς ἐπέταξε· *δίκαιος* δέ· ὅτι διδάξας, οὕτω τὴν τιμωρίαν τοὺς μὴ φυλάξαντας ἀπαιτεῖ· *ἀγαθὸς* δὲ πάλιν· ὅτι ζωήν μοι προνοούμενος, ταῦτα ἐπετέλει. — ΚΑΙ ΛΛΛΩΣ. *Ὁ μὲν νόμος ἅγιος*. Οὐ γὰρ τῆς τοῦ νόμου φύσεως ἦν τὸ βεβλάφθαι με, ἀλλὰ τῆς ἐμῆς κακίας καὶ ῥᾳθυμίας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθ' ὧν οὐκ ἐφύλαξα τὰ ἐπιταχθέντα. — *Καὶ ἡ ἐντολὴ ἁγία.*] Νόμον, τὸν Μωσαϊκὸν λέγει· ἐντολὴν δὲ, τὴν τῷ Ἀδὰμ δεδομένην· *ἁγίαν* μὲν, ὡς τὸ δέον διδάξασαν· *δικαίαν* δὲ, ὡς ὀρθῶς τοῖς παραβάταις τὴν ψῆφον ἐπενεγκοῦσαν· *ἀγαθὴν* δὲ, ὡς ζωὴν τοῖς φυλάσσουσιν εὐτρεπίζουσαν.—*Ἀλλὰ ἡ ἁμαρτία.*] Ἐπειδὴ τῆς ἁμαρτίας ἠθέλησε τὸ μέγεθος δεῖξαι, μεῖζον δὲ ταύτης εἰς κακίαν οὐκ ἦν εὑρεῖν, δι' αὐτῆς ταύτης τὸ μέγεθος αὐτῆς ἐνδεικνύμενος, φησίν· *Ἀλλ' ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία*, τουτέστιν, ἵνα ἐκκαλυφθῇ αὐτῆς ὁ πᾶς τῆς κακίας πλοῦτος, καὶ ἡ ἰσχὺς αὐτῆς ἡ ἐν αὐτῇ. Οἷον, ἵνα, ὅπερ ἐστὶν, ὅλη, ὡς ὅλη γένηται ἐκφανής. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων, ὑπερβολήν τινα θέλοντες παραστῆσαι, δυνάμεθα, ἄλλο τι ἐπιφέρειν τῷ διασυρομένῳ ὑφ' ἡμῶν· οἷον, Μιαρὸς ἦν ἐπὶ τοσοῦτον ὁ Κάϊν, ὅτι ἀδελφοκτόνος ἐγένετο, ὅτι καὶ θεὸν πρῶτος ἐψεύσατο, καὶ τὰ ὅμοια. Καὶ πάλιν· Οὐδὲ μετὰ τὴν τῶν τεραστίων ἐπίδειξιν παρεκλήθη φαραὼ, ἀπολῦσαι τοὺς Ἰσραηλίτας, ἵνα φανῇ αὐτοῦ τὸ ὠμὸν καὶ ἀτίθασσον τῆς γνώμης καὶ θερμισές. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἔστι γὰρ εὑρεῖν τι χεῖρον τῶν ὑποκειμένων, οὗ καὶ μετασχόντες οἱ πονηρευόμενοι τὰς κατ' ἐκεῖνο προσηγορίας ἐπιδέχονται· ἐπὶ δὲ τῆς ἁμαρτίας, ἐπεὶ ταύτης, ὡς ἔφημεν, οὐκ ἔστι χεῖρον εὑρεῖν, αὐτὴν ἐφ' ἑαυτῆς κατηγόρησε, πικρῶς ἅμα καὶ δριμέως τὸν ὄγκον αὐτῆς καὶ τὸ τυραννικὸν καὶ ἀνυπέρβλητον ἐνδεικνύμενος. Ἐπειδὴ δὲ ἀσαφέστερόν πως ἔδοξεν εἰρῆσθαι τῇ ταυτολογίᾳ τοῦ ὀνόματος· πάλιν δὲ, μεταλαμβανομένου τοῦ ὀνόματος, ἡ τῆς ὑπερβολῆς καὶ δριμύτητος ἔνδειξις ἐξελύετο, παρονομάζει μὲν, καὶ οὐ τελείως ἀφίσταται τοῦ ὀνόματος· ἐν ᾧ δὲ ἐκλελῦσθαι ἐδόκει, τόνον ἐπάγει τῇ προσθήκῃ τοῦ, *καθ' ὑπερβολήν*. Καὶ οὕτως, ἐπὶ τὸ σαφέστερον ἅμα καὶ ὁμοίως ἔντονον καὶ τοῦ δριμέως ἐμφαντικὸν μεταλαβὼν τὸν λόγον, φησίν· *Ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία.*—*Ἵνα φανῇ ἁμαρτία.*] Ἵνα, φησὶ, δειχθῇ, πῶς μιαρὰ, πῶς πονηρὰ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἰταμὴ, καὶ ἰσχυρὰ ἡ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ, τουτέστι, τοῦ νόμου αὐτοῦ, τὸν θάνατον κατειργάσατο. Μεγίστην δὲ δηλοῖ τῆς ἁμαρτίας τὴν ἰσχὺν, δεῖξαι θέλων τοῦ Χριστοῦ τὴν ἀγαθότητα καὶ ὅσην τὴν δωρεὰν, ὅτι ταύτης ἡμᾶς τῆς ἰσχυρᾶς καὶ ἀφεύκτου ἀπήλλαξεν. *Ἵνα γένηται.*] Ἵνα, φησὶ, δειχθῇ αὐτῆς ὁ ἅπας ἰὸς, καὶ ἡ πᾶσα κακία. Τὸ γὰρ, *καθ' ὑπερβολὴν*, ἐπιτάσεώς ἐστιν. Οὐ μικρὸν οὖν ὤνησεν ὁ νόμος, πᾶσαν αὐτῆς τὴν πικρίαν ἀποκαλύψας γενομένην. Τοῦτο δὲ δηλοῖ τὸ, *Ἵνα γένηται*, ἵνα ἀποκαλυφθῇ γενομένη, ἵνα διὰ γοῦν τοῦτο φύγωμεν αὐτήν.

14 Οἴδαμεν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.
15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω,
16 τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι
17 καλός. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

Ἐπειδὴ εἶπε τὸν νόμον αἴτιον τῆς ἁμαρτίας, εἰ καὶ μὴ παρὰ τὴν αὐτοῦ φύσιν, ἵνα μὴ νομίσωσιν αὐτὸν κατὰ τοῦ νόμου λέγειν, οὐ μόνον αὐτὸν κατηγορίας ἀπαλλάσσει, ἀλλὰ καὶ ἐγκωμιάζει αὐτόν· κατηγορεῖ δὲ τῶν μὴ φυλαξάντων. Ὁ νόμος, φησὶ, διδάσκαλος ἀρετῆς, πολέμιος ἁμαρτιῶν. *Πνευματικός ἐστιν.*] Δῶρον, φησὶ, τοῦ ἁγίου Πνεύματος, καὶ ὥσπερ ὑπαγόρευσις. Ἤ, *πνευματικὸς*, ὅτι τὰ τοῦ πνεύματος βούλεται, καὶ τὰ συμφέροντα ζητεῖ τῆς ψυχῆς. *Ἐγὼ δὲ*, ὅτι τὰς τῆς σαρκὸς ἐπιθυμίας διώκω, *σαρκικός εἰμι*. Οὐκ εἶπε δέ· Ὑμεῖς, οἱ τῷ νόμῳ χρώμενοι καὶ παραβαίνοντες· ἵνα μὴ τραχὺν καὶ ἐπαχθῆ τὸν λόγον ποιήσῃ· ἀλλ', Ἐγώ, φησι, τὰ ἐκείνων ἐφ' ἑαυτοῦ σχηματίζων. Καὶ ἐφεξῆς δὲ οὕτω ποιεῖ, τὸ τραχὺ καὶ σφοδρὸν ἐκλύων, καὶ λεαίνων τῇ περὶ ἑαυτὸν σχηματολογίᾳ. *Σαρκικός εἰμι.*] Αὐτὸς ὁ ἄνθρωπος, οὐ καθό ἐστιν ἄνθρωπος, ἀλλὰ καθὸ οὕτως ἑαυτοὺς ἤξαμεν, ὑπὸ τὴν ἐπιθυμίαν, φησὶ, κείμενος τῆς σαρκὸς, καὶ ἐπιτελῶν τὰ ἀρέσκοντα τοῦ σώματος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.] Μετὰ γὰρ τοῦ θανάτου καὶ ὁ τῶν παθῶν ὑπεισῆλθεν ἐμοί· οἷον ὀργὴ, λύπη, ἐπιθυμία κακή. Τούτοις, φησὶ, παραδεδομένος ἥμην· τοῦτο γάρτοι, *πεπραμένος*· παρεδεδόμην δὲ, τῶν παθῶν ἀρχὴν λαβόντων τὴν ἐν Ἀδὰμ παράβασιν. *Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω.* Εἶτα λέγει, πῶς πεπράμεθα ὑπὸ τὴν ἁμαρτίαν. Οὐ γινώσκω, φησὶ, πῶς ἀπατῶμαι, καὶ συναρπάζομαι εἰς τὴν ἁμαρτίαν· κλέπτομαι, ὡς μικροῦ μηδὲ εἰδέναι, τί πάσχω. Μετὰ γὰρ τὸ πραθῆναι καὶ γενέσθαι τὸν ἄνθρωπον ὑπὸ τὴν ἁμαρτίαν, οὐ γινώσκει, ὃ κατεργάζεται, τῆς συνηθείας τῆς αἰσχρᾶς παντελῶς αὐτοῦ κυριευσάσης, καὶ μηδὲ συγχωρούσης εἰδέναι, ὅτι πράττει κακόν ἐστι· διὰ καὶ ὃ ἐμίσει ἂν, εἰ ἅπρατος καὶ ἐλεύθερος ἦν, καὶ ὃ οὐκ ἂν εἵλετο, τοῦτο καὶ αἱρεῖται, πεπραμένος ἤδη ὢν, καὶ πράττει. Εἰ δὲ ἐλεύθερος ὢν, καὶ ἅπρατος, καὶ κατὰ φύσιν, οὐκ ἂν εἱλόμην, ἃ νῦν ποιῶ, συμμαρτυρῶ τῷ νόμῳ, ὅτι καλός· ἐκεῖνα γάρ μοι ψηφίζεται φεύγειν, ἃ καὶ ἐγὼ, ἐν τῇ κατὰ φύσιν ἐλευθερίᾳ τυγχάνων, ἔκρινα φευκτέα εἶναι καὶ μισητά. Νῦν δὲ πραθεὶς καὶ ὑπὸ τὴν ἁμαρτίαν πεσών, ὡς ὑπ' ἐκείνης δεσποζόμενος καὶ κυριευόμενος, καὶ ἐκείνῃ ὑπηρετῶν, οὕτως ἐργάζομαι τὸ κακὸν, ὅπερ οὐκ ἂν ἔπραξα ἐγὼ, ἐν ἐλευθερίᾳ ὤν. Διὸ, τρόπον τινὰ, οὐκ ἐργάζομαι αὐτὸ ἐγὼ, ἀλλ' ὁ κρατηθεὶς καὶ κυριευθὺς ὑπὸ τῆς ἁμαρτίας. Αὐτὸς δὲ ἐμφαντικώτερον φησὶν· *Ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.* Ὥσπερ γὰρ ὁ τὴν οἰκίαν οἰκῶν, ἐκεῖνος πάντα τὰ κατὰ τὴν οἰκίαν πράττει, κἂν κέχρηται ἔν τισι τῇ οἰκίᾳ συνεργῷ, οὕτω, φησὶ, καὶ ἡ ἁμαρτία, λαβοῦσά με ἔκδοτον καὶ πραθέντα αὐτῇ ἐνῴκησε, καὶ ἑαυτῆς ὅλον ἐποιήσατο, πᾶν ἀγαθὸν ἀπελάσασα τῆς ἐμῆς σαρκὸς, οἷον ἐπίγνωσιν ὧν πράττω, μετάνοιαν ἐφ' οἷς ἁμαρτάνω, καὶ εἴτι τοιοῦτον. Εἶτα· *Τὸ γὰρ θέλειν παράκειταί μοι.* Οὐ παντάπασι δέ, φησιν, ἐξέστην ἐμαυτοῦ· ὥστε μηδὲ εἰδέναι τὸ ἀγαθὸν ὅλως, μηδὲ ἔχειν ἐπιθυμίαν αὐτοῦ· ἀλλ' ἔσθ' ὅτε διανίσταμαι πρὸς αὐτό. Διὰ τοῦτο γὰρ ἔφη,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παράκειταί μοι, οἷον, κεῖται παρ' ἐμοί, ὅμοια νεκρῷ, ὅμως διανίσταμαι, κειμένου αὐτοῦ παρ' ἐμοί· ἀλλὰ κυριευόμενος ὑπὸ τῆς ἁμαρτίας, τὴν προαίρεσιν εἰς τέλος οὐκ ἄγω. Ἡ οὖν ὡς εἴρηται· ἢ καὶ οὕτως ἐκληπτέον τὰ εἰρημένα· *Οὐ γινώσκω*, πραθεὶς δηλονότι. *Οὐ γὰρ, ὃ θέλω*, ἐλεύθερος ὢν, *τοῦτο πράσσω* νῦν, πεπραμένος ὤν· *ἀλλ' ὃ μισῶ*, ἐλεύθερος ὢν, *τοῦτο ποιῶ*, πεπραμένος ὤν. *Εἰ δὲ ὃ οὐ θέλω*, ἐλεύθερος ὢν, *τοῦτο πράσσω*, πεπραμένος ὢν, *συμμαρτυρῶ*, ἐλεύθερος ὢν, ὅτι καλὸς ὁ νόμος· τὰ γὰρ αὐτὰ ἐκείνῳ βούλομαι τότε, καὶ οὐχὶ ἃ νῦν ποιῶ. Ἢ οὕτως· Οὐ γὰρ ὅπερ ἤθελον, καὶ ἔστεργον τυχὸν πρὸ βραχέος, τοῦτο νῦν πράσσω πεπραμένος· ἀλλ' ὃ ἐμίσουν. Ὥστε ἐξ ὧν ὃ ἐμίσουν ποιῶ, κἂν ποιῶ, ὅμως διὰ τοῦ μισεῖν, καλῶς τὸν νόμον λέγειν μαρτυρῶ, καὶ καλὸν εἶναι. Πόθεν δὲ δῆλον, ὅτι πεπραμένος εἰμὶ ὑπὸ τὴν ἁμαρτίαν; Ἐκ τοῦ μὴ εἰδέναι με ἃ ποιῶ· ἐλεύθερος γὰρ καὶ ἀκυρίευτος ὢν ὑπ' αὐτῆς, ἐγίνωσκον, ἅ με δεῖ κατεργάζεσθαι, καὶ ὑπὸ τοῦ φυσικοῦ καὶ ὑπὸ τοῦ γραπτοῦ διδασκόμενος νόμου· ἀλλ' ἑκὼν αὐτῇ ὑποκατακλιθείς, ἐκυριεύθην καὶ ἐπράθην, καὶ διὰ τοῦτο οὐδὲ οἶδα, τί κατεργάζομαι. — *Οὐ γὰρ ὃ θέλω.*] Οὐ τοῦτο λέγει, ὅτι Βιάζεταί με καὶ ἄκοντα ἡ ἁμαρτία· ἀλλὰ τὸ ἀπατηλὸν αὐτῆς δεῖξαι θέλει, καὶ ὅπως ἐκ τοῦ καταγλυκαίνειν τὴν αἴσθησιν συναρπάζει· ὅτι πολλάκις οὗ καταγινώσκω πράγματος, καὶ ὃ μισῶ, εἰς τοῦτο συναρπάζομαι. *Εἰ δὲ, ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός.*] Οὐ μικρὸν ἐγκώμιον τοῦ νόμου λέγει· αὐτὸ γὰρ τὸ μὴ θέλειν τὴν ἁμαρτίαν, παρὰ τῆς διδαχῆς ἔχω τοῦ νόμου. Πῶς οὖν αἴτιος ὁ διδάσκαλος, ἤγουν ὁ διδάξας τὸ καλόν; Αἴτιος δὲ ὁ οὕτω χαῦνος, ὡς διὰ τὸ πρόσκαιρον ἡδὺ τῆς ἁμαρτίας ἐκεῖνα πράττων, ὧν καὶ αὐτός ἐστι κατήγορος, καὶ πρὶν πράξειν καὶ μετὰ τὸ πρᾶξαι. *Ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.*] Καὶ πῶς ἡ ἁμαρτία κατεργάζεται αὐτό; Τὸ ἡδύ μοι, φησὶ, τοῦ πράγματος προβάλλεται, καὶ οὕτως ἐξαπατᾷ με, μὴ ἐμμένειν, οἷς κέκρικα καὶ βεβούλευμαι.

Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἐν ἀνθρωπίνῃ φύσει παθῶν, ἀδύνατον ποιούντων τὴν πρὸς νόμον συμφωνίαν.

18 Οἶδα γὰρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτ' ἔστιν, ἐν
τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί
μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω.
19 Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω
20 κακὸν, τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο
ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

Τὸ αὐτεξούσιον θέλει δεῖξαι, καὶ ὅτι ὁ ἄνθρωπος κύριος τῆς ἐπ' ἄμφω, τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ, ῥοπῆς. Φησὶν οὖν· *Οὐκ οἰκεῖ ἐν ἐμοὶ ἀγαθόν*· οὐκ ἀποκεκληρωμένον, καὶ ἀνάγκη τινὶ παραμένον μοι, ἔχω τὸ πράττειν τὰ ἀγαθὰ, ὥστε καὶ πρὸς βίαν ἀφέλκειν με τῶν κακῶν. Τοῦτο γὰρ οἴκησις, ἡ εἰς ἀεὶ διαμονὴ, καὶ οἷον ἐγκάθισις. *Ἐν τῇ σαρκί μου.*] Τὴν ἀπὸ τῆς παραβάσεως εἰσοικισθεῖσαν λέγει. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ. *Τὸ γὰρ θέλειν παράκειταί μοι.*] *Τὸ θέλειν*, φησὶν, ἔστι μοι· οὐ ποιῶ δὲ, διὰ τὴν τῆς ἁμαρτίας συναρπαγήν· καὶ γάρ με συναρπάζει, ἐφ' ᾧ μὴ πρᾶξαι τὰ παρ' ἐμοῦ ἐπαινούμενα, ἀλλὰ τὰ ψεγόμενα. *Οὐ γὰρ, ὃ θέλω, ποιῶ ἀγαθόν.*] Δείκνυσι τοσαύτην τὴν ἀπάτην τῆς ἁμαρτίας καὶ τὴν πειθῶ, ὅτι, φησι, σπουδή μοι πρᾶξαι τὸ ἀγαθὸν, καὶ σπουδή μοι μὴ πρᾶξαι τὸ κακὸν, καὶ ὅμως ἔπεισιν ἡ ἐπιθυμία, αἰχμαλωτίζουσά με, καὶ πείθουσα, τῶν δεδογμένων ὑπεριδεῖν καὶ ἐσπουδασμένων, καὶ τὰ αὐτῆς πρᾶξαι. *Ἀλλ', ὃ οὐ θέλω κακόν.*] Σχεδὸν γὰρ καὶ ἀβουλήτως πρὸς τὸ κακὸν συναρπάζομαι, ὡς εἶναι τὸ πᾶν τῶν τὴν ἁμαρτίαν ὑποτιθεμένων δαιμόνων. Μικρᾶς γὰρ χώρας ἐπιλα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόμενοι ἐκ τῆς ἡμῶν ῥᾳθυμίας, τὸ ὅλον ἀνατρέπουσιν. *Ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.*] Ἐπὶ μὲν τοῦ ἀγαθοῦ, οὐκ εἶπεν οἴκησιν· ἐπὶ δὲ τῆς ἁμαρτίας, εἶπεν. Λοιπὸν γὰρ ἐκ τοῦ ἀεὶ ἁμαρτάνειν, εἰς ἕξιν τινὰ τῆς ἁμαρτίας ἤλθομεν. Τὸ γὰρ ἄγαν ἔθος ἴσα φύσεως γίνεται.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ
22 καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·
23 βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

Ἀσαφὲς τὸ εἰρημένον ἐν τῇ τάξει. Ἔστι δὲ· Ἐπαινῶ τὸν νόμον, φησὶ, κατὰ τὸ συνειδὸς, καὶ αὐτὸν εὑρίσκω τὸν νόμον ἐμοὶ τὸ καλὸν ποιεῖν προῤῥημένῳ προτροπὴν παρέχοντα. Τί οὖν μετὰ τοῦτο; Τὸ κακὸν πράσσω, φησίν· ὅτι *ἐμοὶ τὸ κακὸν παράκειται*, τουτέστιν, ὅτι ἐκμελῶς ἔγκειται. Ὥστε οὐδὲ βουλομένῳ μοι τὸ καλὸν πρᾶξαι, ἱκανός ἔστιν ὁ νόμος βοηθῆσαι· πλὴν γὰρ τοῦ προτρέψασθαι οὐδὲν ἄλλο ἰσχύει. Τοιγαροῦν ἀφετέον τὸν νόμον· (τοῦτο γὰρ τὸ κατασκευαζόμενον αὐτῷ·) καὶ προσελευστέον τῷ Χριστῷ, ὃς οὐ προτρέπεται μόνον, ἀλλὰ καὶ ἀναιρεῖ τὴν προγενομένην ἁμαρτίαν διὰ τοῦ βαπτίσματος, καὶ μετὰ τοῦτο σώζει καὶ βοηθεῖ. — ΑΛΛΩΣ. Ἐξ ὧν εἶπον, φησὶ, καὶ ἐξ ὧν ἐσκόπησα, τοῦτό μοι συμπεραίνεται, καὶ τοῦτο εὑρίσκω. Ποῖον; Τὸ εἶναι τὸν νόμον, νόμον μὲν εἰς τὸ καλὸν τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, καὶ τοῦτο μόνον χαριζόμενον· τὸ γὰρ κακὸν εὑρίσκω, ὅτι ὁμοίως ἐμοὶ παράκειται, καὶ οὐδὲν ἐβελτιώθην ἐκ τοῦ νόμου, εἰ μὴ καὶ βλάβην μᾶλλον ἐδεξάμην· ὅτι παρακεῖσθαι μοι, καὶ οἷον ἐγγίζειν μοι, τὸ κακὸν παρέσχεν ἀφορμήν. Ὁ νόμος οὖν μόνον ἐγένετό μοι εἰς τὸ καλὸν· ἄλλο δὲ οὐδέν. Πόθεν δῆλον; Ὅτι τὸ κακόν μοι ὡσαύτως παράκειται. Ἢ καὶ οὕτως· Εὑρίσκω ἄρα τὸν νόμον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καλόν· ἵν' ᾖ, *τὸ καλόν*, καὶ ἐν ὑπερβατῷ, καὶ ἀπὸ κοινοῦ κείμενον. Εὑρίσκω, φησί, τὸν νόμον καλὸν ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν. Τί οὖν οὐ πράττεις αὐτό; Ὅτι τὸ κακόν μοι παράκειται. Ὥστε τὸ καλὸν τοῦ νόμου ἐν τῷ μόνον νομοθετεῖν· ἀλλ' οὐχὶ καὶ ῥύεσθαι τοῦ κακοῦ καὶ σώζειν ἰσχύει. Διὸ ἀφεκτέον αὐτοῦ, καὶ προσιτέον Χριστῷ. Ἢ μᾶλλον οὕτως· *Εὑρίσκω ἄρα τὸν νόμον*, τουτέστι, κατενόησα καὶ κατελαβόμην τὴν ἰσχὺν καὶ τὴν φύσιν τοῦ νόμου, ἐξεῦρον αὐτὸν ἀκριβῶς, ὅτι οὐδέν μοι βοηθῆσαι ἴσχυσε. Πόθεν δῆλον; Ὅτι θέλοντί μοι ποιεῖν τὸ καλόν, οὐδὲν ἐπικουρεῖ, ἀλλ' ὁμοίως τὸ κακὸν παράκειται, ἄπρακτόν μοι τὸ θέλειν ποιῶν. Ἐν τούτῳ οὖν εὗρον ἀκριβῶς τὸν νόμον ὅσον ἰσχύει, καὶ τίς ἐστιν ἡ φύσις αὐτοῦ, ἐν τῷ ἐν ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλὸν εὑρίσκειν, ὅτι τὸ κακὸν παράκειται, καὶ οὐκ ἀπελήλαται ὑπ' αὐτοῦ ἐξ ἐμοῦ. Καὶ εἴη ἂν καὶ τὰ ἑφεξῆς ῥηθησόμενα Παύλῳ, τῶν προειρημένων δύο διαλήψεων κατασκευαστικὰ, ἑκατέρας ἐγχωρούσης τῆς διανοίας, καὶ τὴν ἀκολουθίαν ἀπαραπόδιστον διασωζούσης. Δυνατὸν δὲ καὶ οὕτως ἐγγύτερον τῆς λέξεως ἐκλαβεῖν· Εὑρίσκω ἄρα τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν κατὰ τὸν νόμον, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. Καὶ γὰρ οἱ κατὰ τὸ εὐαγγέλιον θέλοντες ποιεῖν τὸ καλὸν, οὐχ εὑρίσκουσιν, ὅτι παράκειται αὐτοῖς τὸ κακόν· διὰ τοῦ βαπτίσματος γὰρ ἐξώσθη καὶ ἀπελήλαται. Ἵστε δεῖ Χριστῷ διὰ τοῦ βαπτίσματος προσελθεῖν, καταλιπόντας τὸν νόμον. Ἐκλάβοις δ' ἂν καὶ οὕτως οὐκ ἀπεικότως· Εὑρίσκω τὸν νόμον, οἷον σύμμαχον, μᾶλλον δὲ συμφωνοῦντα, τῷ θέλοντι ἐμοὶ τὸ καλόν. Καὶ τίς χρεία συμφωνίας ἢ συμμαχίας; Πολλή, φησι· διότι ἐμοὶ τὸ κακὸν παράκειται, καὶ ἀντιστρατεύεται, καὶ πολεμεῖ, καὶ ἐξῆς. Αὐτὸ οὖν τοῦτο πλατύνει καὶ διασαφεῖ, πῶς συμφωνεῖ ὁ νόμος, πῶς ἐπιτίθεται τὸ κακόν. *Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ*· ὥστε κατὰ τοῦτο συμφωνεῖ μοι, καὶ τρόπον τινὰ συμμαχεῖ, εἰ καὶ ἀσθενῶς ἔχει βοηθῆσαι. Ἀντιστρατευομένου γὰρ

νοῦ ἑτέρου νόμου, ἤτοι τοῦ τῆς ἁμαρτίας, οὐχ ὑρίσταται οὐδὲ ἐπικουρεῖ, καίτοι θέλοντι αὐτόν, καὶ ἡδομένῳ αὐτῷ· ἀλλὰ ἀφίσταται καταλιμπάνων, καὶ μὴ δυναμένου ἑαυτῷ ἀρκέσαι, αἰχμάλωτος γίνομαι. Εἴη δ' ἂν, εἰ συνταχθείη οὕτω, τῶν εἰρημένων σαφέστερον· Εὑρίσκω ἄρα τῷ θέλοντι ἐμοὶ τὸ καλὸν, ἤτοι τὸν νόμον, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται, τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, οἷον προτροπὴν καὶ συμβουλὴν παρέχοντα. *Κατὰ τὸν ἔσω ἄνθρωπον.*] *Ἔσω ἄνθρωπον*, τὸν νοῦν, ἤτοι τὴν ψυχὴν, καλεῖ. Φησὶν οὖν, ὅτι οὐ θέλει ὁ νοῦς πράττειν, ἅπερ ὁ νόμος λέγει· ἀλλ' ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας, διὰ τῆς ἁμαρτίας συναρπάζομαι· ταύτην γάρ φησιν *ἕτερον νόμον*, διὰ τὸ ἴδιόν τι καὶ ἔξω τοῦ νόμου ἐπιτάσσειν. *Βλέπω δὲ ἕτερον νόμον.*] Τέσσαρες εἰσὶν ἐνταῦθα νόμοι, περὶ ὧν διαλαμβάνει· εἷς μὲν, ὁ νόμος τοῦ θεοῦ, περὶ οὗ φησί· *Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ*· δεύτερος δὲ, ὁ ἀντιστρατευόμενος· τρίτος, περὶ οὗ φησὶ, *τῷ νόμῳ τοῦ νοός μου*· τέταρτος, περὶ οὗ λέγει, *τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου*. Τούτων ὁ πρῶτος, τὸ εὐαγγελικόν ἐστι παίδευμα, ἔξωθεν διὰ τοῦ κηρύγματος εἰσιὸν καὶ ῥυθμίζον τὴν ψυχήν· ὁ δεύτερος, ὁ ἀντιστρατευόμενος, καὶ οὗτος τῶν ἔξωθέν ἐστιν ἐπεισιόντων κατ' ἐνέργειαν τοῦ πονηροῦ διὰ τῶν λογισμῶν, καὶ τὴν ψυχὴν αἰχμαλωτίζων· τρίτος, ὃν φησι *νόμον νοός*· οὗτός ἐστιν ὁ τῇ φύσει ἡμῶν ἐγκατασπαρεὶς παρὰ τοῦ δημιουργοῦ, ἐπὶ τὰ τῷ θεῷ φίλα παροτρύνων· ὁ τέταρτος, ὁ τῆς ἁμαρτίας νόμος· οὗτός ἐστιν ὁ φιλαμαρτήμων, ὃς διὰ τῆς πρὸς τὸ κακὸν συνηθείας, ἀνεσκίρρωσεν ἡμῖν τὰς ἁμαρτίας. Ὅρα οὖν, πῶς ἐκ διαμέτρου ἐναντίοις περιεσοιχίσμεθα νόμοις! Οἱ μὲν γὰρ δύο, ἔξωθεν ἡμῖν ἐπεισρέουσιν, ὁ μὲν πρὸς ἀγαθοεργίαν προκαλούμενος, τουτέστιν ὁ εὐαγγελικός· ὁ δὲ πρὸς κακίαν παρακαλῶν, ὁ ἀντιστρατευόμενος τοῦ πονηροῦ νόμος· οἱ δὲ λοιποὶ δύο, ἔνδον εἰσὶ, καὶ τὴν ψυχὴν συνέχουσιν, ὁ μὲν τοῦ νοὸς, παρὰ τοῦ δημιουργοῦ ἡμῖν ἐγκατε-

Ελληνική Κεντρική Βιβλιοθήκη Βέροιας

σπαρμένος, καὶ ὁδηγῶν πρὸς τὰ κρείττονα· ὁ δὲ τέταρτος, ὁ καὶ νόμος ἁμαρτίας, διὰ τὴν πρὸς τὸ κακὸν ἕξιν ἐνσκιρῤῥωθεὶς ἐν ἡμῖν. Διὸ πράσχες, πῶς ἀκριβῶς εἶπε· *Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου*, ταύτῳ δὴ τῷ ἐμφύτῳ πρὸς τὰ καλὰ, *καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου*, ὡς εἰ ἔλεγεν· Ἔξωθεν εἰσπνέων, συγκινεῖ, καὶ ἐρεθίζει πάντα τὸν ἐν ἐμοὶ ἀποκείμενον κονιορτὸν καὶ βόρβορον, ὃν ἡ πρὸς ἁμαρτίαν μοι ἕξις ἐνεσπίλωσε καὶ ἐνέκαυσεν.—ΚΑΙ ΑΔΛΩΣ. Τρεῖς εἰσὶ νόμοι· ὁ γραπτὸς, ὃν νόμον λέγει θεοῦ· δεύτερος, ὁ ἔμφυτος, ὃν λέγει νόμον νοός· τρίτος, ὁ διὰ τῆς ἁμαρτίας ἐν τοῖς μέλεσιν ἡμῶν ἰσχύσας, ὃν καὶ ἀντιστρατευόμενον λέγει, καὶ ἐν τοῖς μέλεσιν ἔχειν τὴν ἰσχὺν τοῦ ἀντιστρατεύεσθαι· νόμον δὲ τοῦτόν φησιν, ὡς ἰσχύοντα καὶ ἔχοντα τοὺς πυθομένους αὐτῷ. Εἶτα οὗτος ὁ νόμος, φησὶν, ὁ ἀπὸ τῆς ἁμαρτίας ἐν τοῖς μέλεσιν ἡμῶν ἐπεισελθὼν, ὁ ἀντιστρατευόμενος, αἰχμαλωτίζει με. Ἀλλὰ πῶς; Ἐπειδὴ γὰρ ἀντιστρατείαν εἶπεν, ἵνα μὴ νομίσῃς, ὅτι δικαίως αἰχμαλωτίζει καὶ νόμῳ πολέμου, ἐπάγει, καί φησι, *νόμῳ ἁμαρτίας*· οὐ δικαίως, φησὶ, μὴ γένοιτο! ποῖον γὰρ δίκαιον, τὸν ἀλλότριον δοῦλον καὶ ποίημα ὑφ' ἑαυτῇ ποιεῖν; Ἀλλὰ πῶς; *Νόμῳ ἁμαρτίας*, τουτέστι, κατὰ τὸ δικαίωμα τῆς ἁμαρτίας αἰχμαλωτίζει με, κατὰ τὸ οἰκεῖον ἔθος αὐτῆς, ἐξ ἀναισχυντίας, ἐκ πολλῆς ἰταμότητος, ἐξ ἐπιβουλῆς, ἐξ ἐνέδρας, οὐκ ἐκ τοῦ φανεροῦ, ἀλλ' ἀπατῶσα καὶ συναρπάζουσα. Εἶτα, ἵνα μή τις εἴπῃ· Οὐκοῦν τὸ ὅλον ἐκείνης ἐστὶ τὸ αἰχμαλωτισθῆναί με, εἴπερ καὶ αἰχμαλωτίζει με, καὶ τῷ οἰκείῳ ἔθει με αἰχμαλωτίζει, ἐνεδρεύουσα καὶ κρυφίως ἐπιτιθεμένη· προστίθησιν, *Ἐν τοῖς μέλεσί μου*· οἷον· Ὅτι τὸ ἐγκαθιδρῦσαι αὐτὴν ἐν τούτοις, ἐμόν ἐστι, καὶ ἑξῆς. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ. Καὶ γὰρ ὁ νόμος τοῦ θεοῦ, ὁ εὐαγγελικὸς, κινεῖ καὶ ἐρεθίζει τὰ ἐν ἡμῖν ἔμφυτα καὶ ἐγκατασπαρμένα παρὰ τοῦ δημιουργοῦ πρὸς ἀγαθουργίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπέρματα. Ἕκαστος γὰρ τῶν ἔξωθεν ἐπεισιόντων, τὸν οἰκεῖον καὶ κατάλληλον τῶν ἔνδον καὶ ἐν ἡμῖν ὄντων νόμων κινῶν καὶ διερεθίζων, ἢ εὐσεβεῖν ἢ ἀσεβεῖν ἡμᾶς προτρέπεται. Οὗτος τοιγαροῦν ὁ νόμος, ἤτοι ἡ ἁμαρτία, ἀπατᾷ με διὰ τῆς ἐν τοῖς μέλεσιν ἡμῶν, καὶ ἐν ἡμῖν αὐτοῖς ἐγκειμένης ἐπιθυμίας, καὶ αἰχμαλωτίζει με· τὴν γὰρ ἐν ἡμῖν πρὸς τὸ συμφέρον ἐνοῦσαν ἐπιθυμίαν, εἰς τὰ ἀσύμφορα τρέψασα ἡ ἁμαρτία, ἡμῖν αὐτοῖς χρῆται καθ' ἡμῶν ἐπιτειχίσμασι. — *Καὶ αἰχμαλωτίζοντά με.*] Καλῶς εἶπεν, *αἰχμαλωτίζοντά με*· μάχης γὰρ κινουμένης μεταξὺ τῆς ἁμαρτίας καὶ τῶν τοῦ νόμου ἐπιταγμάτων, ἦγουν τοῦ ἀντιλέγοντος λογισμοῦ τῇ ἁμαρτίᾳ, ἄπειστι νικήσασα ἡ ἁμαρτία, αἰχμάλωτον λαβοῦσα τὸν ταλαίπωρον ἄνθρωπον. *Τῷ νόμῳ τῆς ἁμαρτίας.*] *Νόμον ἁμαρτίας*, περιφραστικῶς τὴν ἁμαρτίαν καλεῖ. *Τῶ ὄντι ἐν τοῖς μέλεσί μου.*] Τῷ διὰ τῶν μελῶν μου, φησί, πολεμοῦντί μοι. Τοῦτο δὲ οὐ κατάγνωσις τοῦ σώματος· οὐ γὰρ, εἰ βασιλέως οἰκίαν τύραννος καταλάβοι, ἤδη τῆς οἰκίας ἡ αἰτία.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος! τίς με ῥύσεται ἐκ τοῦ
25 σώματος τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν. Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοὶ δουλεύω νόμῳ θεοῦ· τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

Τίς *με ῥύσεται*, φησιν, ἐκ τῶν σωματικῶν μου πράξεων, τῶν τὸν νοητὸν ἐπαγουσῶν θάνατον; Ἤ, *Τίς με ῥύσεται* ἀπὸ τοῦ μὴ συναρπάζεσθαι ὑπὸ τῶν ἐν τῷ σώματι ἐπιθυμιῶν, αἳ θάνατός εἰσιν ἡμῖν; Τίς μὲν οὖν ἄλλος ἢ ὁ Χριστός; Τοῦτο γὰρ ῥῆμα ἐμφαίνει. Εὐχαριστῶ τῷ θεῷ, ὅστις με ἐῤῥύσατο διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὔτε γὰρ ὁ νόμος ῥύεται, οὔτε ἡ ἐμὴ προαίρεσις σπουδάζουσα. *Εὐχαριστῶ τῷ θεῷ.*] Ὅτι αὐτός με, φησὶν, ἐῤῥύσατο διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ. *Τῷ μὲν νοὶ δουλεύω νόμῳ θεοῦ.*] Ὅσον, φησὶν, ἧκεν εἰς τὴν προαίρεσιν τὴν ἐμήν· ὃ ἔλεγεν ἄνω· *Συνήδομαι γὰρ κατὰ τὸν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕσω ἄνθρωπον τῷ νόμῳ τοῦ θεοῦ. Τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.] Ἡ γὰρ ἁμαρτία διὰ τῆς σαρκὸς καὶ τῶν αὐτῆς ἐπιθυμιῶν τὰ ἑαυτῆς ἐνεργεῖ.

ΚΕΦ. VIII, 1 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ
2 κατὰ πνεῦμα. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

Ο μὲν νόμος οὕτω, φησὶν· ὁ δέ γε Χριστὸς οὐ μόνον τῶν προγενομένων ἀπήλλαξεν ἁμαρτιῶν, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀχειρώτους ἡμᾶς ἐποίησε· τοῦτο γὰρ δηλοῖ τό· *Οὐδὲν ἄρα νῦν κατάκριμα*· οἷον· Οὐδεμία διὰ τὴν ἁμαρτίαν καταδίκη, *τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσι.* Τί οὖν; οὐδεμία καταδίκη, οὐδὲ ἁμαρτία νῦν; ἀσφαλίζεται αὐτό; Οὐχί, φησιν, ἀλλ' ἐκείνοις, ὅσοι μὴ ἑκόντες σαρκικὴν ζῶσι ζωήν· εἰ γὰρ μόνον προέλοιντο πνευματικῶς ζῆν, οὐχ ἁμαρτήσονται· ἐπὶ δέ γε τοῦ νόμου, οὐδὲ ὁ βουλόμενος ζῆν ὀρθῶς, ἴσχυε, μηδενὸς βοηθοῦντος μηδὲ συνεπισχύοντος. *Τοῖς ἐν Χριστῷ Ἰησοῦ.*] Οἷον, τοῖς οὖσιν ἐν τῇ τοῦ Χριστοῦ πίστει, τοῖς ἑλομένοις πνευματικὴν ζωήν. *Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς.*] Ὥσπερ *νόμον ἁμαρτίας*, τὴν ἁμαρτίαν φησὶν, οὕτω καὶ *νόμον πνεύματος*, τὸ πνεῦμα· ὅπερ ἐστὶ ζωῆς χορηγὸν καὶ δοτικόν. Τοῦτο τοιγαροῦν τὸ πνεῦμα διὰ Ἰησοῦ Χριστοῦ· (αὐτὸς γὰρ ἡμῖν αἴτιος τῆς δωρεᾶς τοῦ πνεύματος, ὁ λύσας τὴν ἁμαρτίαν, καὶ ἐπισπασάμενος, καθό ἐστιν ἄνθρωπος, τὸ πνεῦμα, καὶ ἡμῖν μεταδούς·) τοῦτο τοιγαροῦν τὸ πνεῦμα ἠλευθέρωσέ με ἀπό τε τῆς ἁμαρτίας καὶ τοῦ ἐντεῦθεν θανάτου, ὁδηγοῦν πρὸς τὰ βελτίω. *Ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς*, τοῦ ζωοποιοῦντος, ἤγουν, τοῦ ζωοποιοῦ πνεύματος, *ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας*, τῆς θανατούσης, ἤγουν τῆς θανατοποιοῦ ἁμαρτίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ ἀποδύσεως τῶν φυσικῶν παθημάτων διὰ τῆς πρὸς τὸ πνεῦμα συμφωνίας.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς
σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώ-
ματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέ-
4 κρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἵνα τὸ δικαίωμα
τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα
περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Ὁρᾷς, ὅτι οὐ τοῦ νόμου καταψηφίζεται; Οὐ γὰρ εἶπε· Τὸ πονηρὸν τοῦ νόμου, ἐν ᾧ ἐκακούργει· ἀλλὰ τὸ *ἀδύνατον*, καὶ, *ἐν ᾧ ἠσθένει*· ὡς εἰ εἶπεν· Ἤθελε σῶσαι, ἀλλ' οὐκ ἴσχυεν. *Ἐν ᾧ ἠσθένει.*] Ἐπειδὴ ἠσθένει *διὰ τῆς σαρκὸς*, τουτέστι, τοῦ σαρκικοῦ φρονήματος αὐτῆς· οὐ γὰρ τὴν σάρκα διαβάλλει. *Ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας.*] Ἄνω εἰπὼν, τὸ πνεῦμα ἠλευθερωκέναι, νῦν τὸν υἱὸν λέγει· κοινῇ γὰρ εὐδοκίᾳ τῆς ἁγίας Τριάδος σεσώσμεθα. *Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας.*] Τὸ, *ἐν ὁμοιώματι*, οὐ πρὸς τὸ, *σαρκὸς*, ὁρᾷ, ἀλλὰ πρὸς τὸ, *σαρκὸς ἁμαρτίας*. Οὐ γὰρ ἄλλην παρὰ τὴν ἡμῶν ἥνωσεν ἑαυτῷ, ἄπαγε! ἀλλ' οὐχ ἁμαρτωλὴν, ἀλλ' ἀναμάρτητον· ὡς εἰ εἶπεν· *Ἐν ὁμοιώματι* ἁμαρτωλῆς μὲν σαρκὸς, ἀναμαρτήτου δέ. Ὁ ἐν ἁγίοις Κύριλλος (ἐν βιβλίῳ ιέ τῶν κατὰ Ἰουλιανοῦ) τὸ σῶμά, φησι, τοῦ Χριστοῦ, οὐκ ἦν ἁμαρτίας σῶμα, ἀλλ' ὁμοίωμα σαρκὸς ἁμαρτίας. Φαίνεται ὁ Κύριος, τὰ μὲν φυσικὰ πάθη παραδεξάμενος πρὸς βεβαίωσιν τῆς ἀληθινῆς καὶ οὐ κατὰ φαντασίαν ἐνανθρωπήσεως· τὰ δὲ ἀπὸ κακίας πάθη, ὅσα τὸ καθαρὸν τῆς ζωῆς ἡμῶν καταῤῥυπαίνει, ὡς ἀνάξια τῆς ἀχράντου θεότητος, ἀπωσάμενος. Διὰ τοῦτο εἴρηται, ἐν ὁμοιώματι γεγενῆσθαι αὐτὸν σαρκὸς ἁμαρτίας. Ὥστε σάρκα μὲν τὴν ἡμετέραν ἀνέλαβε μετὰ τῶν φυσικῶν αὐτῆς παθῶν· ἁμαρτίαν δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἐποίησε (α). *Καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν.*] Οὐχ ἁπλῶς, φησιν, οὐδὲ ἀνεξετάστως, καθὸ δυνατός ἐστι, *κατέκρινε τὴν ἁμαρτίαν*, ἀλλὰ πρῶτον διελέγξας τὰ μέγιστα πταίουσαν καὶ ἁμαρτάνουσαν· τοῦτο γὰρ δηλοῖ τὸ, *καὶ περὶ ἁμαρτίας*· δείξας ἀναιδῶς ἁμαρτάνουσαν τὴν ἁμαρτίαν. — ΑΛΛΩΣ. Διχῶς ἐστιν ἐκλαβεῖν. Ἢ στίζοντας ἐνταῦθα, καὶ *περὶ ἁμαρτίας*, ἵνα ᾖ· Ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ ἐν ὁμοιώματι τῆς ἁμαρτησάσης σαρκὸς, καὶ *περὶ ἁμαρτίας*, τουτέστιν, ἕνεκα τῆς ἁμαρτίας, τοῦ ἐξάραι αὐτὴν, καὶ ἐλευθερῶσαι ἡμᾶς ἀπὸ ταύτης. Πῶς οὖν ἐξῆρε; Κατακρίνας αὐτήν· οὐ γὰρ ἁπλῶς καὶ ἐξουσιαστικῶς· ἀλλ' ὑπὸ δίκην ἀγαγὼν αὐτὴν, καὶ δείξας ἁλοῦσαν. Πῶς οὖν ἑάλω καὶ ἥττηται; Ἐν τῇ σαρκὶ αὐτοῦ. Προσιέναι γὰρ βουληθεῖσα, καὶ μὴ ἰσχύσασα, ἑάλω καὶ ἥττηται. Ἢ οὖν οὕτως ἐκληπτέον ἐνταῦθα στίζοντας, ἢ συνάπτοντας αὐτὸ τοῖς ἑφεξῆς, ἵν' ᾖ· *Καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν*, τουτέστιν, ὡς ὑπερβαλλόντως ἁμαρτήσασαν· οἷον, ὡς διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐπιτελέσασαν, ὅπερ ἀνωτέρω ἔλεγε, *καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία* (θ). Πῶς δὲ τοῦτο γέγονε; καὶ πῶς κατεκρίθη; *Ἐν τῇ σαρκί*, φησι, τουτέστι διὰ τῆς σαρκὸς αὐτοῦ. Τοῦτο γὰρ τὸ θαυμαστὸν, ὅτι διὰ τῆς σαρκὸς, τῆς πάλαι ἐνόχου οὔσης τῇ ἁμαρτίᾳ, κατέκρινεν αὐτήν. Πῶς; Τῷ φυλάξαι, δηλαδὴ, ἀναμάρτητον. Ταύτῃ γὰρ νικήσας, αὐτὴν καὶ ἐκόλασε· κόλασις δὲ ἁμαρτίας, ἡ ἀναίρεσις αὐτῆς· καὶ οὕτω παραδοῦναι εἰς τὸν Θεὸν ἐπὶ ἀναιρέσει τῆς ἁμαρτίας. *Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ.*] Καὶ ἵνα μή τις λέγῃ· Καὶ τί πρὸς ἡμᾶς τοῦτο; φησί· Ταῦτα ἐποίησεν ὁ Χριστὸς, ἵνα ὁ σκοπὸς τοῦ νόμου· τοῦτο γὰρ, *τὸ δικαίωμα· πληρωθῇ ἐν ἡμῖν.* Τίς δὲ ὁ σκοπὸς τοῦ νόμου; Τὸ μὴ γενέσθαι ἡμᾶς ὑπευθύνους τῇ ἀρᾷ. Πληρωθῇ δὲ ἐν

(α) Α' Πετρ. Β', 22. Ησ. ΝΓ', 9. Ἰωαν. Η', 46.
(θ) Ῥωμ. Ζ', 13.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

ἡμῖν. Τίσι; Τοῖς μὴ θέλουσι, φησί, σαρκικῶς ζῆν, ἀλλὰ πνευματικῶς. Ἵνα γὰρ μὴ εἴπῃς· Ἐνίκησεν ὁ Χριστὸς, καὶ οὐκέτι χρεία ζῆν ἀσφαλῶς· προσέθηκε, *Τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν*· ὡς εἰ εἶπε· Κατώρθωται μὲν ἐν ἡμῖν ὁ σκοπὸς τοῦ νόμου διὰ τοῦ Χριστοῦ· πλὴν ἀλλὰ καὶ ἡμῶν χρεία· ἐκεῖνος μὲν γὰρ ἔδωκε τὴν νίκην καὶ τὸν στέφανον· ἡμῶν δὲ τὸ δυνηθῆναι κατασχεῖν τὰ δοθέντα, διὰ πολιτείας χρηστῆς καὶ πίστεως. Τοῦτό ἐστι τὸ, *κατὰ πνεῦμα*.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦ-
6 σιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος. Τὸ γὰρ
φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα τοῦ
7 πνεύματος, ζωὴ καὶ εἰρήνη. Διότι τὸ φρόνημα τῆς
σαρκὸς, ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ
8 οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται· οἱ δὲ ἐν σαρκὶ
ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται.

Οἱ ταῖς σαρκικαῖς, φησὶν, ἐπιθυμίαις ἑαυτοὺς ἐκδεδωκότες, ταύτας δὴ καὶ ἐν σπουδῇ ἔχουσιν· [οἱ δὲ ὑποταγέντες ὁλικῶς τῷ πνεύματι, πάντα πνευματικά.] Ἀπὸ κοινοῦ τὸ, *φρονοῦσι*. *Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος*.] *Φρόνημα τῆς σαρκὸς* καλεῖ, τὴν γεώδη τῆς διανοίας ὁρμὴν, καὶ τὴν εἰς τὰς ἀτόπους πράξεις ροπήν· τοῦτο δὲ οὐ διαβολὴ τῆς σαρκός· οὐ γὰρ εἶπεν, *ἡ φύσις*, ἀλλὰ, *τὸ φρόνημα*, τὸ δυνάμενον καὶ ὀρθωθῆναι. *Τὸ δὲ φρόνημα τοῦ πνεύματος*.] Ἡ πνεύματι κινουμένη ἐν ἡμῖν διάνοια. *Ζωὴ καὶ εἰρήνη*.] Τὸ μὲν, ζωὴ, ὡς πρὸς τὸ εἰρημένον, ὅτι *τὸ φρόνημα τῆς σαρκὸς, θάνατος*· τὸ δὲ, *εἰρήνη*, ὡς πρὸς τὸ ἑξῆς. *Διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς θεόν*.] *Φρόνημα τῆς σαρκὸς*, οὐχ ἡ σὰρξ, ἀλλὰ τὸ πρὸς ἀκρασίαν αὐτῆς ὁρμητικὸν. Οὕτω καὶ ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναςάσεως λόγῳ. *Τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται*.] Εἶπε τὴν αἰτίαν τῆς ἔχθρας· διὰ τὸ μὴ εἴκειν τῷ θείῳ νόμῳ. Καλῶς, φησὶν, ὅτι τὸ φρόνημα τὸ σαρκικὸν, *τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται*· ἐν ὅσῳ μὲν γάρ ἐστι, δῆλον ὅτι οὐχ ὑποτάσσεται· ἐν ὅσῳ δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρέλθῃ καὶ ἀπογένηται τοῦ ἀνθρώπου, οὐδ' ὅλως ἐστίν. Ὥστε οὐδ' οὕτως ὑποτάσσεται. Πῶς γὰρ ἂν τὸ μὴ ὄν, ἡ ἀντισταίη ἢ ὑποταγείη τινί; Οὐδ' ὅλως ἄρα δύναται ὑποταγῆναι τῷ νόμῳ τοῦ θεοῦ. Τίς οὖν ὑποτάσσεται; Ὁ ἄνθρωπος, ἐν ᾧ τὸ σαρκικὸν φρόνημα· ἀλλ' ἔτι μὲν τοῦ σαρκικοῦ παρόντος φρονήματος, οὐδ' ἐκεῖνος· καταβληθέντος δὲ διὰ μετανοίας, καὶ ὑποχωρήσαντος, τότε ἐκεῖνος ἀγαθοεργεῖ, καὶ ὑποτάσσεται τῷ νόμῳ τοῦ θεοῦ. *Οὐ γὰρ δύναται.*] Μὴ θορυβηθῇς ἀκούων· *Οὐδὲ γὰρ δύναται.* Οὐ γὰρ τοῦτο λέγει, ὅτι ὁ σαρκικὸν φρόνημα ἔχων οὐδέποτε δύναται θεῷ ἀρέσαι· ἀλλ' ἐν ᾧ ἐπιμένει ἐν αὐτῷ, οὐκ ἂν ὑποταγείη θεῷ· ἐπεὶ πῶς μετανοήσαντες πολλοὶ ἐσώθησαν; Οὐ γὰρ εἶπεν, ὅτι ὁ ἔχων αὐτὸ ἄνθρωπος, οὐ δύναται θεῷ ὑποταγῆναι· ἀλλ' αὐτὸ τὸ φρόνημα, ὅ εἰσιν αἱ πονηραὶ πράξεις, ἃς καὶ καταλιπεῖν ἔξεστιν. *Οἱ δὲ ἐν σαρκὶ ὄντες.*] Τίνες δὲ οἱ ἐν σαρκὶ ὄντες; Δηλαδὴ οἱ τὸ φρόνημα τῆς σαρκὸς ἔχοντες· ἐκ παραλλήλου γὰρ τὸ αὐτὸ εἶπεν.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις πνεῦμα
10 Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα, νεκρὸν, δι' ἁμαρ-
11 τίαν· τὸ δὲ πνεῦμα, ζωὴ, διὰ δικαιοσύνην. Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

Διὰ τὴν δοθεῖσαν, φησὶ, τοῦ θεοῦ χάριν, *οὐκ ἐστὲ ἐν σαρκί*, τουτέστιν, ἐν σαρκικαῖς καὶ ἁμαρτωλαῖς πράξεσιν· ἀλλ' ἐν *πνεύματι*, τουτέστιν, ἐν πνευματικῷ φρονήματι. *Εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν.*] Οὐκ ἔστι τὸ, *Εἴπερ*, ἐνταῦθα ἀμφιβάλλοντος, ἀλλὰ πεπεισμένου· ἀντὶ τοῦ, Ἐπειδήπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν· ὡς καὶ ἐκεῖ· *Εἴπερ δίκαιον παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν* (α)· καὶ γὰρ κἀκεῖ τὸ, *Εἴπερ*, ἀντὶ τοῦ,

(α) Β' Θεσσαλ. Α', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπειδήπερ, κεῖται.—ΑΛΛΩΣ. Ὅρα, πῶς φησιν, *Εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν· καὶ πάλιν· Εἰ δὲ Χριστὸς ἐν ὑμῖν.* Ἔνθα γὰρ ἓν τῶν τῆς ἁγίας Τριάδος προσώπων οἰκήσει, ἐκεῖ πάρεστιν ἡ Τριάς. Εἶτά φησιν· *Ἐπειδὴ Χριστὸς ἐν ὑμῖν,* δῆλον ὅτι τὸ μὲν σῶμα νεκρὸν κατὰ *τὴν ἁμαρτίαν·* τοῦτο γὰρ δηλοῖ τὸ, *δι' ἁμαρτίαν·* οὐ γὰρ ἂν ἐνῴκει Χριστὸς, εἰ μὴ κατὰ τὴν ἁμαρτίαν τὸ σῶμα νενέκρωτο. Νεκρὸν οὖν τὸ σῶμα κατὰ τὴν ἁμαρτίαν.—*Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει.*] Ἵνα μὴ λυπήσῃ, οὐκ εἶπεν, Εἰ δὲ οὐκ ἔχετε· ἀλλὰ, *Εἴ τις,* ὡς ἐπὶ ἄλλων. *Πνεῦμα* δὲ *Χριστοῦ* εἶπε, τὰ χαρίσματα τῆς καινῆς Διαθήκης. Κοινὸν γὰρ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα· ὡς τὸ, *Τὸ πνεῦμα δὲ τοῦ ἐγείραντος,* ἦγουν τοῦ Πατρὸς, *Ἰησοῦν ἐκ νεκρῶν·* καὶ πάλιν· Τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ. *Εἰ δὲ Χριστὸς ἐν ὑμῖν.*] Τὸ λυπηρὸν ἐπὶ ἄλλου θεὶς καὶ ἑνὸς· *Εἰ δέ τις,* φησι, *πνεῦμα θεοῦ οὐκ ἔχει·* τὸ δὲ ποθητὸν εἶπεν ἐπὶ αὐτῶν, καὶ πληθυντικῶς· *Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρόν.* Τὸ σῶμα, φησὶν, ἔξαι νεκρὸν, ὡς πρὸς τὴν τῆς ἁμαρτίας ἐνέργειαν· τοῦτο γὰρ τὸ, *δι' ἁμαρτίαν.* Ἔθεικξεν, ὡς οὐ τῆς σαρκὸς κατηγορεῖ, ἀλλὰ τῆς ἁμαρτίας· τῇ γὰρ ἁμαρτίᾳ προσέταξε τοῦτο γενέσθαι νεκρὸν, ἀντὶ τοῦ, τὴν ἁμαρτίαν μὴ ἐνεργεῖν. *Πνεῦμα* δὲ ἐνταῦθα, τὴν ψυχὴν προσηγόρευσεν, ὡς πνευματικὴν ἤδη γεγενημένην. Ταύτην μετιέναι τὴν δικαιοσύνην κελεύει, ἧς καρπὸς ἀξιέραστος ἡ ζωή. *Τὸ δὲ πνεῦμα ζωή.*] Μὴ φοβηθῇς, φησὶν, ἀκούων *νεκρόν·* ἔχεις γὰρ καὶ ζωὴν, τὸ πνεῦμα, εἰς δικαιοσύνης ἐνέργειαν. Ὥσπερ δὲ εἶπε, *τὸ μὲν σῶμα, νεκρὸν,* οὕτως ἦν ἀκόλουθον εἰπεῖν, *τὸ δὲ πνεῦμα, ζῶν·* ἀλλ' εἶπε, ζωὴ, δεικνὺς, ὅτι οὐ μόνον ζῶν τὸ πνεῦμα, ἀλλὰ καὶ ζωοποιόν. *Ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν.*] Ἐγήγερται ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρὰ τοῦ πατρὸς, ἐνεργουμένης περὶ τὴν σάρκα αὐτοῦ τῆς ζωῆς, διὰ τοῦ ἁγίου Πνεύματος, ὃ ἐστὶν αὐτοῦ. Οὐκοῦν καὶ ἐγηγέρθαι λέγοιτο παρὰ τοῦ πατρός· ἀλλὰ καὶ αὐτὸς ἦν ὁ ἀναστὰς διὰ τοῦ ἁγίου Πνεύματος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Πάντα γὰρ ἐνεργεῖται τὰ θεοπρεπῆ παρὰ τοῦ πατρὸς δι' υἱοῦ ἐν πνεύματι. Ἐγερεῖ τοίνυν καὶ τὰ ἡμῶν σώματα ἐκ νεκρῶν ὁ Χριστός. *Ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν.*] Εἰς τὸν περὶ ἀναστάσεως ἦλθε λόγον. Ἐπεὶ οὖν ἐνταῦθα πάντες μὲν ἀνίστανται· ἀλλ' οἱ μέν, εἰς ζωὴν, οἱ δὲ, εἰς τιμωρίαν· οὐκ εἶπεν, *ἀναστήσει*, ἀλλὰ, *ζωοποιήσει*, τουτέστιν, εἰς ζωὴν καὶ δόξαν ἀναστήσει. *Διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα.*] Τὴν αἰτίαν εἶπε τῆς ζωοποιήσεως. Οὐ γὰρ εἶπε, τὸ ἐνοικῆσαν, ἀλλὰ, τὸ *ἐνοικοῦν*, τὴν δι' ὅλου μονὴν δηλῶν.

12 Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ,
13 τοῦ κατὰ σάρκα ζῆν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις
14 τοῦ σώματος θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ θεοῦ.

Μετὰ γὰρ τὴν τοσαύτην χάριν, χρεωστοῦμεν, κατὰ τὸ θέλημα τοῦ θεοῦ ζῆν, καὶ οὐκέτι κατὰ σάρκα. Εἶτα, ἵνα μὴ νομισθῇ, τὰς ἀναγκαίας ἀναιρεῖν τοῦ σώματος ὑπηρεσίας, οἷον τροφὴν, ἔνδυμα, ἐπάγει, *τοῦ κατὰ σάρκα ζῆν*· τουτέστιν, ἐν ἁμαρτίαις, καὶ εἰς τὸ ἐπιτρέπειν τὴν ζωὴν ταῖς σαρκικαῖς ἐπιθυμίαις.—ΑΛΛΩΣ. *Ὀφειλέται ἐσμὲν*, ζῆν κατὰ τὸ θέλημα τοῦ θεοῦ, οὐ κατὰ σάρκα ζῆν, ἤγουν, σαρκικῶς καὶ γηΐνως· οὐκ ἀναιρεῖ δὲ τὸ ζῆν τῇ σαρκὶ, ἤγουν τὸ τρέφειν καὶ περιθάλπειν τὴν σάρκα.—*Μέλλετε ἀποθνήσκειν.*] Τὸν ἀθάνατον θάνατον ἐν τῇ γεέννῃ. *Εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος.*] Εἰ δὲ διὰ Πνεύματος ἁγίου τὰς πράξεις τοῦ σώματος, τουτέστι, τὰς πονηρὰς, ἀναιρεῖτε, *ζήσεσθε* τὴν μακαρίαν ἐκείνην ζωήν. *Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται.*] Οὐκ εἶπεν· Ὅσοι πνεῦμα θεοῦ λάβωσιν· ἀλλ', *Ὅσοι πνεύματι θεοῦ ἄγονται*, τουτέστι, παντὸς τοῦ βίου ἡνίοχον καὶ ἡγεμόνα αὐτὸ προστήσονται. Πάντες μὲν γὰρ οἱ βαπτιζόμενοι, πνεῦμα λαμβάνουσιν· ἀλλ' οὐ πάντες αὐτῷ τὴν ἡγεμονίαν διδόασιν. *Οὗτοι εἰσὶν υἱοὶ θεοῦ.*] Ἰδοὺ καὶ τὴν υἱοθεσίαν εὐαγγελίζεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον,
ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν·
16 Ἀββᾶ, ὁ πατήρ. Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ
17 πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ. Εἰ δὲ τέκνα,
καὶ κληρονόμοι· κληρονόμοι μὲν θεοῦ, συγκληρο-
νόμοι δὲ Χριστοῦ·

Ἐπειδὴ υἱοθεσίας ἐμνήσθη· (ἦσαν δὲ καὶ Ἰουδαῖοι τούτου ἠξιωμένοι τοῦ ὀνόματος, ὡς τό· *Υἱός μου πρωτότοκος Ἰσραήλ* (α)· καί· *Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες* (β)·) θέλει δεῖξαι πολλὴν τὴν τῶν υἱοθεσιῶν διαφοράν. *Οὐ γὰρ ἐλάβομεν*, φησὶ, *πνεῦμα δουλείας πάλιν εἰς φόβον*· οὐχ ὥσπερ Ἰουδαῖοι πνευματικὸν ἔλαβον νόμον, ὡς δοῦλοι, εἰς φόβον· τοῦτο γὰρ δηλοῖ τὸ, *πνεῦμα δουλείας*. Αὐτοὶ γὰρ διὰ τοῦ οἴον ἐν χερσὶ παρακειμένου φόβου, ὡς δοῦλοι ἠναγκάζοντο τὰ δέοντα ποιεῖν· ἡμεῖς δὲ, ὡς υἱοὶ, διὰ τὴν ἐν οὐρανοῖς ἐλπίδα, τὰ δέοντα ποιοῦμεν. Οὐκοῦν ἐκείνοις μὲν, τοῖς ἐν τάξει δούλων ἐν φόβῳ ζῶσιν, ἄχρις ὀνόματος καὶ τιμῆς ἡ υἱοθεσία· ἡμῖν δὲ, κατὰ ἀλήθειαν. Ὥσπερ γὰρ πάντα τὰ παρ' αὐτοῖς τύπος ἦν τῶν ἡμετέρων, οὕτως ἡγοῦμαι καὶ τὴν υἱοθεσίαν. *Πνεῦμα* δὲ *δουλείας*, τὸν πνευματικὸν φησι νόμον· οὐ γὰρ ἔλαβον καθολικῶς πνεῦμα Ἰουδαῖοι.—Ἄλλως· *Πνεῦμα δουλείας*. Ἐπειδὴ καὶ Ἰουδαῖοι τῆς υἱοθεσίας μετεποιοῦντο· (*Υἱοὺς γὰρ ἐγέννησα καὶ ὕψωσα* (γ)·) δείκνυσι πόσον τῆς ἡμετέρας υἱοθεσίας καὶ αὐτῶν τὸ διάφορον· καὶ φησὶν, ὅτι ἐκεῖνοι *πνεῦμα δουλείας* ἔλαβον, τὸ γράμμα τοῦ νόμου καλέσας οὕτως, ὡς παρὰ τοῦ πνεύματος μὲν δοθέν, δούλοις δὲ μᾶλλον ἁρμόζον· καὶ γὰρ αἱ τιμωρίαι παρὰ πόδας καὶ σωματικαὶ, λιθασμοὶ, καὶ καύσεις, καὶ ἀπειλαί· ὅτι «μάχαιρα ὑμᾶς κατέδεται (δ)·» καὶ διὰ ταῦτα πολὺς ὁ φόβος πρὸ ὀφθαλμῶν. Καὶ αὖ οἱ μισθοὶ ἐπίγειοι· «Ἐὰν εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε·» ἡμῶν δὲ

(α) Ἐξοδ. Δ, 22. (β) Ψαλμ. ΠΑ', 6.
(γ) Ἡσ. Α', 2. (δ) Ἡσ Α', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ μισθοὶ τὰ οὐράνια ἀγαθὰ, καὶ ἡ τῆς μυστικῆς τραπέζης, ὡς υἱοῖς, κοινωνία.—*Ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας.*] Καίτοι ἀκόλουθον ἦν εἰπεῖν, *ἐλευθερίας*· ἀλλ' ὅμως τὸ μεῖζον λέγει. *Ἐλάβετέ*, φησι, *πνεῦμα υἱοθεσίας*. Πόθεν δῆλον; Πατέρα καλοῦμεν τὸν θεὸν, φησιν. *Ἐν ᾧ κράζομεν· Ἀββᾶ, ὁ πατήρ.*] Ἐν αὐτῷ γὰρ τῷ τῆς υἱοθεσίας πνεύματι, τὴν φωνὴν ταύτην ἠξιώμεθα προσάπτειν τῷ θεῷ, καὶ πατέρα καλεῖν αὐτόν. Καὶ πόθεν δῆλον, ὅτι καλῶς καὶ ἀρεσκόντως τῷ θεῷ ταύτην αὐτῷ ἀναφέρομεν τὴν φωνήν; Ὁ υἱὸς ἡμᾶς ἐδίδαξεν οὕτω λέγειν· *Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς*, καὶ ἑξῆς (α). Αὐτὸς δὲ [ὁ ἀπόστολος], ἐπειδὴ κοινὰ οἶδε τὰ τῆς εἰς ἡμᾶς οἰκονομίας ἔργα τοῦ Χριστοῦ, *τὸ πνεῦμα*, φησὶ, *συμμαρτυρεῖ*. Χριστοῦ γὰρ παραδεδωκότος ταύτην τὴν εὐχὴν, καὶ τὸ πνεῦμα παραδίδωσι, καὶ συμμαρτυρεῖ τῷ ἐν ἡμῖν δοθέντι χαρίσματι δι' αὐτοῦ. Τί δὲ συμμαρτυρεῖ; Ὅτι καλῶς καὶ ἀρεσκόντως θεῷ λέγομεν αὐτὸν πατέρα ἡμῶν, ὅτι τέκνα αὐτοῦ ἐσμὲν, υἱοθετηθέντες αὐτῷ τῷ βαπτίσματι. *Εἰ δὲ τέκνα, καὶ κληρονόμοι.*] Οἱ δέ γε Ἰουδαῖοι, εἰ καὶ ἐκαλοῦντο τέκνα Θεοῦ, ἀλλὰ πολλὴ κλήσεως ἑκατέρας καὶ υἱοθεσίας ἡ διαφορά· οἱ μὲν γὰρ τυπικῶς ὠνομάζοντο, ὥσπερ καὶ τ' ἄλλα αὐτοῖς εἰς τύπον ἐτελεῖτο τῆς χάριτος· ἡμεῖς δὲ, οὐ τυπικῶς, ἀλλ' αὐτοτελῶς· καὶ οἱ μὲν, εἰ καὶ ἐκαλοῦντο υἱοὶ, ἀλλ' οὐκ ἦν αὐτοῖς δεδομένον τὸ καὶ αὐτοὺς τὸν θεὸν καλεῖν πατέρα· ἡμῖν δὲ καὶ τοῦτο κεχάρισται· καὶ πολλὴ ἄλλη διαφορά. Τέθεικε δὲ καὶ τὴν ἑβραίαν λέξιν [Ἀββᾶ], ἵνα τὸ γνήσιον δείξῃ διὰ πάντων. *Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ.*] Ἐπειδὴ καὶ Ἰουδαῖοι πατέρα ἐκάλουν τὸν θεὸν, θέλει δεῖξαι, ὅτι αὐτοῖς μὲν οὐκ ἐπετέτραπτο τοῦτο, ἡμῖν δὲ, ναί· καὶ δῆλον ἐκ τοῦ μαρτυροῦντος πνεύματος· καὶ φησὶν, *αὐτὸ τὸ πνεῦμα*, τουτέστιν, αὐτὸς ὁ παράκλητος, *συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν*, ὅ ἐστι τῷ

(α) Ματθ. ϛ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοθέντι ἡμῖν παρ' αὐτοῦ χαρίσματι. Οὐ γὰρ μόνον τοῦ χαρίσματος ἡ τοιαύτη φωνὴ, ἀλλὰ καὶ τοῦ δωρησαμένου. Ἔνθα οὖν τὸ πνεῦμα μαρτυρεῖ, ποία ἐστὶν ἀμφισβήτησις; *Καὶ κληρονόμοι.*] Λοιπὸν αὔξει τὴν ἀξίαν. Ἕνι γὰρ καὶ τέκνα μὴ κληρονομοῦντα. *Συγκληρονόμοι δὲ Χριστοῦ.*] Πάλιν αὔξει τὸ ἀξίωμα, καὶ φιλονεικεῖ ἐγγὺς ἡμᾶς στῆσαι τοῦ Δεσπότου. Ὁρᾷς, ὅτι ἄλλη ἐστὶν ἡ υἱοθεσία ἡμῶν παρὰ τὴν τῶν Ἰουδαίων; Ἡμεῖς μὲν γὰρ καὶ κληρονόμοι, οἱ δὲ οὐχί. Φησὶ γὰρ περὶ αὐτῶν· *Κακοὺς κακῶς ἀπολέσει· καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις* (α)· καὶ πάλιν· *Πολλοί, φησιν, ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραάμ· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται* (β), *ἤγουν οἱ Ἰουδαῖοι.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ἐπανάληψις περὶ τῆς ἀποκειμένης τοῖς ἁγίοις δόξης.

17 Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Λο-
18 γίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι
19 εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν
20 ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ
21 διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.

Ἵνα μὴ ῥαθυμότεροι γενώμεθα, τὸ πᾶν χάριτος εἶναι λογιζόμενοι, ἀπαιτεῖ καὶ τὰ παρ' ἡμῶν. Εἰ γὰρ ἐν τοῖς λυπηροῖς, φησι, κοινωνήσομεν, καὶ ἐν τοῖς χρηστοῖς. *Παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν.*] Τὸ πρόσκαιρον τῶν παθημάτων δηλοῖ διὰ τοῦ, τοῦ νῦν καιροῦ. Εἶτα δείκνυσι τὸ ὅλον

(α) Ματθ. ΚΑ', 41. (β) Ματθ. Η', 11, 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχεδὸν τῆς χάριτος ὄν, διὰ τὸ νικᾶν ταῖς ἀντιδόσεσι τὸν θεόν, καὶ ὅτι οὐκ ἰσχύομεν ἄξιόν τι τῆς ἐκεῖ ἀντιδόσεως παθεῖν ἢ συνεισενέγκαι. *Ἀποκαλυφθῆναι εἰς ἡμᾶς.*] Καλῶς τό, *ἀποκαλυφθῆναι*· ἔστι γὰρ καὶ νῦν, ἀλλὰ κέκρυπται· [τότε δὲ *ἀποκαλυφθήσεται*, τουτέστι, τελείως φανερωθήσεται.] *Ἡ γὰρ ἀποκαραδοκία της κτίσεως.*] Οἷον ἡ ἐπιτεταμένη καὶ σφοδρὰ προσδοκία. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Καὶ αὐτὴ ἡ κτίσις σφόδρα προσδοκᾷ τὴν μέλλουσαν ἡμῶν δόξαν. Διὰ τί; Ἄφθαρτος, φησὶ, πλασθεῖσα, διὰ τὰς τῶν ἀνθρώπων ἁμαρτίας φθαρτὴ γέγονεν· ἐπεὶ καὶ ἡμεῖς ἐξ ἀφθάρτων φθαρτοὶ γεγόναμεν. Βούλεται οὖν ἡ κτίσις, τοὺς ἀνθρώπους τὴν ἀφθαρσίαν ἀπολαβεῖν· ἔσται δὲ τοῦτο ἐν τῇ ἀναστάσει· ἵνα καὶ αὐτὴ τὴν οἰκείαν ἀφθαρσίαν ἀπολάβῃ. Τοῦ γὰρ ἀνθρώπου, δι' ὃν γέγορε φθαρτὴ, τὴν ἀφθαρσίαν ἀπολαμβάνοντος, καὶ αὐτὴ τὴν οἰκείαν ἀφθαρσίαν συναπολήψεται. Προσωποποιΐα δέ ἐστι τὸ πᾶν, ἵνα τε τῶν ἀγαθῶν τὴν ὑπερβολὴν δηλώσῃ, καὶ ἵνα δείξῃ, ὅτι ἡμεῖς μᾶλλον ὀφείλομεν σπουδάζειν, τῆς τοιαύτης δόξης καὶ ἀφθαρσίας ἐπιτυχεῖν, ἥπερ ἡ κτίσις· ἐπεὶ μὴ νόμιζε τὴν ἄψυχον καὶ ἀναίσθητον κτίσιν τὰ τοιαῦτα προσδοκᾶν ἢ αἰσθάνεσθαι. *Τὴν ἀποκάλυψιν.*] Τὸ τέλος, ὅταν μέλλωσι δείκνυσθαι, τίνες υἱοὶ θεοῦ, καὶ τίνες υἱοὶ διαβόλου. *Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη.*] Οἷον τῇ φθορᾷ· εἰς τοῦτο γὰρ κατεκρίθη διὰ τὰς ἡμῶν ἁμαρτίας. *Οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι.*] Τῆς τοῦ Χριστοῦ δυνάμεως, φησὶ, τοῦτο τὸ ἔργον, τὸ καὶ ἄκουσαν ὑποτάξαι ἐπ' ἐλπίδι. Καὶ αὐτὴ γάρ, φησι, τὴν ἀπαλλαγὴν ἐλπίζει. Ἐπ' ἐλπίδι οὖν ἀπαλλαγῆς ὑπετάγη. Λοιπὸν ἑαυτὸν ἑρμηνεύει, πῶς ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται. *Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.*] *Εἰς τὴν ἐλευθερίαν*, οἷον, διὰ τὴν ἐλευθερίαν τῆς δόξης, τουτέστι, δι' ἡμᾶς ἔσται καὶ ἡ κτίσις ἄφθαρτος, ὥσπερ καὶ δι' ἡμᾶς γέγονε φθαρτή. Ἢ τὸ, *εἰς τὴν ἐλευθερίαν*,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δηλοῖ, ὅτι εἰς τὴν αὐτὴν, εἰς ἣν καὶ ἡμεῖς, ἐλευθερίαν ἀπὸ φθορᾶς ἐλεύσεται· οἷον ἐκ φθαρτῆς ἄφθαρτος ἔσται.

22 Οἴδαμεν γὰρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ
23 συνωδίνει ἄχρι τοῦ νῦν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.
24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν. Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;
25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

Συστενάζει, φησὶν, ἡ κτίσις, βουλομένη τὴν φθορὰν ἀποθέσθαι λοιπόν. Εἰ δὲ ἡ κτίσις, πολλῷ μᾶλλον ἡμεῖς τοῦτο αἰτεῖν ὀφείλομεν, καὶ μὴ τοῖς ὧδε κεχηνέναι, οἱ καὶ λόγῳ τετιμημένοι, καὶ υἱοθεσίαν προσδοκῶντες. *Συστενάζει.*] Ἐπειδὴ καὶ οἱ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ στενάζομεν, διὰ τοῦτο συστενάζει. Ταῦτα δὲ ἔλεγεν, οὐχὶ τῶν παρόντων καταγινώσκων, ἀλλὰ τὰ μέλλοντα ποθῶν. Ἐγευσάμην, φησὶ, τῆς χάριτος, καὶ οὐ στέγω τὴν ἀναβολήν· τὴν ἀπαρχὴν ἔχω τοῦ πνεύματος, καὶ πρὸς τὸ πᾶν ἐπείγομαι· ἀνέβην εἰς τρίτον οὐρανὸν, εἶδον τὴν δόξαν ἐκείνην τὴν ἄῤῥητον, εἶδον τὰ βασίλεια τὰ λαμπρὰ, ἔμαθον τίνων ἀπεστέρημαι διατρίβων ἐνταῦθα, καὶ διὰ τοῦτο στενάζω. *Ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες.*] Οὐ μόνον, φησὶν, ἡ κτίσις στενάζει, ἀλλὰ καὶ αὐτοὶ οἱ ἀρχήν τινα μικρὰν καὶ γεῦσιν τοῦ πνεύματος λαβόντες, σπεύδουσι πρὸς τὰ ἐκεῖ μεταβῆναι. Εἰ γὰρ ἡ ἀπαρχὴ τοῦ πνεύματος τοιαύτη, ὥστε ποιεῖν θαυματουργίας ἐκ τῆς σκιᾶς μόνης (α), τί τὸ τέλειον; *Ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.*] Ἵνα μή τις εἴπῃ· Σὺ εἶπας, ὅτι θεοί ἐσμεν· καὶ ποίαν ἄλλην προσδοκῶμεν υἱοθεσίαν; φησὶ, *τὴν ἀπολύτρωσιν τοῦ σώματος*, τουτέστι, τὴν ἀφθαρσίαν. Τότε γὰρ βεβαία

(α) Πραξ. Ε. 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ υἱοθεσία, καὶ τότε ἥξει τὰ αὐτῆς ἀποτελέσματα· οὔν γὰρ οὔτε ἡ δόξα δήπου, οὔτε προσδοκία ἐκπτώσεως διὰ βίου κατεγνωσμένου. *Υἱοθεσίαν ἀπεκδεχόμενοι.*] Ποίαν; τί γάρ; Οὐκ ἐλάβομεν ταύτην διὰ τοῦ βαπτίσματος; οὐχὶ δὲ καὶ αὐτὸς πρὸ μικροῦ ἔφης, ὅτι *πνεῦμα υἱοθεσίας ἐλάβετε*; Ναί, φησι. Ποίαν οὖν ἐκδεχόμεθα; Τὴν φανερουμένην, φησί, κατὰ ἀπολύτρωσιν τοῦ σώματος. Ἄλλην παρὰ τὴν εἰρημένην; Μὴ γένοιτο! Ἀλλ' αὐτὴν ἐκείνην, τελειότερον φανερουμένην, καὶ διὰ τῆς πείρας αὐτῆς ἐπιγινωσκομένην. Μετὰ γὰρ τὴν ἀπολύτρωσιν τοῦ σώματος, τότε ἡ τῶν ἀγαθῶν ἀπόλαυσις, τότε αὐτοῦ τοῦ σώματος ἡ ἀνάστασις καὶ ἀφθαρσία, τότε ἡ τῆς τῶν οὐρανῶν βασιλείας κληρονομία, τότε πάντα τὰ τῆς υἱοθεσίας γνωρίσματα καὶ ἀποτελέσματα. Καὶ νῦν γάρ, ἐπ' ἐλπίδι τούτων ἐλάβομεν τὴν υἱοθεσίαν· αὐτὸς δὲ ἐμφαντικώτερον εἶπεν, *ἐσώθημεν*, δηλῶν, ὡς ἀπὸ κλύδωνος καὶ ταραχῆς μεγάλης τῆς κατὰ τὴν ἁμαρτίαν, υἱοθετηθέντες, ἐσώθημεν. Πῶς οὖν ἠλπίσαμεν ταῦτα, μὴ τούτων παραγεγονότων ἤδη, μηδ' ὑπ' ὄψιν ἡμῶν πεσόντων, μηδ' ὑπὸ πεῖραν; Καλῶς, φησί, καὶ εὐλόγως. Εἰ γὰρ ὑπ' ὄψιν ἡμῶν καὶ ὑπὸ πεῖραν ἤδη τὰ ἐλπιζόμενα ἐγεγόνει, οὐκ ἂν ἦν ἐλπιζόμενα. Ὃ γάρ τις κατέχει, πῶς οἷόν τε ἐστιν ἐλπίζειν; Οὐκοῦν κατὰ φύσιν τῆς ἐλπίδος ἴδιον τοῦτο, τὸ περὶ τῶν μελλόντων αὐτὴν καὶ μήπω παρόντων εἶναι. Ὥστε καὶ ἡμᾶς, ἃ οὐ βλέπομεν, ἐκεῖνα δεῖ ἐλπίζειν. Εἰ δὲ, ἃ οὐ βλέπομεν, ὥσπερ δεῖ, ἐκεῖνα καὶ ἐλπίζομεν, ὑπομένειν χρὴ καὶ ἀπεκδέχεσθαι τὰ προσδοκηθέντα, καὶ μὴ ἀθρόον ἐπιζητεῖν αὐτὰ παραγενέσθαι, μάλιστα τοῦ πνεύματος διὰ τῶν ἐνταῦθα χαρισμάτων καὶ εὐεργεσιῶν πιστουμένου τὰ ἐκεῖθεν, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν ἡμῶν συναντιλαμβανομένου καὶ θεραπεύοντος. Πόσα γὰρ εὐεργετεῖ ἐν αὐταῖς ἡμῶν ταῖς εὐχαῖς, ἵνα νῦν τὰ ἄλλα ἐάσω, διδάσκον, ὅπως χρὴ εὔχεσθαι, ἐρευνῶν τὰς καρδίας, καὶ ἁπλῶς πάντα εἰς ἀγαθὸν συνεργοῦν;—ΑΛΛΩΣ. Εἰς τό· *Υἱοθεσίαν ἀπεκδεχόμενοι.* Διὰ τί ἀπεκδέχη; Ὅτι τῇ ἀπεκδοχῇ καὶ ἐλπίδι ἐσώθημεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῶς οὖν; χρὴ ἀπεκδέχεσθαι καὶ ἐλπίζειν ἔτι; εἰ δὲ δεῖ ἐλπίζειν, δεῖ πάντως ὑπομένειν, καὶ δι' ὑπομονῆς τὰ ἐλπιζόμενα ἀπεκδέχεσθαι. Ἔχομεν δὲ πρὸς τούτοις καὶ τὰ πνευματικὰ χαρίσματα συναντιλαμβάνοντα ταῖς ἀσθενείαις ἡμῶν, καὶ μὴ ἐῶντα ἡμᾶς πρὸς τὰς ἐλπίδας ὀκλάσαι. Ὅτι δὲ τὸ πνευματικὸν χάρισμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν, αὐτίκα δῆλον καὶ ἀπὸ τοῦ πνευματικοῦ χαρίσματος τοῦ περὶ τὰς εὐχὰς χορηγηθέντος ἡμῖν. Τὸ πνεῦμα γὰρ ἐνταῦθα τρὶς ὀνομάσας, τὸ πνευματικὸν ἐδήλωσε χάρισμα· ἐρευνῶν δὲ τὰς καρδίας, αὐτό ἐστι τὸ πανάγιον πνεῦμα τὸ ἐκ πατρὸς προερχόμενον. —ΑΛΛΩΣ. *Υἱοθεσίαν ἀπεκδεχόμενοι.*] Εἶτα, ἵνα μὴ νομισθῇ, τὰ παρόντα διαβάλλειν, καὶ δῶ λαβὴν τοῖς αἱρετικοῖς· [ὅτι διὰ τὸ εἶναι πονηρὸν τὸν κόσμον, διὰ τοῦτο στενάζομεν·] φησίν, οὐδὲ τὰ παρόντα εἶναι κακά, ἀλλὰ τὰ προσδοκώμενα βελτίω, ἅ ἐστιν υἱοθεσία. Τότε γὰρ τὰ τῆς υἱοθεσίας ἀποτελέσματα φανερὰ γενήσονται. — *Τῇ γὰρ ἐλπίδι ἐσώθημεν.*] Ὡς εἰ ἔλεγε· Πάντα λαβόντες παρὰ θεοῦ, ἡμεῖς πίστιν αὐτῷ προσηγάγομεν, ἧς μέγα μέρος ἡ τῶν ἐκεῖθεν ἐλπίς. Μὴ τοιγαροῦν ζήτει, πάντα σοι ἐνταῦθα παρεῖναι τὰ ἀγαθὰ, ἀλλά τινα καὶ τῇ ἐλπίδι ταμίευσαι· εἰ δὲ πάντα παρεῖναι θέλεις, οὐκέτι ἐλπίζεις· *ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. Εἰ δὲ, ὃ οὐ βλέπομεν, ἐλπίζομεν.*] Εἰ δὲ, φησί, τὰ μὴ ὁρώμενα ἐλπίζομεν, ἐν ὑπομονῇ ἔξομεν τὴν τούτων προσδοκίαν· ἡ δὲ ὑπομονὴ, ὅτι μέρος μέγιστον ἀρετῆς, παντί που δῆλον. Ὥστε ἡ ἐλπὶς, καὶ πίστεώς ἐστι καὶ ὑπομονῆς ποιητική.

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερ-
27 εντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε, τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

Καὶ μὴ νόμιζέ, φησιν, ὑπὲρ ὑπομονῆς κάμνειν· οὐ γὰρ ἐάσει σε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ πνεῦμα κάμνειν, ἀλλ' ἀντιλήψεταί σου πρὸς τοῦτο· ἀσθενεῖς γάρ ἐσμεν, καὶ οὐδὲ ὑπομονὴν κατορθῶσαι ἰσχύομεν δίχα τῆς τοῦ πνεύματος βοηθείας. Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα φροντίσει σου, ἤτοι τὸ πνευματικὸν χάρισμα. *Τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ.*] Καὶ τί λέγω, φησίν, ὅτι πρὸς κατόρθωσιν ὑπομονῆς δεόμεθα ἀντιλήψεως παρὰ τοῦ ἁγίου πνεύματος; Καὶ ἐν τοῖς δοκοῦσιν εὐχερέσιν, οἷον ἐν τῇ εὐχῇ, τοῦτο πάσχομεν· ἔστι γὰρ ὅτε ἀσύμφορα αἰτοῦμεν. *Οὐκ οἴδαμεν.*] Καὶ ἑαυτὸν ἔμιξεν, ἵνα μὴ εὑρεθῇ ἐπαχθής. *Ἀλλ' αὐτὸ τὸ πνεῦμα.*] Τὸ παλαιὸν χαρίσματα διάφορα πολλοὶ ἐλάμβανον, προφητειῶν, ἑρμηνειῶν, γλωσσῶν, ἅπερ πάντα *πνεύματα* ἐκάλουν, ὡς ἀπὸ τοῦ πνεύματος διδόμενα. Καὶ εὐχῆς δὲ χάρισμα ἐλάμβανόν τινες. Ἐπειδὴ γὰρ ἀγνοοῦν τὸ πλῆθος τὸ συμφέρον, ἤτει πολλάκις ἀσύμφορα, ἐλάμβανόν τινες χάρισμα εὐχῆς, καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ ηὔχοντο, ὅπερ καὶ αὐτὸ *πνεῦμα* ἐλέγετο. Τοῦτο οὖν ἐστὶν ὃ λέγει· Ὅτι καὶ αὐτὴ ἡ χάρις τῆς εὐχῆς ὑπὲρ ἡμῶν τῷ θεῷ ἐντυγχάνει μεγίστοις στεναγμοῖς. Τοῦτο δὲ εἶπε, συστῆσαι βουλόμενος, ὅτι ἀγνοοῦμεν, καθὸ δεῖ, προσεύξασθαι. Εἰ γὰρ μὴ τοῦτο, φησίν, ἦν, τίς χρεία λαβεῖν τινας χάρισμα εἰς τὸ εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ; (Τοῦτο δὲ νῦν ὁ διάκονος πληροῖ λιτανεύων.) Οὐκ εἶπε δὲ, *ἐντυγχάνει*, ἀλλ', *ὑπερεντυγχάνει*, τὴν σύντονον καὶ κατεσπουδασμένην δηλῶν ἔντευξιν. *Ὁ δὲ ἐρευνῶν τὰς καρδίας.*] Αὐτὸς ὁ παράκλητος, ὁ τὰς καρδίας τῶν πνευματικῶν ἀνθρώπων ἀνερευνῶν, τῶν τὴν χάριν δηλαδὴ καὶ τὸ πνεῦμα τοῦ εὔχεσθαι λαβόντων. *Οἶδε, τί τὸ φρόνημα τοῦ πνεύματος.*] Τουτέστι, τῶν πνευματικῶν ἀνθρώπων, τῶν τὸ εἰρημένον τῆς εὐχῆς λαβόντων πνεῦμα καὶ χάρισμα. Οἶδε τὸ *φρόνημα*, ἤγουν τὴν ἔντυχίαν. Οὐκ ἀγνοοῦντά, φησι, διδάσκουσιν οἱ πνευματικοὶ τὸν θεόν· οἶδε γὰρ ὁ παράκλητος. *Ὅτι κατὰ θεὸν ἐντυγχάνει.*] Οὐ κατά τινα βλαβερὰν ἐπιθυμίαν, *ἀλλὰ κατὰ θεόν*, ὅ ἐστι, κατὰ τὴν βούλησιν τοῦ θεοῦ. *Ὑπὲρ ἁγίων.*]

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῶν διὰ τῆς εὐχῆς ἁγιαζομένων· ἢ ὅτι ὑπὲρ καθαρῶν καὶ θεαρέστων ἔργων τὰς αἰτήσεις ποιεῖται· ἢ ὑπὲρ ἀνθρώπων τὸν ἁγιασμὸν ἐπιποθούντων.

28 Οἴδαμεν δὲ, ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς
29 οὖσιν. Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν
30 πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

Οὕτω, φησὶ, διὰ τὴν ἐν τῷ εὔξασθαι ἄγνοιαν, βοηθούμεθα ὑπὸ τοῦ πνεύματος· ὅτι καὶ τὰ κακὰ εἰς ἀγαθὰ ἡμῖν περιτρέπει. *Πάντα συνεργεῖ.*] *Πάντα*, φησὶ, καὶ τὰ κακά· καὶ ταῦτα περιτρέπει ὁ θεὸς εἰς ἀγαθά· εἰς γὰρ εὐδοκίμησιν τῶν πασχόντων περιστρέφεται. Μεῖζον δὲ τὸ εἰς ἀγαθὰ περιστρέφεσθαι τοῦ μὴ παντελῶς ἐπελθεῖν. *Τοῖς κατὰ πρόθεσιν.*] Ἐπειδὴ ἀπίθανον εἶναι ἐδόκει τὸ περιστρέφεσθαι τὰ κακὰ εἰς ἀγαθὰ, προσθεὶς τὴν τοῦ θεοῦ κλῆσιν, ἐπιστώσατο τὸ εἰρημένον. Οὐ γὰρ τοῖς τυχοῦσι, φησὶ, τοῦτο συμβαίνει, ἀλλὰ τοῖς ὑπὸ θεοῦ κληθεῖσιν. Εἶτα, ἵνα μὴ νομισθῇ μονομερῶς ὁ θεὸς ἐνίους καλέσας, φησὶ, *τοῖς κατὰ πρόθεσιν*, τοῖς κατὰ γνώμην, ἤτοι προαίρεσιν, ἀξιωθεῖσι τῆς κλήσεως, δεικνὺς, ὅτι πάντες μὲν ἐκλήθημεν, ἐκεῖνοι δὲ ὑπήκουσαν· διὸ καὶ βοηθοῦνται, οἱ κατὰ οἰκείαν πρόθεσιν γενόμενοι κλητοί. *Ὅτι οὓς προέγνω.*] Ὅτι οὓς, τουτέστι, τούτους, τοὺς κατὰ οἰκείαν πρόθεσιν κλητοὺς ὄντας, *προέγνω*. Ἀπὸ κοινοῦ τὸ, Κατὰ πρόθεσιν κλητοὺς ὄντας. *Συμμόρφους.*] Ὅπερ ἐστὶ, φησιν, ὁ υἱὸς τοῦ θεοῦ κατὰ φύσιν ἐν τῇ ἐνανθρωπήσει· (δῆλον δὲ ὡς ἅγιος καὶ ἀναμάρτητος·) τοῦτο καὶ αὐτοὶ γεγόνασι κατὰ χάριν. *Συμμόρφους* γὰρ, τουτέστιν, ἰσομόρφους· *εἰκόνα* δὲ *τοῦ υἱοῦ*, τὴν οἰκονομίαν καλεῖ, καὶ τὸ ἐντεῦθεν αὐτοῦ σῶμα· κατὰ γὰρ τὴν οἰκονομίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σύμμορφοι καὶ ἀδελφοὶ αὐτοῦ οἱ ἄνθρωποι· κατὰ δὲ τὴν θεότητα, μονογενής ἐστιν.—*Τῆς εἰκόνος.*] Εἰκὼν τοῦ θεοῦ τίς ἂν νοοῖτο, σαφηνιεῖ λέγων αὐτός· *Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου* (α)· τουτέστι, τὴν ἐν ἁγιασμῷ ζωὴν, τὴν πρὸς πανοτιοῦν ἀμώμητον πολιτείαν. Ὥσπερ γὰρ εἰκόνα τοῦ χοϊκοῦ, τουτέστι, τοῦ Ἀδὰμ, τὴν ἐν παρακοῇ τε καὶ ἁμαρτίαις ζωὴν εἶναι φαμὲν· οὕτω καὶ εἰκόνα τοῦ ἐπουρανίου, τουτέστι, τοῦ Χριστοῦ, τὸν ἁγιασμὸν, τὴν δικαιοσύνην, τὴν ὑπακοήν.—*Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον.*] Διὰ πάντων τὴν συγγένειαν ἡμῶν τὴν πρὸς τὸν Χριστὸν σημαῖναι θέλει· συγγένειαν δὲ, τὴν ἐν τῇ οἰκονομίᾳ τῆς σαρκὸς αὐτοῦ. *Οὓς δὲ προώρισε, καὶ τὰ ἑξῆς.*] Πανταχοῦ τὸ, Κατὰ πρόθεσιν κλητοὺς ὄντας, συνυπάκουε. Ὅτι *οὓς προέγνω*, τούτους καὶ *προώρισε*, τοὺς κατὰ πρόθεσιν· *οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε*, τοὺς κατὰ πρόθεσιν ὄντας (1)· *καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε*, τοὺς κατὰ πρόθεσιν· *οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε*, πάλιν τὸ, Κατὰ πρόθεσιν κλητοὺς ὄντας, ἵνα μὴ ἄτοπον ἀπαντᾷ, εἰ ὁ θεὸς τινὰς μὲν εὖ ἐποίησε, τινὰς δὲ οὔ. Τὸ δὲ, Κατὰ πρόθεσιν, συνυπακουόμενον, αὐτῶν ποιεῖ τὸ κατόρθωμα, τῶν κατὰ οἰκείαν πρόθεσιν πιστευσάντων, καὶ προσωποληψίας ἀπαλλάττει τὸν θεάν. *Τούτους καὶ ἐδικαίωσε.*] Διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. *Τούτους καὶ ἐδόξασε.*] Διὰ τῶν χαρισμάτων τῆς υἱοθεσίας.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν,
32 τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ
33 καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέ-
34 σει κατὰ ἐκλεκτῶν θεοῦ; Θεὸς ὁ δικαιῶν. Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ

(α) Α Κορ. ΙΕ, 49.

(1) « Προγινώσκει ὁ θεὸς τοὺς ἀξίους τῆς κλήσεως· εἶθ' οὕτω προορίζει. Πρότερα οὖν ἡ πρόγνωσις· εἶτα ὁ προορισμός. Προορισμὸν δὲ νοήσεις τὸ ἀμετάθετον τοῦ θεοῦ ἀγαθὸν θέλημα. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγερθεὶς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν;

Τί οὖν ἐροῦμεν πρὸς ταῦτα;] Ὡς εἰ ἔλεγε· Τούτων οὕτως ὄντων, μηδεὶς λοιπὸν περὶ τῶν ὧδε πειρασμῶν ἢ κινδύνων λογοποιείσθω; Τί γὰρ ἔνι εἰπεῖν πρὸς τὴν τοσαύτην ἀγαθότητα τοῦ θεοῦ; — *Τί οὖν ἐροῦμεν πρὸς ταῦτα;* Ποῖα; Ὅτι προώρισεν, ὅτι ἐκάλεσεν, ὅτι ἐδικαίωσεν, ὅτι ἐδόξασε· πρὸς τοσαύτην ἀφθονίαν εὐεργεσιῶν, τί ἐροῦμεν; Οὐδὲ εὐχαρίστων, φησὶ, λόγων εὐπορεῖν, μή τι γε ἔργων ἀμοιβῆς. Τοσαύτη ἐστὶν ἄφατος αὐτοῦ ἡ περὶ ἡμᾶς χάρις! Εἶτα, ὥσπερ πόρισμα λαβὼν ἐντεῦθεν, φησίν· *Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;* Οὐδείς! κἂν γὰρ τινες βλάπτειν ἐπιχειρήσωσιν, οὐ βλάψουσιν, ἀλλ' ὠφελήσουσι. Πόθεν δὲ δῆλον, ὅτι ὑπὲρ ἡμῶν ὁ θεός; Ἔκ τε τῶν προειρημένων, καὶ, τὸ μέγιστον, καὶ πᾶσαν ἐκπλῆττον διάνοιαν, ὅτι ὑπὲρ ἡμῶν τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο. Εἰ οὖν ὁ θεὸς ὑπὲρ ἡμῶν, δῆλον ὅτι πάντα εἰς συμφέρον μεταστήσει, καὶ τὰ δοκοῦντα λυπηρὰ χαρᾶς πρόξενα παρασκευάσει, ὥσπερ καὶ ἐπὶ τῶν ἀποστόλων αὐτῶν καὶ τῶν μαρτύρων τὰς θλίψεις, καὶ τοὺς διωγμοὺς, καὶ τοὺς θανάτους ὑπόθεσιν στεφάνων καὶ βραβείων ἐποιήσατο, καὶ πρόξενα τῆς βασιλείας τῶν οὐρανῶν. Οὕτως οὖν καὶ ἡμεῖς, ἂν μόνον μὴ ἐκλυθῶμεν, οὐδεὶς ἰσχύει καθ' ἡμῶν. Τέθεικε δὲ τό· *Ὅγε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο*, καὶ ἐξῆς, τήν τε κηδεμονίαν τὴν ἄφατον, ὡς ἔφημεν, τοῦ θεοῦ περὶ ἡμᾶς ἐνδεικνύμενος, καὶ ἅμα εἴ τι δυσχερὲς ὑπό τινων πάσχομεν, ὑπομένειν καὶ καρτερεῖν διὰ τοῦ παραδείγματος παραινῶν· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀνακτώμενος καὶ παρηγορῶν. Εἰ γὰρ ὁ υἱὸς ὑπὲρ σοῦ τοσαῦτα ἔπαθε, τί σε χρὴ παθεῖν ὑπὲρ αὐτοῦ; Καὶ εἰ ἐκεῖνος τοσαῦτα παθὼν, τῆς πατρικῆς δόξης καὶ θεότητος οὐδέν τι καθυφειμένον ἐδέξατο, μηδὲ σὺ ὀλιγωρήσῃς πάσχων ταῦτα· πάντως γὰρ τῶν ἐπηγγελμένων, καὶ μετὰ τὰ πάθη καὶ μετὰ τὸν θάνατον, ἀξιωθήσῃ. Τὸ δὲ· *Πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;* λέγει, τὸ ἀπρο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φάσιστον καὶ ἀπαραίτητον θέλων παραστῆσαι τῆς δωρεᾶς. Σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται, φησιν. Ἐρεῖς ἴσως, φησίν· Ὅτι μή ποτε ἡμῶν ἐπιλήσεται; Οὐκοῦν καὶ τοῦ υἱοῦ· σὺν αὐτῷ γὰρ τὰ πάντα ἡμῖν χαρίζεται. Ὥστε πάντως καὶ ἀπροφασίστως τευξόμεθα ὧν ἐπηγγέλμεθα. Εἰπὼν δὲ τοὺς πειρασμοὺς, τοὺς διὰ θλίψεων καὶ βασάνων, ἐν τῷ εἰπεῖν, *Τὶς καθ' ἡμῶν*, νῦν ἕτερον εἶδος πειρασμῶν λέγει, τοὺς ὀνειδισμοὺς, τὰς μέμψεις, τὰς λοιδορίας, τὰς διαβολὰς, ἃς κατέχεον οἱ ἄπιστοι τῶν πιστῶν· καὶ τοῦτο δηλοῖ διὰ τοῦ λέγειν· *Τὶς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ*; καὶ ἀποδείκνυσι κάνταῦθα, ὥσπερ καὶ ἐπὶ τῶν προειρημένων, ὅτι, θεοῦ δικαιοῦντος, εἰς μάτην γλωσσαλγοῦσιν οἱ αἰτιώμενοι καὶ κατακρίνοντες. —*Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τὶς καθ' ἡμῶν*;] Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι βασιλεῖς καθ' ἡμῶν, καὶ δῆμοι, καὶ ἡγεμόνες· (πάντες γὰρ ἐπεβούλευον τοῖς πιστοῖς·) φησὶν, ὅτι ἰσχύει ὁ θεὸς, τὰς καθ' ἡμῶν ἐπιβουλὰς ἀφορμὴν στεφάνων ποιήσασθαι· οὐδεὶς οὖν ὁ καθ' ἡμῶν. *Ὅσγε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο.*] Πῶς οὖν, φησὶν, ἡμᾶς προήσεται ὁ θεὸς, ὃς οὐ μόνον τοῦ υἱοῦ αὐτοῦ συμμόρφους ἐποίησεν, ἀλλὰ καὶ ἐδικαίωσε, καὶ ἐδόξασε; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸν υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν πάντων, καὶ ἁμαρτωλῶν, καὶ τελωνῶν, καὶ πόρνων; Εἰ τὸν υἱὸν, φησὶν, ἔδωκεν εἰς θάνατον ὁ πατὴρ, τὶ δεῖ περὶ τῶν ἄλλων ἀμφιβάλλειν; Ὁ γὰρ τὸ μέγα δοὺς, καὶ τὸ ἔλαττον δώσει.—*Τὶς ἐγκαλέσει*;] Πολλοὶ ἀσεβεῖς ἐμέμφοντο τοῖς πιστεύουσι. Φησὶν οὖν· Τὶς ἱκανὸς ἐγκαλέσαι ἢ μέμψασθαι τοῖς ὑπὸ θεοῦ ἐκλεχθεῖσι; Καὶ ὅρα· οὐκ εἶπε, Δούλων θεοῦ, ἢ πιστῶν, ἀλλὰ, *Ἐκλεκτῶν*, ἐπαίρων τὸ ἀξίωμα. *Θεὸς ὁ δικαιῶν.*] Οὐκ εἶπεν· Ὁ ἀφεὶς ἁμαρτίας, ἀλλὰ, τὸ μεῖζον, *Ὁ δικαιῶν. Τὶς ὁ κατακρίνων*;] Ὅταν γὰρ ὁ θεὸς ψήφῳ τινὰ οἰκείᾳ δικαιώσῃ, τὶς ὁ κατακρίνων; τί δὲ καὶ κατακρίνων ὠφελεῖ; Τὸ δὲ, ὁ *κατακρίνων*, ὡς ἐπὶ ἁμαρτήμασι. *Χριστὸς ὁ ἀποθανών.*] Κατ' ἐρώτησιν αὐτὸ προάγει, ὡς ἀναντιρρήτων ὄντων. *Ὁ ἀποθανών.*] Τίς, φησιν, ὁ κατακρίνων, τοῦ μὲν

πνεύματος συναντιλαμβανομένου ταῖς ἀσθενείαις ἡμῶν, τοῦ δὲ πατρὸς δικαιοῦντος, τοῦ δὲ υἱοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος; Οὓς γὰρ ἡ Τριὰς ἀπεδικαίωσε, τίς ὁ κατακρίνων; — Καὶ οὕτω δύνῃ νοῆσαι, ὡς πρὸς τὸ κατὰ πόδα τοῦ ῥητοῦ· Εἰ τὸ πνεῦμα ἀντιλαμβάνεται, εἰ ὁ πατὴρ ἐδικαίωσε, τίς ὁ κατακρίναι δυνάμενος; Ὑπολείπεταί, φησιν, ὁ υἱός. Ὁ υἱὸς οὖν, φησιν, ἔχει κατακρίναι; καίτοι τοσοῦτον ἀγαπᾷ, ὡς καὶ θάνατον αἱρήσασθαι ὑπὲρ ἡμῶν· καὶ ὢν ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ εἰς τὴν ἰδίαν ἐπανελθὼν δόξαν, οὐκ ἐπαύσατο τῆς πρὸς ἡμᾶς ἀγάπης· ἀλλὰ καὶ παρακαλεῖ τὸν πατέρα ὑπὲρ ἡμῶν· τοῦτο γὰρ τό, *ἐντυγχάνει*. Τὴν δὲ παράκλησιν οὕτω νόει· Αὐτῷ τῷ ἐνηνθρωπηκέναι παρακαλεῖν λέγεται τὸν πατέρα ὑπὲρ ἡμῶν. — *Ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θεοῦ.*] Ἵνα γὰρ μὴ ἐλάττωσιν τὴν ἐντυχίαν νομίσῃς, θεὶς πρῶτον τὴν ἰσοτιμίαν, τὸ εἶναι ἐν δεξιᾷ τοῦ θεοῦ, οὕτως εἶπε τὸ, *ἐντυγχάνει*, δεῖξαι θέλων τὴν διάπυρον ἀγάπην· οὐ γὰρ ὡς αὐτὸς ἀσθενῶν σῴζει, δεῖται τοῦ πατρὸς, ἄπαγε! *Ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.*] Ὡς πρὸς τὸ ἀνθρώπινον εἴρηται· ὅτι ἀρχιερεὺς ἦν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα (α). Τῆς δὲ κυριακῆς ἐκείνης φωνῆς τὸν νοῦν ἐνταῦθα δηλοῖ καὶ ὑπαινίττεται, τῆς ἐν τύπῳ εὐχῆς τῷ πατρὶ προσαγομένης· Πάτερ, τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· καὶ· Ἵνα φυλάξῃς αὐτοὺς ἀπὸ τοῦ πονηροῦ (β)· καὶ τὰ ὅμοια. Εἰ οὖν οὕτω κήδεται υἱὸς, ὥστε καὶ ἐντυγχάνειν· (ἡ γὰρ τότε ῥηθεῖσα εὐχὴ τοσαύτην ἔχει ἰσχὺν, ὥστε διαπαντὸς ἐνεργὴς εἶναι καὶ τὰ τῆς ἐντυχίας ἀπαρτίζειν·) εἰ οὖν οὕτω κήδεται, τίς ὁ κατακρίνων τοὺς ἐν αὐτῷ πεπιστευκότας; Ὁ πατὴρ ἐδικαίωσε καὶ ἐδόξασε, τὸ πνεῦμα συναντιλαμβάνεται, ὁ Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἀνέστη, καὶ ἐντυγχάνει. Τίς λοιπὸν ὁ ἐγκαλῶν ἢ κατακρίνων, τῆς ἁγίας Τριάδος οὕτω προασπιζούσης ἡμῶν;

(α) Ψαλμ. ΡΘ', 4. (β) Ἰωαν. ΙΖ', 11. 15.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς ὀφειλομένης Χριστῷ ἀγάπης.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυ-
36 μνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; (καθὼς γέγραπται· «Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλο-
37 γίσθημεν ὡς πρόβατα σφαγῆς (α).») Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

Τίς ἡμᾶς χωρίσει;] Οὐδείς, φησι, τοὺς τοσαύτης ἀγάπης καὶ προνοίας ἠξιωμένους παρὰ θεοῦ. — Τὸ, *Τίς ἡμᾶς χωρίσει*, τοῦ, *Τί οὖν ἐροῦμεν*, ἐστὶν ἐπαναληπτικόν· ὥσπερ καὶ τό· *Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων*, τοῦ, *Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;* Κέχρηται γὰρ τῷ τοιούτῳ σχήματι πολλαχῶς διὰ τὴν συνέχειαν τῆς περιβολῆς. Οὐδεὶς γὰρ σχεδὸν, ὅσα γε ἐμὲ εἰδέναι, οὔτε τῶν καθ' ἡμᾶς, οὔτε τῶν θύραθεν, τῇ ἰδέᾳ ταύτῃ, ὡς ὁ μέγας Παῦλος ἐχρήσατο. Ἵνα οὖν μὴ εἰς τὸ ἀσαφὲς αὐτῷ ἐκπίπτοι λίαν ὁ λόγος, καὶ ταῖς ἐπαναλήψεσι προσεχρήσατο. Δύναται δὲ καὶ ὡς ἀπὸ ἰδίας ἀρχῆς τὰ χωρία ταῦτα εἰλῆφθαι, καὶ μὴ ὡς ἐπαναληπτικὰ τῶν εἰρημένων. — *Θλῖψις; ἢ στενοχωρία;* καὶ τὰ ἑξῆς.] Οὐκ εἶπε χρήματα, δόξαν, καὶ ὅσα παρὰ τοῖς ἀνθρώποις δοκεῖ καλά· ἀλλ' ἐκεῖνα, ἅ τινα καὶ διάζεσθαι πέφυκε τὴν ἀνθρωπίνην φύσιν. Τὸ δὲ τῆς θλίψεως ὄνομα εἰς πολλὰ δηλοῦται, οἷα φυλακαὶ, ἀλύσεις, ἐξορίαι, καὶ ὅσα τοιαῦτα. *Καθὼς γέγραπται.*] Ἐντρέψαι αὐτοὺς βουλόμενος, ἤγαγε τὴν μαρτυρίαν. Εἰ γὰρ ἐν τῇ Παλαιᾷ, φησὶ, ζωῆς κατεφρόνουν, οἷς τὰ ἔπαθλα γήϊνα καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ, πόσῳ μᾶλλον ἡμεῖς ὀφείλομεν οἱ τὴν βασιλείαν τῶν οὐρανῶν ἔχοντες τῶν πόνων ἀμοιβήν; *Ἕνεκά σου.*] Τῇ μαρτυρίᾳ τὸν λόγον πιστοῦται. *Ὅλην τὴν ἡμέραν.*] Ἔστι γὰρ τῇ προαι-

(α) Ψαλμ. ΜΓ', 23.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ρέσει πολλάκις τῆς ἡμέρας ἀποθανεῖν. Ἢ τὸ, ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ, δι' ὅλης τῆς ἡμέρας, ἤτοι, δι' ὅλου τοῦ βίου· ἡμέρα γὰρ μία ἐστὶ πᾶς ὁ τῶν ἀνθρώπων βίος. *Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.*] Πᾶσι, φησὶν, εἰς τὸ ἀδικεῖν προκείμεθα. Οἱ ἀπόστολοι δῆλον ὅτι ὡς πρόβατα σφαζόμενα ἦσαν, μηδὲν ἀντιλέγοντες. *Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν.*] Ἐπαίρει τὸν ἀκροατὴν, ἵνα μὴ καταπέσῃ, *θλίψιν* ἀκούσας, καὶ *διωγμὸν*, καὶ ὅσα εἶπε· καί φησι· Πάντων κρατοῦμεν χάριτι Χριστοῦ. Καὶ οὐκ εἶπε, Νικῶμεν, ἀλλ', *Ὑπερνικῶμεν*, τουτέστι, δι' ὧν ἐπιβουλευόμεθα, σεφανούμεθα· οὐ μόνον οὐ καταπίπτομεν πολεμούμενοι, ἀλλὰ καὶ στεφανούμεθα. Οἱ γὰρ ἐπίβουλοι, πρόξενοι στεφάνων ἡμῖν γίνονται, ἂν εὐχαρίστως φέρωμεν.

38 Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα,
39 οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτέ τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν.

Ἐπειδὴ ἄνω τὰ παρόντα εἶπε, νῦν τὰ μέλλοντα λέγει· καί φησιν· Οὔτε ὁ μέλλων θάνατος, οὔτε ἡ μέλλουσα ζωὴ, οὔτε ἄγγελοι, οὔτε δυνάμεις, δύνανταί με χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς διὰ Χριστοῦ μοι προξενηθείσης. Πάντα μοι, φησὶ, μικρὰ πρὸς ἐκείνην τὴν ἀγάπην. Εἶτα, ἐπειδὴ πᾶσαν εἶπε τὴν κτίσιν τὴν ὁρατὴν καὶ νοητὴν, ἃ εἰσιν *ἐνεστῶτα καὶ μέλλοντα*, προστίθησιν, *οὔτε τις κτίσις ἑτέρα*· τουτέστιν, εἰ καὶ ἄλλη τις παρὰ τὴν οὖσαν ὑπόσταίη, οὐδὲ αὐτή μοι εἶναί τι δοκεῖ πρὸς τὴν ἀγάπην τοῦ θεοῦ. Ἐπειδὴ δὲ καὶ ἀγγέλων καὶ δυνάμεων ἐμνήσθη, μὴ νόμιζε τοὺς ἀγγέλους ἢ τὰς δυνάμεις, ἀποστῆσαί τινας ἐθέλειν ἀπὸ Χριστοῦ· ἄπαγε! ἀλλὰ τὸν περὶ τὸν θεὸν θερμὸν πόθον σημῆναι ζητῶν, εἰς τούτους ἦλθε τοὺς λόγους. *Οὔτε ὕψωμα, οὔτε βάθος.*] *Βάθος*, ὡς οἶμαι, τὴν γέενναν ὀνομάζει, ὕψωμα δὲ, τὴν βασιλείαν· καὶ πρὸς τούτοις τὴν αἰώνιον ζωὴν, καὶ τὸν αἰώνιον θάνατον. — ΚΑΙ ΑΛΛΩΣ. Καὶ συλλήβδην

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπεῖν, οὔτε τὰ ἄγαν ἐπίδοξα, οὔτε τὰ ἄγαν ἄδοξα· οὔτε τὰ ἀγαθὰ, οὔτε τὰ λυπηρὰ· οὔτε τὰ καλὰ, οὔτε τὰ κακά.— *Τῆς ἐν Χριστῷ Ἰησοῦ.*] Εἰπὼν ἄνω τὴν ἀγάπην τοῦ θεοῦ· ἵνα μὴ ψεύδεσθαι δόξῃ περὶ τῆς ἰδίας λέγων ἀγάπης· (ὁ γὰρ ἀγαπηθεὶς, οὐ θαυμαστὸν εἰ ἀνταγαπᾷ·) προσέθηκε, *τῆς ἐν Χριστῷ Ἰησοῦ.* Ἠγάπων μέν καὶ Ἰουδαῖοι τὸν θεὸν· ἀλλ' οὐκ ἐν Χριστῷ Ἰησοῦ, ὅθεν καὶ ἀπώλοντο.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ ἐκπτώσεως Ἰσραὴλ, τοῦ ἀποβληθέντος, καὶ κλήσεως τοῦ ἀληθοῦς, τοῦ εἰσαχθέντος μετὰ ἐθνῶν.

ΚΕΦ. IX, 1 Ἀλήθειαν λέγω ἐν Χριστῷ· οὐ ψεύδομαι, (συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου
2 ἐν Πνεύματι ἁγίῳ,) ὅτι λύπη μοι ἐστὶ μεγάλη, καὶ
3 ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα,
4 οἵ τινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ
5 αἱ ἐπαγγελίαι· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μέγα θέλει εἰπεῖν· διὸ προαποδοποιεῖ τῷ πιστευθῆναι, τρεῖς ἐπιφερόμενος μάρτυρας, τὸν Χριστὸν, τὸ ἅγιον Πνεῦμα, καὶ τὴν ἑαυτοῦ συνείδησιν. Ὅρα δὲ· *Ἀλήθειαν, φησὶ, λέγω ἐν Χριστῷ.*] Καὶ οὐ ψεύδομαι· καὶ ἡ συνείδησίς μοι εἰς τοῦτο μάρτυς σὺν τῷ ἁγίῳ Πνεύματι. *Ὅτι λύπη μοι ἐστί.*] Ὅτι λύπη μοι ἐςὶ μεγάλη, κατεσθίουσά μου τὴν καρδίαν, ὑπὲρ τῶν Ἑβραίων, ὅτι ἔξω τῆς χάριτος γεγόνασι· τοῦτο γὰρ μέλλει εἰπεῖν. *Ηὐχόμην γὰρ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸς ἐγὼ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ.] Ὅρα τὴν ἐπίτασιν. Οὐκ εἶπεν, ἠβουλόμην, ἀλλ', ηὐχόμην. Ὃν οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης τοῦ θεοῦ, οὐ θάνατος ἀπειλούμενος, οὐ ζωὴ προτεινομένη, οὐ τὰ ἐκεῖθεν ἁπλῶς, οὐ τὰ ἐνταῦθα, οὐχ ὅπερ ἄν τις ἐπινοήσῃ· διὰ τοῦτο γὰρ καὶ ἀγγέλων ἐμνήσθη καὶ δυνάμεων, καὶ βάθους καὶ ὕψους· ἂν τοίνυν οὐδὲν χωρίσαι δύναται, πῶς αὐτὸς ἑκουσίως ἀφίσταται; καὶ ταῦτα ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν; Καὶ οὐ μόνον ἑκουσίως χωρίζεται· ἀλλὰ καὶ ἐπιθυμεῖ, καὶ ἐπιζητεῖ, καὶ εὔχεται χωρισθῆναι τῆς ἀγάπης τοῦ Χριστοῦ· *Ηὐχόμην γάρ*, φησιν, *αὐτὸς ἐγὼ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ*. Τί οὖν ἐστι τοῦτο; πῶς συμβήσεται τὰ ἀσύμβατα; Πρῶτον μὲν φαμὲν, ὅτι οὐκ ἔστι ταῦτα ἐναντία· οὐ γάρ ἐστιν ἐναντίον τὸ ἀγαπᾶν τὸν Χριστὸν οὕτως, ὥστε μήτε διὰ κολάσεως, μήτε δι' ὑποσχέσεως πάσης ἀφίστασθαι τῆς ἀγάπης αὐτοῦ, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον οὕτως, ὥστε τὴν σωτηρίαν αὐτοῦ ἴσην καὶ μείζονα τῆς ἰδίας ἡγεῖσθαι σωτηρίας. Οὔκουν ταῦτα ἐναντία, ἀλλὰ καὶ μᾶλλον συνᾴδοντα· ὁ γὰρ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀγαπᾷ καὶ τὸν δεσπότην· καὶ ἔμπαλιν. « Καὶ ἐν τούτῳ, φησὶ, γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους (α).» Καὶ αὐτὸς ὁ Παῦλος φησὶ· Πλήρωμα τοῦ νόμου ἡ ἀγάπη (β). Καὶ ὁ Κύριος πάλιν περὶ τῆς εἰς τὸν θεὸν ἀγάπης καὶ τῆς εἰς τὸν πλησίον· « Ἐν ταύταις, φησὶ, ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται (γ) » ὡς κεφάλαιον οὔσας τῶν ἄλλων πασῶν. Ναὶ, φήσειεν ἄν τις· ἀλλ' ἐνταῦθα προκρίνει τὴν τῶν πλησίον ἀγάπην τῆς πρὸς τὸν θεόν· καὶ εὔχεται ἐκεῖνον ἀπαρνήσασθαι, τοῦ ἐκείνους κερδῆσαι· ὁ δὲ Χριστὸς φησίν· « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος (δ). » Ἀλλ' οὐκ ἔστι τοῦτο φιλεῖν ὑπὲρ τὸν Χριστόν. Τί γὰρ ἦν τὸ φιλεῖν ἐκείνους; Τὸ οἷον οἰκειῶσαι αὐτοὺς

(α) Ἰωαν. ΙΓ', 35. (β) Ῥωμ. Ι', 10. (γ) Ματθ. ΚΒ', 40.
(δ) Ματθ. Ι, 37.

τῷ Χριστῷ. Πῶς οὖν ἐστι φιλεῖν ἐκείνους ὑπὲρ τὸν Χριστόν, ὅπου κἀκείνους εἰς τὴν φιλίαν καὶ ὑπακοὴν ἑλκῦσαι ἔσπευδε τοῦ Χριστοῦ; μᾶλλον γὰρ ἐπιδεικνύντος τὴν ὑπερβάλλουσαν ἀγάπην ὁ λόγος, ἣν εἶχεν εἰς Χριστόν, ὅτι καὶ ἑτέρους συνήλαυνεν εἰς αὐτόν. Ναί, φησιν, εἰ μὴ ἐχώριζεν ἑαυτὸν τοῦ Χριστοῦ, λέγων· *Ηὐχόμην αὐτὸς ἐγὼ*, καὶ ἑξῆς. Τί οὖν φαμέν; Ἢ ὅτι, μὴ γένοιτο! οὐκ ἐχώριζεν ἑαυτόν· οὐ γὰρ εἶπεν, Εὔχομαι τοῦτο γενέσθαι· ἀλλὰ τὸ διάπυρον τοῦ πόθου, ὑπὲρ πρὸς τὸν Χριστὸν εἶχεν, ἐδείκνυτο, καὶ τὴν σπουδήν, ἣν κατεβάλλετο εἰς τὸ προσαγαγεῖν πάντας αὐτῷ, καὶ μάλιστα τοὺς Ἰουδαίους· οὗτοι γὰρ καὶ συγγενεῖς, καὶ μάλιστα ἀντιπίπτοντες ἐτύγχανον. Ταῦτα οὖν παραστῆσαι βουλόμενος, φησὶν, ὅτι· Εἰ ἦν δυνατὸν διὰ τῆς ἐμῆς ἀπωλείας δοξασθῆναι τὸν Χριστὸν, καὶ σωθῆναι τοὺς Ἰουδαίους, οὐδὲ τοῦτο ἂν παρῃτησάμην. Ηὐχόμην γάρ, φησιν, εἰ ἐνεχώρει, εἰ ἐνεδέχετο, εἴ τις μοι ταύτην ἐδίδου τὴν αἵρεσιν, Πότερον βούλει διασπᾶναι Χριστοῦ, ἵνα πᾶν τὸ Ἰουδαίων ἔθνος ἑνωθῇ, καὶ δοξασθῇ ὁ Χριστὸς, καὶ πληρωθῶσιν αἱ ἐπαγγελίαι τοῦ πατρός; ἢ ἐν ταύτῃ τῇ ἑνώσει εἶναι, ἵνα τὸ Ἰουδαίων ἔθνος στασιάζῃ καὶ διίσταται, καὶ βλασφημῆται ὁ Χριστός; Εἰ οὖν ταῦτα προετίθετο, προετίμησα ἄν, φησι, τὴν δόξαν τοῦ Χριστοῦ καὶ τὴν τῶν πολλῶν σωτηρίαν τῆς ἰδίας. Εἶδες ὑπερβολὴν ἀγαπήσεως Χριστοῦ; Ἐπειδὴ δ' ἐκ τῶν ὄντων πάντων τὴν ἀγάπην ἐπεδείξατο τοῦ Χριστοῦ, νῦν καὶ ἐκ τῶν μὴ ὄντων μέν, καθ' ὑπόθεσιν δὲ λαμβανομένων, διὰ τοῦ νοήματος τούτου ταύτην παρίστησιν, ὅτι καὶ τὴν ἐμὴν σωτηρίαν ἐν ὑποθέσει ὑπὲρ τῆς δόξης αὐτοῦ καὶ τῆς εἰς αὐτὸν τῶν Ἰουδαίων ἐπιστροφῆς κατεβαλόμην ἄν. Καὶ γὰρ διϊστάμενος Παῦλος ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ καὶ τῆς ἐν αὐτῷ τῶν Ἰουδαίων ἑνώσεως, ῥᾷον πάλιν ἠνοῦτο καὶ συνήπτετο, ὥσπερ τις πῶλος μικρὸν τῆς μητρὸς ἀποσπαθείς· καὶ οὕτω πάλιν αὐτός τε ἐσώζετο, καὶ ὁ Χριστὸς ἐπὶ πλέον ἐδοξάζετο, καὶ τὸ Ἰουδαίων ἔθνος ἐσώζετο, καὶ αἱ διαθῆκαι καὶ ἐπαγγελίαι εἰς πέ-

Δημόσια Ιζεντρική Βιβλιοθήκη Βέροιας

ρας ἦρχοντο· μᾶλλον δὲ, οὕτω καὶ ἐπὶ τούτοις διϊστάμενος, οὐ διίστατο, ἀλλὰ πλέον ἠνοῦτο. Ἢ οὐ δοκεῖ σοι, ὅτι, ὅτε Τιμόθεον περιέτεμεν (α), ὅτε αὐτὸς ἠγνίσατο (β), ὅτε τὰ τοῦ νόμου ἐτέλει τὴν χάριν κηρύσσων, τρόπον τινὰ πρὸς τὴν χάριν ἐδόκει διΐστασθαι, καὶ ἑαυτῷ ἐναντιοῦσθαι; Ἀλλ' οὔτε διίστατο, οὔτε ἑαυτῷ ἠναντιοῦτο· ὑπὲρ γὰρ τῆς χάριτος, καὶ τοῦ προσάγαγεῖν πάντας τῷ Χριστῷ, καὶ ταῦτα καὶ τὰ ἄλλα σύμπαντα ἔπραττε. Τοῦτό ἐστιν ἀγάπης ἀξίας Χριστοῦ! τοῦτό ἐστι ψυχῆς ὅλης διόλου εἰς τὸν πόθον ἀναφλεγομένης τοῦ Χριστοῦ! Ἄλλως τε δὲ, οὐδὲ λέγει, *Ἀνάθεμα* γενέσθαι, τουτέστιν, ἀπὸ τοῦ νῦν αὐτοῦ χωρισθῆναι· τοῦτο γὰρ ἀπευκτότατον· ἀλλὰ, *Ἀνάθεμα εἶναι*, τουτέστι, κεχωρισμένον ἔτι εἶναι, καὶ μήπω τῷ Χριστῷ προσελθεῖν. Τοῦτό, φησιν· Ηὐχόμην ἂν, τὸ ἐμὲ αὐτὸν μήπω προσελθεῖν τῷ Χριστῷ, ἀλλ' ἔτι κεχωρισμένον αὐτοῦ εἶναι, εἰ τοῦτο εἰς τὴν ὑμετέραν εἴσοδον καὶ πίστιν τὴν εἰς αὐτὸν συνετέλει. Μὴ γὰρ ὅτι προσῆλθον Χριστῷ, διὰ τοῦτο καὶ ὑμᾶς με προσκαλεῖσθαι νομίσητε, φησι· καὶ πρὸ ἐμοῦ ὑμᾶς ἐβουλόμην προσδραμεῖν αὐτῷ. Εἶτα ἐξῆς λέγει καὶ τὰς αἰτίας.— *Αὐτὸς ἐγώ.*] Οὐχ ἑτέρους, φησὶ, προτιμῶμαι ὑπὲρ ὑμᾶς εἰς τὸ προσελθεῖν τῷ Χριστῷ, ἀλλ' οὐδὲ ἐμὲ αὐτόν. Εἰλόμην γὰρ ἂν μήπω προσελθεῖν αὐτῷ, ἂν διὰ τούτου ὑμεῖς προσήρχεσθε. *Ἀνάθεμα εἶναι.*] Δοκεῖ μὲν ἐθέλειν ὑπὲρ τῶν ἀδελφῶν καὶ τῶν συγγενῶν ἀλλοτριωθῆναι Χριστοῦ· τοῦτο γὰρ ἡ τοῦ ἀναθέματος δύναμις· ὅμως ἀκριβῶς θεωροῦντι, φανήσεται ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ ταῦτα εἰρηκώς. Πῶς; Ἐπειδὴ ἑώρα τὸν Χριστὸν βλασφημούμενον ὑπὸ τῶν Ἰουδαίων, οἱονεὶ λεγόντων· Ἡμεῖς, οἱ τὸν νόμον καὶ τὰς ἐπαγγελίας δεξάμενοι, καὶ προπάτορες αὐτοῦ τοῦ Χριστοῦ χρηματίσαντες, εἰς οὓς ἦν ἡ υἱοθεσία, ἐκβεβλήμεθα, ἀντισῆλθον δὲ ἄνθρωποι, ἄρτι τῶν ζωμῶν καὶ τῆς κνίσσης ἐξελθόντες. Ἐπεὶ οὖν ταῦτα λέγοντας ᾔδει, ὑπὲρ τοῦ

(α) Πραξ. ιϛ', 3. (β) Πραξ. ΚΑ', 24. 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ εἶναι πρόφασίν τινα βλασφημίας κατὰ τοῦ θεοῦ, ἠβούλετο ἐπιστρέψαι καὶ τοὺς Ἰουδαίους, ὡς καὶ ἀνάθεμα ὑπὲρ τούτου ἐθέλειν γενέσθαι, ὅπερ δεικτικόν ἐστι τῆς ἀγάπης τοῦ Χριστοῦ. Ὃν γὰρ οὐδεμία κτίσις χωρίσαι ἴσχυσε, πῶς ἂν ἐχώρισεν ἀγάπη συγγενῶν καὶ ἀδελφῶν; *Λύτὸς ἐγώ.*] Ὁ διδάσκαλος, φησὶ, πάντων, ὁ μυρίους προσδοκῶν στεφάνους, ὁ πάντων αὐτοῦ τὴν ἀγάπην προτιμῶν. *Ἀπὸ τοῦ Χριστοῦ.*] Διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ τοῦτο εἶπεν· ἠβούλετο γὰρ αὐτὸν παρὰ πάντων δοξάζεσθαι· ἀλλὰ μὴ βουλόμενος δημοσιεῦσαι τὸ χάρισμα· (χάρισμα γὰρ τὸ οὕτως ἀγαπᾷν τὸν Χριστόν·) τοὺς συγγενεῖς ἀγαπᾷν αὐτὸν πλέον ὑποκρίνεται. *Ὑπὲρ τῶν ἀδελφῶν μου.*] Θέλων δεῖξαι τὴν ἄφατον αὐτοῦ στοργὴν καὶ σπουδὴν τὴν ὑπὲρ τῶν Ἰουδαίων, αὐτίκα μετὰ τὸ εἰπεῖν, ὅτι Οὐδέν με δύναται χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, ἐπάγει· Ἀλλ' ὑπὲρ τῶν ἀδελφῶν μου· εἰ ἦν τοῦτο συντελοῦν εἰς ὄνησιν αὐτῶν· ηὐξάμην ἂν χωρισθῆναι· τοῦτο γὰρ τὸ *ἀνάθεμα* σημαίνει. *Ὧν ἡ υἱοθεσία, καὶ τὰ ἑξῆς.*] Δείξαι θέλει, ὅτι ὁ θεὸς οὐδὲν παρῆκεν εἰς τὴν τῶν Ἰουδαίων εὐεργεσίαν· αὐτοὶ δὲ, οἰκεία ἀγνωμοσύνῃ πάντων ἐξέπεσον. Διὸ καὶ καταλέγει τὰς δωρεὰς τοῦ θεοῦ, υἱοθεσίαν, δόξαν, νομοθεσίαν, καὶ τὰς λοιπάς. *Ὁ ὢν ἐπὶ πάντων θεός.*] Ἐνταῦθα λαμπρότατα Θεὸν τὸν Χριστὸν ὀνομάζει ὁ ἀπόστολος. Αἰσχύνθητι λοιπὸν, τρισάθλιε Ἄρειε, ἀκούων παρὰ Παύλου δοξολογούμενον τὸν Χριστὸν Θεὸν ἀληθινόν. *Εὐλογητὸς εἰς τοὺς αἰῶνας.*] Αὐτὸς τὴν ὑπὲρ πάντων ἀνήγαγεν εὐχαριστίαν, ὡς εἰ ἔλεγεν· Εἰ γὰρ καὶ Ἰουδαῖοι βλασφημοῦσιν εἰς αὐτὸν, ἀλλ' ἐγὼ, ὁ τὰ ἀπόῤῥητα εἰδὼς, καὶ τὴν πρόνοιαν αὐτοῦ ἐπιστάμενος, οἶδα, ὅτι δοξολογεῖσθαι ὑπάρχει ἄξιος, οἷα Θεὸς ὁ Χριστὸς ἐπὶ πάντων εἰς τοὺς αἰῶνας.

6 Οὐχ οἷον δὲ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ· οὐ
7 γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ· οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλ' « ἐν Ἰσαὰκ

8 κληθήσεταί σοι σπέρμα (α)» τοῦτ' ἔστιν, οὐ τὰ
τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ· ἀλλὰ τὰ
9 τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. Ἐπαγ-
γελίας γὰρ ὁ λόγος οὗτος· «Κατὰ τὸν καιρὸν τοῦ-
τον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱὸς (β)».

Ἰδού, φησι, καὶ ἀνάθεμα ζητῶ γενέσθαι ὑπὲρ τοῦ πιστεῦσαι Ἰουδαίους, καὶ ἵνα μὴ δόξῃ ἐψεῦσθαι ὁ θεὸς ἐφ' οἷς ἐπήγγελται· καὶ ὅμως ἐὰν ἴδωμεν ἀκριβῶς, οὔτε νῦν ἐξέπεσεν ὁ λόγος, καὶ ἡ ἐπαγγελία τοῦ θεοῦ οὐκ ἐψεύσατο. Ταῦτα γάρ, φησιν, εἶπον, *οὐχ οἷον ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ*· τουτέστιν, Οὐκ ἐπειδὴ ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ· ἀλλ' ἵνα τὴν πρὸς αὐτοὺς ἀγάπην ἐνδείξωμαι. Καὶ λοιπὸν δείκνυσι, πῶς ὁ λόγος τοῦ θεοῦ, καὶ ἡ πρὸς Ἀβραὰμ ἐπαγγελία τοῦ θεοῦ οὐκ ἐκπέπτωκε. Ποία δῆτα; Ἡ τὸ κατ' ἐπαγγελίαν αὐτοῦ σπέρμα λέγουσα ἰσάριθμον ἔσεσθαι τοῖς ἄστροις (γ)· κατ ἐπαγγελίαν δὲ αὐτοῦ σπέρμα, τὸ τῶν πιστῶν, καὶ οὐκ ἐκπεπτωκότων τῆς θείας προνοίας. — *Οὐχ οἷον.*] Οὐ μόνον, φησὶν, οὐκ ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ, ἀλλ' οὐδὲ *οἷον* ἐκπέπτωκεν· οἷον· Ἀλλ' οὐδὲ ἐγγὺς γέγονε τοῦ ἐκπεσεῖν, ἢ δοκεῖν ἐκπεπτωκέναι. — *Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, καὶ τὰ ἑξῆς.*] Καὶ πῶς, φησὶν, οὐκ ἐξέπεσεν, ὁ λόγος τοῦ θεοῦ; Πῶς; Ὅτι οὐ πάντες οἱ ἐξ Ἰσραὴλ, Ἰσραηλῖταί εἰσί, τουτέστι, σπέρμα Ἀβραάμ. Εἶτα σαφηνίζει αὐτό. Οὐ γὰρ, ἐπειδή τινες, φησὶ, τέκνα σαρκικὰ τοῦ Ἀβραὰμ, ἤδη καὶ τέκνά εἰσι κατ' ἐπαγγελίαν, καὶ οἷς ἡ ἐπαγγελία ἐδόθη. Ἀλλὰ ποῖα ἐστὶ τέκνα Ἀβραὰμ, ἄκουε, φησὶ, τῆς Γραφῆς. Ὅρα δέ· Οὐκ εἶπεν, ἐξ Ἰακὼβ, ἀλλὰ, *ἐξ Ἰσραήλ*, τὸ τῆς ἀρετῆς γνώρισμα τεθεικὼς, τὸ Ἰσραὴλ, καὶ δεικνὺς τὴν ἄνωθεν δωρεάν. — Εἰ οὐχὶ πάντες, φησὶν, οἱ ἐκ σπέρματος Ἀβραὰμ, οὗτοι καὶ τέκνα Ἀβραὰμ, δῆλον ὅτι ἄλλος ἐστὶ τρόπος ὁ ποιῶν αὐτοὺς τέκνα τοῦ Ἀβραὰμ, καὶ οὐχὶ

(α) Γενεσ. ΚΑ', 12. (β) Γενεσ. ΙΗ', 10. (γ) Γενεσ. ΙΕ', 5. ΚϚ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ ἐξ αὐτοῦ γέννησις. Τίς δὲ οὗτος; Ὁ τῆς ἐπαγγελίας· τουτέστιν· ἐκεῖνοι τέκνα εἰσὶν, οἱ καὶ τῆς ἐπαγγελίας ἀξιωθέντες, καὶ πληθυνθέντες ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, οἷοι εἰσὶν οἱ πιστοὶ, τουτέστιν, οὐ τὰ τέκνα. — *Τοῦτ' ἔστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, καὶ τὰ ἐξῆς.*] Εἶτα ἑρμηνεύει τὴν ἀναγνωσθεῖσαν γραφὴν, τί ἐστι τό· *Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα*· ὅτι οἱ ἐκ τῆς ἐπαγγελίας εἰσὶ τέκνα. Οὐκ εἶπε δὲ, τοῦ Ἀβραὰμ, ἀλλὰ, τοῦ θεοῦ, δεικνὺς, οὐδὲ τὸν Ἰσαὰκ ἁπλῶς εἶναι τοῦ Ἀβραάμ· ὅτι οὐ δυνάμει σπέρματος ἐγεννήθη, ἀλλὰ δυνάμει τοῦ ἐπαγγειλαμένου· ἵνα δείξῃ, ὅτι οἱ τὴν υἱοθεσίαν ἔχοντες, αὐτοί εἰσι κατ' ἐπαγγελίαν τέκνα τοῦ Ἀβραάμ. *Ταῦτα τέκνα τοῦ θεοῦ.*] Ἐπεὶ τούτῳ τῷ λόγῳ καὶ οἱ Ἰδουμαῖοι· ἐπειδὴ ἀπόγονοι ἦσαν Ἀβραάμ· ὅσον τὸ κατὰ σάρκα, ὤφειλον εἶναι τέκνα τοῦ θεοῦ· ἀλλ' οὐκ εἰσί. Κατὰ σάρκα γὰρ αὐτοὶ σπέρμα τοῦ Ἀβραὰμ, ἀλλ' ἡμεῖς ἐσμὲν τέκνα τοῦ Ἀβραὰμ, οἱ τῆς αὐτῆς αὐτῷ πίστεως κοινωνοῦντες, καὶ τέκνα τοῦ θεοῦ, διὰ τῆς κολυμβήθρας τοῦ θείου βαπτίσματος. *Ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας.*] Ὅσοι, φησὶ, κατὰ τὸν Ἰσαὰκ γεννηθῶσιν, οὗτοί εἰσὶ καὶ σπέρμα Ἀβραὰμ καὶ υἱοὶ θεοῦ· ὁ γὰρ Ἰσαὰκ οὐ κατὰ νόμον ἐγεννήθη φύσεως, ἀλλὰ κατὰ δύναμιν ἐπαγγελίας. Οὐκοῦν οἱ γεννώμενοι οὕτως, υἱοὶ Ἀβραὰμ εἰσίν· οὕτω δὲ ἡμεῖς γεννώμεθα διὰ τῆς κολυμβήθρας· ῥήμασι γὰρ καὶ ἡμεῖς ἐπαγγελίας γεννώμεθα· ῥήμασι μέν, διὰ τὸ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος γίνεσθαι τὰς ἐν τῇ κολυμβήθρᾳ καταδύσεις· ἐπαγγελίᾳ δὲ, καθὸ οἱ προφῆται πρὸ πολλῶν χρόνων τὸ βάπτισμα εὐηγγελίσαντο· ὡς τό· « Λούσασθε, καὶ καθαροὶ γένεσθε (α) ».

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα, ἐξ ἑνὸς κοίτην
11 ἔχουσα, Ἰσαὰκ, τοῦ πατρὸς ἡμῶν· Μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, (ἵνα ἡ κατ' ἐκλογὴν τοῦ θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ

(α) Ἡσ. Α', 16.

12 ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος,) ἐρρήθη αὐτῇ· «Ὅτι
13 ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. (α)». καθὼς γέγραπται· « Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα· (β) ».

Καὶ τί, φησι, θαυμαστόν, ὅτι τῶν Ἰουδαίων οἱ μὲν πιστεύσαντες, εἰς σπέρμα Ἀβραὰμ λογίζονται, οἱ δὲ ἄπιστοι, οὐκέτι; Τοῦτο γὰρ καὶ ἐπὶ τῶν παλαιῶν εὑρήσεις. Καὶ γὰρ ὁ Ἰσαὰκ λογίζεται μόνος εἰς σπέρμα, καίτοι ὄντων καὶ τῶν ἀπὸ Χεττούρας. Οὐ μόνον δὲ τοῦτό, φησιν· ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς, τοῦ Ἰσαὰκ, σπέρμα ἔχουσα, καὶ δύο γεννήσασα, οὐκ ἔσχε τοὺς δύο ἀρέσαντας θεῷ, οὐδὲ λογιζομένους εἰς σπέρμα Ἀβραάμ· καίτοι μήπω γεννηθέντες, οὔτε καλὸν ἔπραξαν οὔτε κακόν. Οὕτω, φησὶ, καὶ Ἰουδαῖοι, οἱ μὲν πιστοὶ, καὶ σπέρμα Ἀβραὰμ εἰσὶ, καὶ σώζονται· οἱ δὲ ἄπιστοι, οὐκέτι. *Ἐξ ἑνὸς κοίτην ἔχουσα.*] Ἀλλ' οὐκ ἔσχε τοὺς δύο ἀρέσκοντας τῷ Θεῷ. *Μήπω γὰρ γεννηθέντων.*] Τοῦ Ἡσαῦ καὶ τοῦ Ἰακώβ. *Ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ.*] Τουτέστιν, ἡ κατὰ πρόγνωσιν ἐκλογή. Εἰπὼν, *πρόθεσιν τοῦ θεοῦ*, τὴν βουλὴν αὐτοῦ ἐδήλωσεν· εἰπὼν, *κατ' ἐκλογὴν*, ἔδειξεν, ὅτι καὶ διέφερον ἀλλήλων· οὐδεὶς γὰρ ἐκλέγεται ἕτερον ἀφ' ἑτέρου, εἰ μή τι αὐτοῦ διαλλάσοι. Εἰπὼν δὲ, *οὐκ ἐξ ἔργων*, παρέστησε τὸ μέγεθος τῆς κλήσεως καὶ τῆς χάριτος αὐτοῦ· ὅτι καὶ μηδὲν πραξάντων, ἐκλέγεται καὶ προσκαλεῖται. Ἀλλ' εἰ μηδὲν πραξάντων ἐκλέγεται, πῶς ἐκλέγεται; ἡ μὲν γὰρ ἐκλογὴ ἐπὶ τῶν κατά τι γίνεται διαφερόντων· οἱ δὲ μηδὲν πράξαντες, τί διαφέρουσι; Ναὶ, πάνυ. Ἀνθρωπίνοις μὲν γὰρ ὀφθαλμοῖς, ἐπεὶ οὐδὲν ἔπραξαν, οὐδὲν διαφέρουσι· θείᾳ δὲ προγνώσει τοῦ μέλλοντος, πολλὰ διαφέρουσι· καὶ γὰρ ὁ μὲν εὐηρέστησε τῷ θεῷ· ὁ δὲ οὐκέτι. Ὥστε ἡ ἐκλογὴ καὶ οὐκ ἐξ ἔργων γέγονε, καὶ ἀπὸ τῆς κλήσεως καὶ τῆς χάριτος γέγονε, καὶ δικαίᾳ γέγονεν·

(α) Γεν. ΚΕ', 23. (β) Μαλαχ. Α', 2. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ τὸ δίκαιον τοὺς ἀνθρώπους ἐλάνθανεν, ὥσπερ πλέον ἔτι καὶ νῦν λανθάνει τὸ δίκαιον τὸ ἐπὶ τῆς ἀναιρέσεως τῶν μοσχοποιησάντων (α)· πάντων γὰρ μοσχοποιησάντων, οὐ πάντες ἀνῃρέθησαν. Ἀλλ' εἰ καὶ τοὺς ἀνθρώπους τὸ ἐν τῇ τούτων ἀναιρέσει ἐκπέφευγε δίκαιον, τῷ κριτῇ τῶν ὅλων ἀκριβῶς καὶ ἀδιαπτώτως ἔγνωσται. Καὶ ἐπὶ μυρίων ἄλλων· ὡς καὶ ἐπὶ τῶν καθ' ἑκάστην συμβαινόντων. Πολλὰ γὰρ ἀγνώστους ἡμῖν ἔχοντα τοὺς λόγους, καὶ τοῖς ἀσυνέτοις ἄλογα δοκοῦντα, διὰ τοῦτο τῷ παντεπόπτῃ καὶ παντεφόρῳ τῆς δίκης ὀφθαλμῷ δικαίως καὶ κρίνεται γεγενῆσθαι καὶ διαπράττεται. Ὁ δὲ θεῖος Παῦλος φησὶν, ὅτι, εἰ καὶ μηδεὶς λόγος ἀπόῤῥητος ἐνῆν τοῖς πραττομένοις, οὐδ' οὕτως ἐχρῆν τινὰς ἀδημονεῖν, καὶ ἐπικαλεῖν, διὰ τί ὁ μὲν, οὕτως, ὁ δὲ οὕτω τὸν βίον διαπορεύεται. Ἐξουσίαν γὰρ ἔχει ὁ πλάστης δημιουργεῖν, ὡς βούλεται. Τοῦτο δὲ ἐκ περιουσίας φησὶν· ἐπεὶ καὶ τὸν προειρημένον τρόπον τῆς ἀπολογίας, ἐν οἷς λέγει, ὅτι ἡ Γραφὴ λέγει τῷ Φαραὼ, ὅτι « *Εἰς αὐτὸ τοῦτο ἐξήγειράσε*, καὶ τὰ ἑξῆς (β) ». Ἐνταῦθα γὰρ οἱονεί φησιν, ὅτι ἄλογον ἂν ἔδοξε τοῖς πολλοῖς τὸ ὑψωθῆναι τὸν Φαραὼ καὶ βασιλεῦσαι, μιαρὸν οὕτω καὶ ὠμὸν καὶ ἀπάνθρωπον ὄντα· ἀλλ' ἡ Γραφὴ διδάξασα τὴν αἰτίαν, εἰς εὔλογον μετενήνοχε τὸ ἄλογον· καίτοι καὶ αὐτὸ τὸ εὔλογον, καὶ ἡ λύσις, ἀπορίαν πάλιν τοῖς φιλονείκοις καὶ ἀγνώμοσι δύναται τεκεῖν· ἐροῦσι γὰρ, ὅτι διὰ τοῦτο ἐξήγειρε τὸν Φαραὼ εἰς βασιλέα, ἵνα τὸ ὄνομα αὐτοῦ, τοῦ τιμωρησαμένου αὐτὸν τιμωρίᾳ παραδόξῳ καὶ θαυμαστῇ, ἐνδοξασθῇ. Τί οὖν ἔτι μέμφεται αὐτόν; μᾶλλον δὲ, τί ἔτι ἐτιμωρήσατο αὐτόν; ἃ γὰρ ἥμαρτεν, εἰς δόξαν αὐτοῦ ἥμαρτεν· εἰ μὴ γὰρ ἥμαρτεν, οὐκ ἂν ἐτιμωρήσατο· εἰ μὴ ἐτιμωρήσατο, οὐκ ἂν ἐδοξάσθη. Ἀλλὰ τοῦτο ἐβούλετο· *Ὅπως* γάρ, φησιν, *ἐνδείξωμαι*, καὶ ἑξῆς. Εἰ δὲ ἐβούλετο, τὶς ἀντιστῆναι δύναται αὐτοῦ τῷ βου-

(α) Ἐξοδ. ΛΒ'. (β) Ἐξοδ. Θ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

λήματι. Ὁρᾷς, πῶς ἡ τῆς ἀπορίας λύσις, καὶ τῆς αἰτίας ἀπόδοσις, οὐκ ἔλυσε τὸ ἀπορούμενον τοῖς ἀγνώροσιν, ἀλλὰ καὶ ἑτέρας ἀπορίας ἀφορμὴ γέγονε; Διὸ ἄμεινον, μὴ ζητεῖν τὰς τοιαύτας αἰτίας, ἢ ζητοῦντας, πειζόνων ἀποριῶν αἰτίας τὰς λύσεις ποιεῖσθαι. Τοῦτο γὰρ εὐγνωμόνων πλασμάτων καὶ δούλων, μὴ τὰς αἰτίας ἀπαιτεῖν τὸν δημιουργὸν καὶ δεσπότην· ἀλλ' ἐπὶ πᾶσι τοῖς γενομένοις εὐχαριστεῖν αὐτῷ, κἂν οὐ κατειλήφασι τοὺς λόγους, δι' οὓς γίνεται· μᾶλλον δὲ καὶ ἐπὶ τούτων πλέον ὀφείλομεν εὐχαριστεῖν. Δῆλον γὰρ ὡς, ὧν μὴ κατειλήφαμεν, ἐπὶ τούτων μείζους εἰσὶν οἱ λόγοι καὶ θαυμασιώτεροι καὶ τῆς ἡμῶν ὑπερκείμενοι καταλήψεως. Ὥστε μείζους δεῖ καὶ τὰς εὐεργεσίας προσάγεσθαι. Αὐτὸς δὲ προϊὼν, καὶ τῆς δευτέρας ἀπορίας τίθησι τὴν λύσιν. *Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.*] Μήπω γάρ τι πράξαντα τὸν Ἰακὼβ, ἐκάλεσε ἀγαπητόν· *τὸν γὰρ Ἰακώβ, φησιν, ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. Ἐρρήθη αὐτῇ.*] Ἤγουν, τῇ Ῥεβέκκᾳ· *Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.*] Οἱ μὲν γὰρ ἄνθρωποι ἴσως μετὰ τὸ γενέσθαι· ὁ δὲ θεὸς, πρὸ γενέσεως ἐπίσταται τὰ ἐν τῷ ἀνθρώπῳ.

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; Μὴ γέ-
15 νοιτο! Τῷ γὰρ Μωσῇ λέγει· «Ἐλεήσω, ὃν ἂν ἐλεῶ,
16 καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω (α)». Ἄρα οὖν οὐ
17 τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλε-
οῦντος θεοῦ. Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· «Ὅτι
εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν
σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνο-
18 μά μου ἐν πάσῃ τῇ γῇ (β)». Ἄρα οὖν, ὃν θέλει,
ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει.

Μὴ *ἀδικία παρὰ τῷ θεῷ; Μὴ γένοιτο!*] Ὁ μὲν γὰρ Ἡσαῦ, ὡς κακὸς, ἐμισήθη· ὁ δὲ Ἰακὼβ, ὡς καλὸς, ἠγαπήθη. *Τί οὖν;* Ἀντὶ τοῦ, Τί οὖν ἐροῦμεν περὶ τῶν ἐν τῇ ἐρήμῳ Ἰουδαίων; οὐ πάντες ἐμοσχοποίησαν; Πῶς οὖν εἴρηται· *Ἐλεήσω, ὃν ἂν*

(α) Ἐξοδ. ΑΓ', 19. (β) Ἐξοδ. Θ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλεῶ; Εἰ γὰρ ἀδικία οὐκ ἔστι παρὰ τῷ θεῷ· καὶ ὅμως, πάντων μοσχοποιησάντων, Ἐλεήσω, εἶπεν, ὃν ἂν ἐλεῶ· ἄρα κρυφίοις ὀφθαλμοῖς ὁ θεὸς ἐμβατεύει εἰς τὰς τῶν ἀνθρώπων καρδίας, καὶ οὐχ ὥσπερ οἱ ἄνθρωποι. Οὐκοῦν οὐδὲ ἐπὶ τῶν νῦν Ἰουδαίων ἀδικεῖ ὁ θεός· ἀλλὰ καὶ νῦν, ὅσοι μὲν ἄξιοι, σώζονται· πιστεύουσι γάρ· ὅσοι δὲ ἀνάξιοι, ἀπόλλυνται· οὐ πιστεύουσι γάρ. Ἐλεήσω, ὃν ἂν ἐλεῶ.] Ὡς εἰ εἶπεν· Ἐγὼ οἶδα, τίνες ἄξιοι σωτηρίας, καὶ ὅσοι οὐκ ἄξιοι. Εἰ οὖν Μωσῆς, φησὶν, ἠγνόει τίνες ἄξιοι, καὶ τίνες οὐκ ἄξιοι, σχολῇ γοῦν ἡμεῖς γνοίημεν ἂν τὰς αἰτίας τῶν γινομένων· θεοῦ γὰρ κρίματα τίς ἐξιχνιάσει; Ὄντως οὐδείς. *Ἄρα οὖν οὐ τοῦ θέλοντος, καὶ τὰ ἑξῆς*] Δεῖ μὲν οὖν θέλειν καὶ τρέχειν, καὶ τὴν ἑαυτοῦ ἕκαστον δύναμιν πληροῦν· πλὴν ὅτι δίχα βουλῆς θεοῦ οὔτε ὁ θέλων, οὔτε ὁ τρέχων ἀνύει τι πλέον ἄτερ τῆς τοῦ θεοῦ βοηθείας, λοιπὸν τὸν βουλόμενον σώζεσθαι, ὅτι καὶ θέλει ὁ θεὸς καὶ ἐλεεῖ. Ταῦτα δὲ πάντα εἶπεν ὁ ἅγιος πρὸς τοὺς ἀντιπίπτοντας καὶ λέγοντας· Τί δή ποτε ἐκβέβληται ὁ ἰουδαϊσμὸς παρὰ τῷ θεῷ, ἀντεισήχθη δὲ ὁ χριστιανισμὸς καὶ ἡ πίστις; Θέλων οὖν ἡμᾶς παιδεῦσαι, μὴ ἀπαιτεῖν εὐθύνας τὸν θεὸν ὧν πράττει, ἀλλὰ πάντα ἡγεῖσθαι καλὰ, κἂν ἡμεῖς ἀγνοῶμεν τὰς αἰτίας, πολλὰ θεματοφορεῖ, τουτέστιν, ἀπὸ πολλῶν παραδειγμάτων καὶ σημείων τὸ δυστέκμαρτον τῶν τοῦ θεοῦ κριμάτων παριστᾷ. — ΚΑΙ ΑΛΛΩΣ. Οὐ τοῦ θέλοντος μόνον, οὐδὲ τοῦ τρέχοντος μόνον· ἀλλὰ δεῖ καὶ τοῦ θεόθεν ἐλέου, καὶ τῆς ἐκεῖθεν συμμαχίας. Ἢ καὶ οὕτως ἐκληπτέον τὸ, *Ἄρα οὖν οὐ τοῦ θέλοντος, καὶ ἑξῆς*. Οὐκ ἔστιν ὡς Παύλῳ ὁμολογούμενον, ἀλλὰ μᾶλλον ὡς παρὰ τῶν ἀπορούντων προτεινόμενον. Εἰ γὰρ ὃν θέλει, ἐλεεῖ, καὶ ἑξῆς· εἰ οὖν τοῦτό, φησι, μάτην θέλομεν, καὶ μάτην τρέχομεν. Ἡ ῥῆσις ἄρα εἰς βεβαίωσιν τῆς ἀπορίας, ἀλλ' οὐκ εἰς ἐπίλυσιν τινὸς ἑτέρας. Εἶτα πάλιν ἐπανάληψις τῆς ἀπορίας· *Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει*. Εἶτα, ὡς μὴ ἐξαρκούσης τῆς ἀπορίας τοῦ ἀτόπου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ μέγεθος παραστῆσαι, μετάληψις αὐτῆς ἐπὶ τὸ ἐκ ταύτης ἀνακύπτον ἀτοπώτερον καὶ ἀπορώτερον· *Τί γὰρ ἔτι μέμφεται*, φησι; τί λοιπὸν κολάζει; τίς γὰρ ἀντιστῆναι δύναται τῇ βουλῇ αὐτοῦ; Οὕτω τὴν ἀπορίαν αὐξήσας καὶ τραχύνας, ἐπάγει δι' ἐπιτιμήσεως τὴν λύσιν σφόδρα δριμέως καὶ προσφυῶς, οὕτω λέγων· *Σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ θεῷ;* οἷον· Σὺ τί νῦν ποιεῖς, ἀνταποκρινόμενος τῷ θεῷ; Ἀνθίστασαι καὶ πολεμεῖς τῇ βουλῇ αὐτοῦ καὶ τῇ πράξει αὐτοῦ, ἢ οὔ; Εἰ μὲν γὰρ οὐχί, τί ἀντιλέγεις; τί ἀνταποκρίνῃ τῷ θεῷ; Εἰ δὲ ἀνθίστασαι, καὶ ἀντιλέγεις, καὶ ἀνταποκρίνῃ, πῶς λέγεις ὅτι, *τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;* Ὥστε εἰ μὲν ἀνθίστασαι, μάτην καὶ κατὰ σαυτοῦ ἐρεῖς, *Τί ἔτι μέμφεται·* εἰ δὲ μὴ ἀνθίστασαι, οὐκέτι ἐρεῖς ὅλως, *Τί ἔτι μέμφεται*, οὐδὲ τό· *Ἄρα ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει·* οὐδ' εἰς λογισμοὺς ἄρα ὅλως ἐξαχθήσῃ τοιούτους, λογοθετεῖν τὸν δημιουργόν, ἐφ' οἷς πράττει, καὶ οἰκονομεῖ τὸν κόσμον· οὐδ' ἀντιλέγειν αὐτῷ καὶ ἀνθίστασθαι. Οὕτως οὖν, σπερματικῶς εἰπὼν τὴν ἀνατροπὴν τῆς ἀπορίας, καὶ ἑτέραν λύσιν ἀπὸ τῆς τῶν παρ' ἡμῖν δημιουργημάτων φύσεως καὶ ἰδιότητος ἐπάγει· τοῦτο μέν, παραινετικὴν περιέχουσαν συμβουλὴν καὶ διδασκαλίαν· τοῦτο δέ, καὶ ἀντιῤῥητικὸν ἔλεγχον. Καὶ ἡ μὲν παραινετικὴ συμβουλὴ καὶ διδασκαλία τοιαύτη· Τί ἀντιλέγεις; τί ἀνταποκρίνῃ τῷ πλάστῃ καὶ δημιουργῷ; Μίμησαι τὰ ἄλλα πλάσματα, ὁ λογικός, τὰ ἄλογα, ὁ ἔμψυχος, τὰ ἄψυχα, ὁ πλέον χρεωστῶν ἐξυμνεῖν τὸν πλάστην, ἢ ἐκεῖνα τοὺς πλασουργοὺς τοὺς ἰδίους. Ἐκεῖνα οὐκ ἀντιλέγει, οὐδὲ ἀνθίσταται τῷ δημιουργοῦντι, καίτοι φύσει δουλεύοντα· ἀλλ' ὅμως πρὸς τὸ ἐκείνου μετασχηματίζεται βούλημα, πάντα παραχωροῦντα τῷ τεχνίτῃ· καὶ σὺ, μηδὲ φύσεως ἀνάγκῃ δουλεύων, ἀλλὰ λόγῳ τιμηθεὶς καὶ αὐτεξουσιότητι, οὐχ ὑπείκεις τῷ τοῦ πλάσαντος βουλήματι, καὶ στέργεις τὴν κυβέρνησιν, ἀλλὰ λογοθετεῖς, καὶ ἀντιπίπτεις, καὶ εὐθύνας ἀπαιτεῖς τῶν πραττομένων καὶ προνοουμένων;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡ δέ γε κατ' ἔλεγχον ἀντίρρησις τοιαύτη· Ἀνταποκρίνῃ τῷ θεῷ, ὡς ἄκων ἁμαρτάνεις, ἅτε νικῶντος αὐτοῦ τὴν σὴν γνώμην τοῦ βουλήματος, καὶ τὸ αὐτεξούσιον ταύτῃ περιῃρημένος. Καὶ μὴν οὐχ ὁρῶμεν ἐπὶ τῶν μὴ αὐτεξουσίων πλασμάτων, ἃ σὺ ποιεῖς· ἐκεῖνα οὐκ ἀντιλέγει τοῖς πλάττουσι, Τί με οὕτως, ἢ οὕτως ἐποίησας; ἤ, Τί οὕτως, ἀλλὰ μὴ οὕτως; ἢ ὅλως τί με ἐποίησας; σὺ δὲ καὶ ἀντιλέγεις, καὶ εὐθύνας τὸν πλάστην ἀπαιτεῖς. Οὐκ ἄρα τοῦ αὐτεξουσίου ἐστέρησαι· οὐκ ἄρα ἄκων ἁμαρτάνεις. Δικαίως ἄρα καὶ καλάζῃ σὺ, καὶ ὑπὸ μέμψιν πίπτεις, αὐτεξούσιος ὢν καὶ μὴ πράττειν τὰ δέοντα. Καὶ ταῦτα μὲν περὶ τούτων. Τὸ δὲ, *Ἢ οὐκ ἔχει ὁ κεραμεὺς ἐξουσίαν*, καὶ τὰ ἑξῆς, ἄλλο ἐστὶν ἐπιχείρημα κατὰ ἀντιπερίσασιν προαγόμενον. Δεδόσθω, φησὶ, κατὰ τὸν σὸν λόγον, καίτοι ἐλεγχθέντα, ὅτι οὐκ εἰ αὐτεξούσιος, ὅτι ὁ θεὸς οὕτως ἔπλασέ σε. Οὐδ' οὕτως ἐστὶ δίκαιον ἀντιλέγειν καὶ μέμφεσθαι τῷ θεῷ. Εἰ γὰρ καὶ μηδὲν ἄλλο προνόμιον αὐτῷ ἀποδοῦναι βούλει, τῷ ὑπὲρ πάντα ὄντι καὶ λόγον καὶ ἔννοιαν· ἀλλὰ τέως τὸ πᾶσι κοινὸν ὑπάρχον τοῖς ὁπωσδήποτε δημιουργοῖς λίαν ἐστὶν ἄτοπον καὶ ἀσεβὲς ἀφαιρεῖν ἀπ' αὐτοῦ. Τί οὖν ἐστι τοῦτο; Οὐδὲν τῶν δημιουργημάτων τὸν οἰκεῖον δημιουργὸν ἐπιμέμφεται καὶ εὐθύνει· ἀλλ' ἐξουσίαν ἔχει ἕκαστος δημιουργὸς δημιουργεῖν, ὡς βούλεται, καὶ πλάττειν, καὶ ἀνεύθυνός ἐστι, καὶ μάλιστα ὑπὸ τῶν πλασμάτων. Ὥστε καὶ σὺ, εἰ καὶ ὡς λέγεις οὕτως ἐπλάσθης, οὐκ ὀφείλεις μέμφεσθαι ἢ ἀντιλέγειν, κατὰ τὸν κοινὸν τῶν πλασμάτων νόμον καὶ ὅρον. —*Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ, καὶ τὰ ἑξῆς.*] Τούτου τὴν λύσιν κάτω λέγει, φάσκων, ὅτι ὁ Φαραὼ διὰ τὴν οἰκείαν κακίαν ἔπαθεν, ἅπερ ἔπαθεν, ὡς ὄγε θεὸς σῶσαι αὐτὸν ἤθελε· τοιγαροῦν καὶ ἐμακροθύμει, χώραν αὐτῷ μετανοίας δούς.— *Τὴν δύναμίν μου.*] Δύναμις θεοῦ, ἡ μακροθυμία, καὶ δύναμις μεγίστη. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη, τοσοῦτον μακροθυμήσαντος τοῦ θεοῦ; Φησὶν οὖν, Ὅτι εἰς τοῦτό σε συγκεχώρηκα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιλεῦσαι, ὅπως φανῶ μακρόθυμος.—Ἄρα οὖν, ὃν θέλει, ἐλεεῖ, καὶ τὰ ἑξῆς.] Τὸν ἄξιον ἐλεεῖσθαι, ἐλεεῖ· τὸν δὲ σκληρὸν καὶ ἀπειθῆ, σκληρὸν εἶναι συγχωρεῖ· οὐ γὰρ κρίσεως ὁ παρὼν καιρὸς, ἀλλὰ πολιτείας καὶ αὐτεξουσιότητος. Τὸ δὲ, *σκληρύνει*, ἀντὶ τοῦ, ἐᾷ αὐτὸν σκληρὸν εἶναι, συγχωρῶν εἰς τὸ αὐτεξούσιον.—Ὃν δὲ θέλει, *σκληρύνει*.] Τὸ ἐσκληρῦνθαι παρά τοῦ θεοῦ τὸν Αἰγύπτιον τύραννον, οὐχ ὡς τὴν ἀντιτυπίαν ἐν τῇ ψυχῇ αὐτοῦ τῆς θείας βουλήσεως ἐντιθείσης νοητέον, ἀλλ' ὡς τῆς προαιρέσεως, διὰ τῆς πρὸς τὴν κακίαν προσκλίσεως, τὸν ἐκμαλάσσοντα τὴν ἀντιτυπίαν λόγον οὐ δεχομένης.—Ἐσκλήρυνεν ὁ θεὸς τὸν Φαραὼ, τῇ μακροθυμίᾳ καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτοῦ τὴν κακίαν, ἵνα, εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτοῦ τῆς πονηρίας, τὸ δίκαιον ἐπ' αὐτῷ τῆς θείας κρίσεως διαφανῇ.

19 Ἐρεῖς οὖν μοι· Τί ἔτι μέμφεται; τῷ γὰρ βουλή-
20 ματι αὐτοῦ τίς ἀνθέστηκε; Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ θεῷ; Μὴ ἐρεῖ τὸ
21 πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

Ὡς ἐξ ἀκολουθίας ἴσως ἐρεῖς· τί οὖν λοιπὸν παρ' ἡμᾶς; Τί ἔτι μέμφεται καὶ κολάζει; Τίς γὰρ αὐτοῦ ἀνθίσταται τῇ βουλῇ καὶ τῷ θελήματι; Εἶτα ἐπιστομίζει τοὺς πάντα θέλοντας μαθεῖν, ἃ ποιεῖ ὁ θεὸς, καὶ τοὺς λόγους αὐτῶν, ἤγουν τῶν πραγμάτων, εἰδέναι. Ὑπὲρ γὰρ ὧν μανθάνεις, φησὶ, χάριν ἔχε· ὑπὲρ ὧν δὲ ἀγνοεῖς, μὴ δυσχέραινε, μὴ ἐξέταζε, μὴ πολυπραγμόνει, γινώσκων πληροφορούμενος, ὅτι δικαίως καὶ κατὰ ὀρθὸν λόγον προβαίνει, κἂν σὺ τοὺς λόγους ἀγνοῇς. Καὶ ἐπειδὴ οὕτως ἔχει τὸ ἀληθὲς, Σὺ τίς εἶ, ὦ ἄνθρωπε, *ὁ ἀνταποκρινόμενος*, τουτέστιν, ὁ ἀντιτασσόμενος καὶ ἐρευνῶν; Καλὸν δὲ τὸ, *Σὺ τίς εἶ*; Κοινωνὸς, φησὶν, εἶ τῆς ἀρχῆς αὐτῷ; ἀλλὰ κριτής τις εἶ;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ ἐρεῖ τὸ πλάσμα.] Οὐ τὸ αὐτεξούσιον ἀναιρῶν λέγει ταῦτα· ἄπαγε! ἀλλὰ δεικνὺς, ὡς πᾶσι τρόποις χρὴ πείθεσθαι τῷ θεῷ, κἂν ἀγνοῶμεν τοὺς λόγους τῶν γινομένων· ὡς ἐν τῷ γε ἀπαιτεῖν τῶν γινομένων εὐθύνας τὸν θεὸν ἢ μὴ ἀπαιτεῖν, πεπεῖσθαι προσήκει, καθάπερ ὁ πηλὸς τῷ κεραμεῖ. *Ἢ οὐκ ἔχει ἐξουσίαν.*] Ἔχει, φησὶν, ἐξουσίαν ὁ θεὸς, ὁ ἐγείρων τοὺς νεκροὺς, τοὺς μὲν, εἰς δόξαν, τοὺς δὲ, εἰς αἰσχύνην ἐγεῖραι, κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστῳ ἀνθρώπῳ βεβιωμένων. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ. *Ὁ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν.*] Οὐκ ἐπειδὴ τοὺς μὲν, ἀγαθοὺς, τοὺς δὲ, οὐ τοιούτους ποιεῖ ὁ θεὸς, ἄπαγε! ἀλλὰ πάντα μὲν τὰ τοῦ θεοῦ χρηστά· καὶ τό γε ἧκον εἰς αὐτὸν, τουτέστι, κατὰ τὴν ἑαυτοῦ βουλὴν καὶ θέλησιν, ἐβούλετο πάντας εὐδοκιμεῖν, καὶ ἐναρέτους εἶναι, καὶ πιστούς· ἀλλ' ὡς πρὸς τὴν ἐξουσίαν, ἣν ἔχει ὁ θεὸς ποιεῖν, ἃ βούλεται, τοῦτο αὐτῷ εἴρηται· πάντα δὲ καλῶς καὶ πρεπόντως ποιεῖ, κἂν ἡμεῖς τοὺς λόγους ἀγνοῶμεν· καί φησιν· *Ὥσπερ ὁ κεραμεὺς ὃ θέλει ποιεῖ, καὶ ὁ πηλὸς οὐδὲν ἀντιλέγει ἢ περιεργάζεται, οὕτω μηδὲ σὺ περιεργάζου, ἢ ἀγνοῶν δυσχαίρενε, ἃ ἂν ὁ θεός σε ἀγνοεῖν βούληται.* Καὶ γὰρ ἄγνοιά σοι πάντως συμφέρει· ἢ γὰρ ἂν ἐδιδάχθης εἰς ἃ οὐκ ἔμαθες.

22 Εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακρο-
23 θυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη
24 ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν· οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

Μακροθυμίαν ἠθέλησεν ἐνδείξασθαι· ἀλλ' ἐπειδὴ [ὁ Φαραὼ] εἰς ἀπόνοιαν τῇ μακροθυμίᾳ τοῦ θεοῦ ἐχρήσατο, καὶ λοιπὸν ὀργὴν ἐνεδείξατο. Ὅρα τὰ κρίματα τοῦ θεοῦ! Πρὸς ταῦτα πάντα τὰ ἀνεξιχνίαστα κρίματα αὐτοῦ, σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεῷ; Ἀπὸ κοινοῦ τοῦτο ἀκουστέον· ἢ κατ' ἔλλειψιν ἐκληπτέον· οἷον· Εἰ θέλων ὁ θεὸς ἐνδείξασθαι, καὶ τὰ ἑξῆς· εἶτα τάδε καὶ τάδε ἐποίησε, καὶ πάντα ἐπὶ συμφέροντι καὶ σοφῶς, πῶς σὺ τολμᾷς εὐθύνας ἀπαιτεῖν τῶν τοιούτων πανσόφων καὶ ἀκαταλήπτων ἔργων; — ΚΑΙ ΑΛΛΩΣ. Τὸ, *Εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι*, ἢ τοῦ πρὸ αὐτοῦ ἐπιχειρήματός ἐστιν ἐξαγγελτικόν, διὰ πλειόνων ἐκεῖνο πλατύνον καὶ ἀπαγγέλλον· ἢ ἰδίως πρὸς τοῖς εἰρημένοις ἕτερον εἰσάγει, εἰς τὴν αὐτὴν ὑπόθεσιν συντελοῦν. Ἔδει, φησὶ, γνωρισθῆναι τὴν τιμωρητικὴν δύναμιν τοῦ θεοῦ, ἔδει τὴν μακροθυμίαν, ἔδει τὴν φιλανθρωπίαν καὶ τὸ ἔλεος, καὶ τὴν ἄρατον αὐτοῦ δόξαν καὶ πολλήν. Ταῦτα δὲ πόθεν δείκνυται; Ἐκ τῶν δοκούντων τοῖς πολλοῖς παραλόγων· ἐκ τοῦ Φαραώ, ἐκ τοῦ καλέσαι τὸν οὐ λαὸν, λαὸν, ἐκ τοῦ, τὸ κατάλειμμα σωθῆναι, καὶ ἐκ τῶν παραπλησίων. Ὥστε ἐξ ὧν οἱ ἀγνώμονες ἀδικίαν καταψηφίζονται τοῦ θεοῦ, οἱ εὐγνώμονες μεγάλα κερδαίνουσιν. Οὐκ ἄρα ἡ τῶν πραγμάτων φύσις ἔχει τὸ ἄπορον, ἀλλ' ἡ τῶν ἀγνωμονούντων τὸ βλάσφημον. — ΑΛΛΩΣ. Τὸ, *Εἰ δὲ θέλων*, καὶ ἑξῆς, ἀπὸ τῶν πρὸ αὐτοῦ ἤρτηται. Εἰ θέλων, φησὶν, ὁ θεὸς ἐνδείξασθαι· καὶ ἵνα γνωρίσῃ· καὶ ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος· καὶ τὸ κατάλειμμα τοῦ Ἰσραὴλ σωθήσεται· εἰ ταῦτα ποιεῖ, σύ τις εἶ, ὁ ἀνταποκρινόμενος τῷ θεῷ; — *Ἐνδείξασθαι τὴν ὀργήν.*] Οὐκ ἄρα ὀργῆς πάθει ἦλω θεὸς, ἄπαγε! ἀλλ' ἐπειδὴ ταῦτα ἐποίησεν, ἃ ἡμεῖς ὀργιζόμενοι ποιοῦμεν, ὀργὴν τὸ πρᾶγμα, ἐκ τοῦ ἡμῖν γνωρίμου, ἐκάλεσεν. *Ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς.*] Τουτέστι, Πάνυ ἐμακροθύμησεν, εἰς μετάνοιαν ἄγων τὸν Φαραώ· ὡς δὲ οὐκ ἦλθε πρὸς σωφρονισμὸν, ἐτιμωρήσατο αὐτόν. *Σκεύη ὀργῆς.*] Ὁ μὲν θεὸς ἐμακροθύμησεν ἐπ' αὐτόν· ὁ δὲ Φαραὼ γέγονε *σκεῦος ὀργῆς*, τουτέστιν, ἄνθρωπος τὴν τοῦ θεοῦ ἀνάπτων ὀργὴν, ἢ τὴν τοῦ θεοῦ ὀργὴν ἐπισπώμενος. Καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ εἰς ἀπώλειαν *κατηρτισμένος*, τουτέστιν, ἀπηρτισμένος καὶ τε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελειωμένος πρὸς τὸ δεῖν ἀπολέσθαι· δηλῶν, ὅτι αὐτός ἐστιν αἴτιος τῆς τοῦ θεοῦ ὀργῆς καὶ τῆς ἑαυτοῦ ἀπωλείας. Οὐ γὰρ αἴτιος ὁ θεὸς τῶν κακῶν, ἀλλ' ἕκαστος ἑαυτὸν κατασκευάζει σκεῦος ὀργῆς, καθάπερ καὶ σκεῦος φιλανθρωπίας, τουτέστιν, ἐλέους. Οὕτω καὶ ὁ Φαραώ, οὐ παρὰ τὸν θεὸν, ἀλλὰ παρὰ τὴν οἰκείαν κακίαν πέπονθεν, ἃ πέπονθε. *Κατηρτισμένα εἰς ἀπώλειαν.*] Τί, φησιν, ἀλογίαν καταγινώσκεις τοῦ θεοῦ; Κατὰ ὑποστιγμὴν ἀναγνωστέον. Καὶ ἐπειδὴ οὕτω συμβαίνει, τί, φησιν, ἀλογίαν καταγινώσκεις; *Ἤνεγκεν εἰς ἀπώλειαν.*] *Ἀπώλειαν* δὲ νῦν τὴν διαφθοράν φησιν. *Ἤνεγκε* δὲ ὁ θεὸς *εἰς ἀπώλειαν*, οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐκείνους τοὺς καταρτίσαντας ἑαυτοὺς εἰς σκεύη ὀργῆς. Ἀλλ' ὅμως οὖν καὶ ἐπὶ τούτων, καίτοι τοιούτους ἑαυτοὺς παρασκευασάντων, πολλὰ πρότερον μακροθυμήσας, οὕτως ἐχρήσατο τῇ κατὰ τὸ δίκαιον τιμωρίᾳ. Ἢ μᾶλλον οὕτω νοήσεις· *Ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ, σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν.* Ὑπήνεγκέ, φησιν, ὑπέμεινε, καὶ ἐν πολλῇ μακροθυμίᾳ. Πῶς δὲ ἐν πολλῇ μακροθυμίᾳ; Ὅτι ἕτοιμα καὶ ἀπηρτισμένα ὄντα εἰς ἀπώλειαν, καὶ μονονοὺ διὰ τὴν ὑπερβολὴν τῆς κακίας πεπληρωμένα ὄντα δικαίας ὀργῆς, ὅμως ἔτι ἠνείχετο καὶ διεβάσταζεν, ἐπιστροφὴν ἐκδεχόμενος. Ὅτι οὖν οὐκ ἀπόλλυσι ταῦτα τὰ σκεύη, παντὶ που δῆλον· κατήρτισε γὰρ αὐτὰ ἑαυτὰ εἰς ἀπώλειαν. Ἀπόλλυσι δὲ μετὰ τὸ ἀπαρτίσαι αὐτὰ ἑαυτὰ, μετὰ τὸ εἰς τέλος κακίας ἀναδραμεῖν, μετὰ τὸ μηδὲν ἀπὸ τῆς μακροθυμίας ἀπώνασθαι. Καὶ δείκνυται διὰ τῆς εἰς αὐτοὺς δικαίας τιμωρίας τοῦ θεοῦ καὶ *τὸ δυνατὸν αὐτοῦ*, τουτέστιν, ἡ τιμωρητικὴ δύναμις, καὶ ἡ ἔνδειξις τῆς ὀργῆς, ἧς εἰσιν ἄξιοι τυγχάνειν οἱ τοιοῦτοι. *Καὶ ἵνα γνωρίσῃ.*] Δυσὶ τρόποις σχηματίζεται τάδε τὸ ῥητὸν· ἀπὸ κοινοῦ καὶ ἐλλειπτικῶς. Ἀπὸ κοινοῦ μὲν γὰρ δεῖ λαβεῖν τὸ, *ἤνεγκεν*· Ἤνεγκε σκεύη ὀργῆς, καὶ ἤνεγκε σκεύη ἐλέους. Ἐλλειπτικῶς δέ, ὅτι οὐκ εἶπεν, εἰς τί ἤνεγκε τὰ σκεύη τοῦ ἐλέους, ὥσπερ ἐκεῖ εἶπε τὰ σκεύη τῆς ὀργῆς, ὅτι εἰς ἀπώλειαν. Ἐξακουστέον

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν ἐντεῦθεν τὸ, Εἰς σωτηρίαν. Τοῖς γὰρ καταφρονοῦσι καὶ ὑπερορῶσι τῆς δυνάμεως τοῦ θεοῦ, ἀναγκαῖον καὶ συμφέρον ἦν γνωρίσαι αὐτοῖς διὰ τιμωρίας τὸ δυνατὸν, καὶ πανσθενὲς, καὶ πανεπίσκοπον αὐτοῦ. *Ἐπὶ σκεύη ἐλέους.*] Ὥσπερ, φησὶν, εἰς τὰ σκεύη τῆς ὀργῆς, τουτέστι, τὸν Φαραὼ, ἤνεγκεν ὀργὴν, πολλὰ πρότερον μακροθυμήσας· οὕτω καὶ εἰς τὰ σκεύη τοῦ ἐλέους, τουτέστιν, εἰς τοὺς ἀξίους τοῦ ἐλεεῖσθαι ἡμᾶς, ἤνεγκε φιλανθρωπίαν· τοῦτο γὰρ συνυπακουστέον. *Ἃ προητοίμασε.*] Προητοίμασε δὲ, ἐπεὶ ἔγνω ἀξίους ἐλέους διὰ τὴν πίστιν· τοῦτο δὲ εἰς δόξαν αὐτοῦ συντείνει. *Προητοίμασεν*, ὡς προγνώστης, καὶ εἰδὼς, ὅτι σπουδαῖοι ἔσονται. Προητοίμασεν οὖν τὰ ἄξια ἐλέους αὐτοῦ σκεύη, *εἰς δόξαν*, τουτέστιν, εἰς τὸ δοξασθῆναι αὐτά. Καὶ γὰρ ὁ πλοῦτος τῆς δόξης αὐτοῦ ἐγνωρίσθη ἐν ἡμῖν· ὅτι τοῖς εἰδώλοις προσανακειμένους, καὶ δούλους ὑπάρχοντας παθῶν καὶ ἁμαρτίας, οὐ μόνον τούτων ἠλευθέρωσεν, ἀλλὰ καὶ διὰ υἱοθεσίας ἐδόξασεν.— *Οὐ μόνον ἐξ Ἰουδαίων.*] Ὁρᾷς, ὅτι οὐ μονομερῶς ὁ θεὸς, ἀλλὰ καὶ ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν σώζει διὰ τῆς πίστεως τοὺς ἀξίους σωτηρίας;

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· « Καλέσω τὸν οὐ
λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην,
26 ἠγαπημένην. Καὶ ἔσται, ἐν τῷ τόπῳ, οὗ ἐῤῥήθη
αὐτοῖς· Οὐ λαός μου ὑμεῖς· ἐκεῖ κληθήσονται υἱοὶ
27 θεοῦ ζῶντος (α) ». Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· « Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται.

Ὅτι δὲ οὐχ ἁπλῶς, οὐδ', ὡς ἂν εἴποι τις, μονομερῶς ἔσωσεν ὁ θεὸς τοὺς ἐξ ἐθνῶν πιστοὺς, ἀλλ' ἐπειδὴ ἄξιοι ἦσαν σωτηρίας, παράγει τὸν προφήτην πρὸ τοσούτων χρόνων τοῦτο προαναφωνοῦντα. Ἰδοὺ γὰρ ὁ θεὸς, καὶ *λαὸν*, καὶ *ἠγαπημένην* ἐκκλησίαν, καὶ *υἱοὺς* καλεῖ τοὺς ἐξ ἐθνῶν. Τί δή ποτε; Πάν-

(α) Ὡσ. Α', 10. Β', 23.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τως διὰ τὴν αὐτῶν εὐγνωμοσύνην καὶ πίστιν. *Τὴν οὐκ ἠγαπημένην.*] Τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἥτις οὐκ ἠγάπητο πρότερον· οὐ γὰρ ἐγίνωσκε θεόν. *Οὐ λαός μου ὑμεῖς.*] Τὰ γὰρ ἔθνη ἀπηρνεῖτο ὁ θεὸς πάλαι διὰ τὴν δεισιδαιμονίαν. *Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ.*] Οὐδέν, φησιν, ὑποστελλόμενος, ἀλλὰ διαῤῥήδην βοᾷ. *Τὸ κατάλειμμα σωθήσεσαι.*] Οὐ πάντες, φησίν, ἀλλὰ μέρος ἐξ αὐτῶν· τοῦτο γὰρ τὸ *κατάλειμμα*. Ἰδοὺ, ὁ θεὸς διὰ τῆς ἑαυτοῦ ἀῤῥάτου φιλανθρωπίας, καὶ ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν ποιεῖ λαὸν ἑαυτοῦ καινόν.

28 Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς
29 γῆς (α).» Καὶ καθὼς προείρηκεν Ἡσαΐας· «Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορῥα ἂν ὡμοιώθημεν (β).»

Τὸ, *συντελῶν*, δηλοῖ, ὅτι πέρας ἔξουσι πάντες λόγοι πίστεως καὶ γνώσεως θεοῦ· καὶ οὐκ ἔσαι ἕτερος μετὰ τοῦτον τὸν νῦν κηρυσσόμενον, καθώσπερ ἦν τὰ Ἰουδαίων, καὶ μετέπεσεν εἰς τὰ νῦν· ἀλλ' ἐπὶ συντελείας πάσης πίστεως καὶ παντὸς λόγου δέδοται νῦν τῆς πίστεως λόγος. Ὁ μὲν Μωσαϊκὸς νόμος ἐδόθη, προδιατυποῦντος θεοῦ, καὶ προδιαγράφοντος τὸν τῆς χάριτος λόγον· τὸν δὲ εὐαγγελικὸν δίδωσι, *συντελῶν καὶ συντέμνων*, τουτέστιν, ἀπαρτίζων ἅπαντα, καὶ εἰς τέλος ἄριστον ἄγων, μηδεμίαν ἑτέραν δυνάμενον ἐπανόρθωσιν ἢ τελείωσιν δέξασθαι. Τοῦ δὲ, *Λόγον γὰρ συντελῶν καὶ συντέμνων*, τίνος ἕνεκα ἐμνήσθη; Ὥσπερ αἰτίαν τινὰ τῶν προειρημένων ἀποδιδοὺς, τοῦτο συνῆψε. Καὶ λέγομεν, ὅτι λίαν αὐτὸ ἁρμοζόντως καὶ προσφυῶς διὰ πολλὰς αἰτίας ἐπισυνῆψε. Πρῶτον μὲν γὰρ, ἐπειδὴ εἶπεν ὅτι, *Καλέσω τὸν οὐ λαόν μου*, καὶ τὰ ἑξῆς· ἵνα μή τις εἴπῃ· Καὶ τί τοῦτο; ὥσπερ γὰρ ἐγένοντο ἐκ λαοῦ τινες, οὐ λαὸς, οὕτω κἂν ἐξ οὐ λαοῦ, λαὸς γένωνται, οὐδὲν κω-

(α) Ἡσ. Ι', 22. 23. (β) Ἡσ. Α', 9.

λύει καὶ τούτους πάλιν γενέσθαι οὐ λαόν. Οὐχ οὕτω, φησί· *Λόγον γὰρ συντελῶν καὶ συντέμνων.* Ἐκεῖνα μὲν γὰρ μετέπιπτε καὶ μετετίθετο, ἐπὶ τὰ κρεῖττον πάντων ὀφειλόντων μετάρρυθμίζεσθαι· νῦν δὲ οὐκέτι· ὅτι τετελειωμένη ἐστὶν ἡ νῦν κλῆσις, καὶ ἡ πνευματικὴ νομοθεσία, καὶ ἡ ὑπόσχεσις. Διὰ τοῦτο μὲν ἐμνήσθη τοῦ, *Λόγον γὰρ συντελῶν.* Δεύτερον δὲ, ἐπειδὴ εἶπεν· *Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης,* καὶ τὰ ἑξῆς· ἵνα μὴ εἴπωσιν ὅτι· Πολλάκις ἐπαγγελιῶν πολλῶν ἀκούσαντες, ἢ οὐδ' ὅλως ἐτύχομεν, ἢ μετὰ μακρὸν καὶ πολὺν χρόνον· καὶ γὰρ καὶ πολλῶν ἐξέπιπτον διὰ τὴν ἀχαριστίαν καὶ ἀγνωμοσύνην αὐτῶν· ἵνα οὖν μὴ οὕτω λέγωσιν οἱ Ἰουδαῖοι· Οὐχ οὕτω δὲ καὶ νῦν, φησίν· ἀλλ' ἐὰν μόνον βούλησθε, τετελειωμένη καὶ σύντομος ἐπὶ χεῖρας ἡμῶν ἡ σωτηρία. Καὶ ταῦτα μέν, ὅτι λίαν ἡρμοσμένως ἐπισυνῆψεν· ἔχει δὲ καὶ ἰδίαν διδασκαλίαν· (τοιοῦτον γὰρ τὸ ἰδίωμα τοῦ θεσπεσίου·) καὶ συνάπτει καὶ ἀλληλουχεῖ τὰ ἐφεξῆς λεγόμενα τοῖς προειρημένοις, καὶ ἰδίαν πάλιν ἔννοιαν καὶ διδασκαλίαν δι' αὐτῶν πηγάζει. Γονιμώτατος γὰρ ὢν τοῖς νοήμασι, βραχυτάτοις ῥήμασι πολλὰς καὶ ποικίλας διανοίας περιλαμβάνει. Καὶ νῦν οὖν φησι· Μὴ νομίζετε, ὦ Ἰουδαῖοι, ὅτι ἡ εὐαγγελικὴ νομοθεσία, ὥσπερ ἡ Μωσαϊκὴ, παυθήσεται· ἐκείνη τύπος ἦν, καὶ πρὸς ἄλλην ἔβλεπε τελειότητα· καλῶς οὖν ἐπαύθη· ἡ δὲ δεσποτικὴ νομοθεσία, τετελειωμένη ἐστί· πρὸς ταύτην ἔβλεπεν ἡ Μωσαϊκὴ, καὶ ταύτης ἦν τύπος. Ἐν αὐτῇ γάρ ἐστιν ἡ ἀληθινὴ καὶ τελεία δικαίωσις ἡμῶν καὶ σωτηρία, καὶ μετ' αὐτὴν οὐκ ἔστιν ἑτέρα. Διὸ εἰκότως ἐκείνη μὲν πέπαυται, καὶ ἔτι τελείως παυθήσεται· αὕτη δὲ, διαπαντὸς ἔσται. Ταῦτα δὲ δῆλον ὅτι φησὶ, πρατρέπων εἰς τὴν εἰς Χριστὸν πίστιν καὶ τὴν πολιτείαν τὴν κατὰ τὸ εὐαγγέλιον. *Ὅτι λόγον συντετμημένον.*] Λόγον συντετελεσμένον καὶ συντετμημένον ἔδωκέ, φησι, σύντομον· ὁ δὲ συντετμημένος καὶ συντετελεσμένος λόγος, ὁ τῆς πίστεως ἐστὶν, ὅστις δικαιώσει τοὺς πιστεύον-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας. — ΑΛΛΩΣ. *Λόγον συντετμημένον*, τὴν πίστιν λέγει. Ἐὰν γάρ, φησι, εἴπῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ (α). Τὸ δὲ, *ποιήσει*, ἀντὶ τοῦ, δώσει. Ὁρᾷς τὴν συντομίαν καὶ συντέλειαν, ἤτοι τὴν τελείωσιν;—*Εἰ μὴ Κύριος Σαβαὼθ.*] Τουτέστι, τῶν δυνάμεων, τῶν στρατιῶν. *Ἐγκατέλιπεν ἡμῖν.*] Διὰ τούτων δεδίττεται καὶ ἐπιτιμᾷ αὐτοῖς, ὡς εἰ ἔλεγεν· Εἰ μὴ πάντως τινὲς ἡμῶν πιστεύσουσι τῷ Χριστῷ, Σοδόμων καὶ Γομόρρας οὐδὲν ἂν διενηνοχότες εἶητε, εἰ καὶ ἐπὶ τῇ συγγενείᾳ τοῦ Ἀβραὰμ ἐναβρύνεσθε. Ἢ μᾶλλον πρὸς τὸ, Ποιήσει τὸν συντετμημένον λόγον, ἐκληπτέον τὴν προφητικὴν ῥῆσιν· οἷον· Εἰ μὴ ἐποίησε τοῦτο ὁ Κύριος, καὶ ἔδωκεν ἡμῖν τὸν τέλειον τοῦ εὐαγγελίου νόμον διὰ τοῦ υἱοῦ αὐτοῦ εἰς δικαίωσιν καὶ σωτηρίαν ἡμῶν, πάντες ἂν ὡς Σόδομα ἐγενήθημεν, καὶ ἐξῆς· τὸ γὰρ, *σπέρμα*, τὸν εὐαγγελικὸν νόμον σημαίνει, ὡς καὶ ὁ Κύριος φησίν· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι (β)· τὸ δὲ, *ἐγκατέλιπεν*, ὅτι οὐ μόνον, φησὶν, ἔσπειρεν, ἀλλ' οὐδὲ εἴασεν ἁρπασθῆναι ὑπὸ τῶν πετεινῶν, ἢ διαφθαρῆναι ὑπὸ ἑτέρων τινῶν ἀγρίων καὶ ἀκαθάρτων πνευμάτων ἢ λογισμῶν· ἀλλὰ καὶ ἔσπειρε, καὶ διετήρησεν, ὥστε ἐγκαταλειφθῆναι ἡμῖν, καὶ εἰς γεώργιον καὶ καρπὸν προελθεῖν. Δύναιο δ' ἂν *σπέρμα* καὶ τοὺς ἀποστόλους ἐκλαβεῖν, οἱ ἐκ πάντων τῶν Ἰουδαίων δίκην σπέρματος ἀφαιρεθέντες, τῇ οἰκουμένῃ ἐγκατελείφθησαν, καὶ τὰ ἔθνη πάντα τῇ ἐκκλησίᾳ Χριστοῦ ἐγεώργησαν. Καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ ἡ τῆς ζύμης παραβολὴ (1), καὶ αὐτοῖς ἐφαρμόζουσα τοῖς πατράσιν ἡμῶν οὐκ ὀλίγοις παρείληπται. Ὅσον οὖν, φησιν, εἰς τὴν Ἰουδαίων ἦκεν ἀπιστίαν, ὡς Γόμορρα καὶ Σόδομα ἂν ἐγενήθημεν· ἀλλὰ τὸ ἀπὸ Κυρίου Σαβαὼθ ἐγκαταλειφθὲν ἡμῖν σπέρμα, οἱ ἀπόστολοι, καὶ τὰ ἔθνη καρποφορήσαντες, καὶ πολύχουν τὸ γεώρ-

(α) Ρωμ. Ι', 9. (β) Ματθ. ΙΓ'. 4. (1) Ματθ. ΙΓ', 33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γιον δείξαντες, τὰς εἰς τὸν Ἀβραὰμ γεγενημένας ἐπαγγελίας, ἐπ' αὐτῶν ἀνθούσας καὶ τελειουμένας τῶν πραγμάτων δεικνύουσιν. *Ἐγκατέλιπεν ἡμῖν.*] Διά τε τὴν αὐτοῦ χάριν, καὶ διὰ τὴν τῶν καταλειφθέντων εὐγνωμοσύνην. —Δύνῃ δὲ τοῦτο καὶ περὶ Χριστοῦ νοῆσαι, ὡς φησὶν ὁ ἐν ἁγίοις Κύριλλος, τουτέστι, ῥίζαν, φύραμα. Οὕτω δὲ νοήσεις τὸ σπέρμα ἐπὶ Χριστοῦ, τουτέστιν ἔχοντα σῶμα ἀναμάρτητον· (ἄσπορος γὰρ ὁ τόκος·) πάντες γὰρ οἱ ἄνθρωποι ἥμαρτον· καὶ δῆλον σπέρμα ἀναμαρτησίας, ἄνθρωπον ἀναμάρτητον, καὶ θεὸν ἀληθινόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Οτι κατὰ ἀπιστίαν ἡ ἔκπτωσις διὰ τῆς εἰς ἄγνοιαν καταλείψεως καὶ τοῦ μὴ ἁρμόζοντος αὐτοῖς κηρύγματος.

30 Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιο-
σύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν
31 ἐκ πίστεως· Ἰσραὴλ δὲ, διώκων νόμον δικαιοσύνης,
32 εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. Διατί; Ὅτι οὐκ
ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου. Προσέκο-
33 ψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται· « Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται (α). »

Ἰδοὺ, ἡ πᾶσα λύσις, τίνος ἕνεκεν οἱ πιστοὶ ἐσώθησαν· οἱ δὲ ἐναπομείναντες τῷ ἰουδαϊσμῷ, οὐκέτι. Ἀπαιτεῖς, φησι, λόγους, διατὶ εἰς σπέρμα Ἀβραὰμ οἱ οὐκ ἐκ περιτομῆς λογίζονται· διατὶ ὁ οὐ λαὸς ἐγένετο λαὸς, καὶ οἱ ἐκ περιτομῆς ἐκβάλλονται. Εἶπον μὲν πολλὰ, ὅτι οὐδόλως σε χρὴ ταῦτα λογοθετεῖν· ὅτι

(α) Ἡσ. ΚΗ', 16. Η', 14.

Δημόσιος Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παρὰ σοὶ τῷ Ἰουδαίῳ πολλὰ γέγονεν, ὧν ἀγνοεῖς τοὺς λόγους· ὁ Ἰακὼβ πρὸ τοῦ τί διαπράξασθαι προτιμηθεὶς τοῦ Ἡσαῦ· οἱ τῶν μοσχοποιησάντων καταδικασθέντες θανάτῳ, καίτοι πάντων εἰς τὴν δυσσέβειαν κατενεχθέντων· ὁ Φαραὼ μυρία ἄλλα. Νῦν δέ σοι καὶ τοῦτο προστίθημι, ὅτι διὰ τοῦτο οἱ ἐξ ἐθνῶν εἰς σπέρμα Ἀβραὰμ ἐλογίσθησαν, σὺ δὲ οὐκέτι· καὶ ὅτι οἱ μέν, ἐδικαιώθησαν, σὺ δὲ οὐκέτι· διότι ἐκεῖνοι ἐκ πίστεως κατέλαβον τὴν δικαίωσιν καὶ τὴν σωτηρίαν τὴν ἐκ πίστεως, σὺ δὲ, φυσιούμενος δικαιωθῆναι διὰ τῶν τοῦ νόμου ἔργων, καὶ τῆς διὰ πίστεως δικαιώσεως ὑπερορῶν, εἰκότως καὶ τοῦ διὰ πίστεως δικαιωθέντος Ἀβραὰμ ἀλλότριος ὤφθης τοῦ σπέρματος, καὶ ἀντὶ λαοῦ, γέγονας οὐ λαὸς, καὶ τῆς τῶν πιστῶν σωτηρίας ἐξέπεσες. *Τὰ μὴ διώκοντα δικαιοσύνην.*] Ξένον γὰρ, ὅτι τὰ ἔθνη, *τὰ μὴ διώκοντα δικαιοσύνην*, κατέλαβεν· οἱ δὲ Ἰουδαῖοι, διώκοντες, οὐ κατέλαβον. *Δικαιοσύνην δὲ τὴν ἐκ πίστεως.*] Αὕτη γὰρ ἡ ἀληθῶς δικαιοσύνη, ὡς ἤγε τοῦ νόμου, ψευδής. *Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.*] Τουτέστιν, εἰς τὴν ἐκ νόμου δικαιοσύνην οὐκ ἔφθασεν. Ἐρωτᾷς, διατί; Διότι τὰ ἐν νόμῳ οὐκ ἐφύλαξεν· ὅτι οὐκ ἐκ πίστεως ἠθέλησε δικαιωθῆναι. Τί οὖν αἴτιον τοῦ μὴ φθάσαι τὴν δικαιοσύνην; Ὅτι ἐξ ἔργων ἐζήτησε δικαιωθῆναι· τίς δὲ ἐξ ἔργων δικαιοῦται ἄνθρωπος ὢν (α); καὶ μὴ θελήσαντες οἱ Ἰουδαῖοι ἐκ πίστεως δικαιωθῆναι, ἀλλ' ἐξ ἔργων τοῦ νόμου, ἀπέτυχον. *Προσέκοψαν γάρ.*] *Προσέκοψαν*, ἀντὶ τοῦ, ἠπίστησαν. Πῶς δέ τις προσκόπτει; Ἐὰν ἔξω προσέχῃ, ὥσπερ οὗτοι τῷ νόμῳ προσέχοντες, προσκόψαντες συνεθλάσθησαν. *Τῷ λίθῳ τοῦ προσκόμματος.*] *Προσκόμματος λίθον, καὶ, πέτραν σκανδάλου*, τὸν Κύριον καλεῖ, ἐκ τῶν εἰς αὐτὸν προσκοψάντων καὶ σκανδαλισθέντων τὸ ὄνομα ἐπιθείς. Προσπταίειν γὰρ εἰώθασιν, οἱ ἑτέρωσε τὸν

(α) Ρωμ. Γ', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διάνοιαν ἔχοντες, καὶ τὴν ὁδὸν προσβλέπειν οὐκ ἐθέλοντες. Τοῦτο πεπόνθασιν Ἰουδαῖοι. Περὶ γὰρ δὴ τὰ περιττὰ τοῦ νόμου κεχηνότες, τὸν ὑπὸ τῶν προφητῶν προαγορευθέντα λίθον ἰδεῖν οὐκ ἠθέλησαν.—*Καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.*] Ὁρᾷς, ὅτι οὐ μονομερὴς ὁ θεὸς, ἀλλὰ πᾶς ὁ πιστεύων εἰς αὐτὸν σωθήσεται. Τοῖς μὲν γὰρ ἀπίστοις, ἐναντίως ἥπερ ἔχει φύσεως γίνεται· τοῖς δὲ πιστοῖς, κατὰ φύσιν, ἔρεισμα καὶ στήριγμα καὶ ἀσφάλεια.

ΚΕΦ. Χ, 1 Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν θεὸν, ὑπὲρ τοῦ Ἰ-
2 σραὴλ ἐστιν εἰς σωτηρίαν. Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.
3 Ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ
4 τοῦ θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

Ἐπειδὴ καθήψατο τῶν Ἰουδαίων, μέλλει δὲ καὶ ἔτι, διὰ τοῦ, *Ἀδελφοί*, καὶ τῶν ἄλλων, καταλεαίνει αὐτοὺς, καὶ εἰς νουθεσίαν λεληθότως προκαταρτίζει, ἵνα μὴ ὀργισθέντες, ὅλως ἀνήκοοι γένωνται. *Ἡ μὲν εὐδοκία*, ἤτοι, *ἡ σφοδρὰ ἐπιθυμία, τῆς ἐμῆς καρδίας.*] Μέλλων τῶν Ἰουδαίων καθάπτεσθαι, προσφέρει εὔνοιαν τοῦ λόγου, ἵνα μὴ δόξῃ μισοῦντος εἶναι, ἀλλὰ κηδομένου τὰ ῥήματα τῆς ἐπιτιμήσεως. Φησὶ δὲ, ὅτι καὶ σφόδρα ἐπιθυμῶ, καὶ δέομαι σωθῆναι. *Ὑπὲρ τοῦ Ἰσραὴλ ἐστιν εἰς σωτηρίαν.*] Οὐχ ἁπλῶς ὑπὲρ αὐτῶν αἰτοῦμαι, ἀλλ' *εἰς σωτηρίαν*· ἵνα πιστεύσαντες Χριστῷ, σωθῶσι. *Μαρτυρῶ γὰρ αὐτοῖς.*] Δοκεῖ χαρίζεσθαι αὐτοῖς. *Μαρτυρῶ*, φησὶν, *αὐτοῖς*, ὅτι οὐ διὰ ἄνθρωπον εἰσὶν ἀπεσχοινισμένοι Χριστοῦ, ἀλλὰ διὰ ζῆλον δῆθεν θεοῦ· τοῦτο δὲ κατὰ ἄγνοιαν πράττουσι· νομίζοντες γὰρ τὸν νόμον εἶναι καλὸν, ἀπιστοῦσι τῷ σώζειν δυναμένῳ Χριστῷ. *Ἀλλ' οὐ κατ' ἐπίγνωσιν.*] Ζῆλον, φησὶν, ἔχουσι· ἀλλ' οὐχ ἵνα ἐπιγνῶσι τὸ ὄντως καλὸν, ὅ ἐστιν ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστός· εἰ γὰρ τοιοῦτον ἔσχον ζῆλον, ἐπέγνωσαν ἄν. *Ἀγνοοῦντες γάρ.*] Τοῦτο ῥῆμα συγγνώμης. *Τὴν τοῦ θεοῦ δικαιοσύνην.*] *Δικαιοσύνην θεοῦ* καλεῖ τὴν εἰς Χριστὸν πίστιν, διὰ τὸ χάριτος δεῖσθαι θεοῦ· ἣν καταλιπόντες· *Καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, οὐχ ὑπετάγησαν.*] *Ἰδίαν δικαιοσύνην*, τὴν ἐκ τοῦ νόμου λέγει, ἢ διὰ τὸ μηκέτι ἰσχύειν, ἢ διὰ τὸ δεῖσθαι πόνων καὶ ἱδρώτων. *Ζητοῦντες στῆσαι.*] Φιλονεικοῦντες κυρῶσαι τὴν ἰδίαν δικαιοσύνην. *Τῇ δικαιοσύνῃ τοῦ θεοῦ.*] Δηλονότι, οὐδὲ τὴν ἐν νόμῳ ἐπλήρωσαν· ζητοῦσι γὰρ στῆσαι· οὐκοῦν οὐκ ἔστησαν. *Οὐχ ὑπετάγησαν.*] Οἷον, πειθήνιον οὐχ ὑπέθηκαν αὐχένα. *Τέλος γὰρ νόμου Χριστός.*] Ἐν τῇ ἐννάτῃ βίβλῳ τῶν κατὰ Ἰουλιανοῦ, οὕτω κεῖται· Ὅτι τὸ τέλος καὶ οἷον ἀναίρεσις τοῦ νόμου καὶ πλήρωσις ὁ Χριστός. Πῶς δὲ τέλος νόμου Χριστός; Ὅτι ἐδικαίωσε· καὶ ἅπερ ὁ νόμος ἠθέλησε μὲν ποιῆσαι, οὐκ ἴσχυσε δὲ, ταῦτα ὁ Χριστὸς ἐλθὼν ἀπήρτισε, καὶ ἐτελείωσεν εἰς τοὺς αὐτῷ πιστεύσαντας. Ἐπειδὴ δὲ ὅλως καὶ τὴν ἐκ νόμου, δικαιοσύνην ἐκάλεσεν, ἵνα μὴ νομίσωμεν, ὅτι δύναται δικαιῶσαι ὁ νόμος, φησὶ, Τέλος εἶναι καὶ πλήρωμα τοῦ νόμου τὸν Χριστόν· τὸ γὰρ τέλειον ὁ νόμος ἐν τῇ εἰς Χριστὸν ἔχει πίστει. Ὃ οὖν πιστεύσας, φησὶ, Χριστῷ, πληροῖ τὸν νόμον. *Εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.*] Εἰς τὸ δικαιοῦν τὸν ὄντως τελειωτὴν τοῦ νόμου, τουτέστι, τὸν πιστόν.

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην, τὴν ἐκ τοῦ
νόμου· « Ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται
6 ἐν αὐτοῖς (α) ». Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω
λέγει· «Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται
εἰς τὸν οὐρανόν; » τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν.
7 Ἢ· « Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; » τοῦτ'
8 ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει;
« Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ

(α) Levit. iii, 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῇ καρδίᾳ σου (α)· ἤ τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν·

Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην, τὴν ἐκ τοῦ νόμου.] Ὅρος τῆς ἐν νόμῳ δικαιοσύνης· *Ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.* Οὐκοῦν οὐκ ἔνι σωθῆναι, τὸν μὴ πληροῦντα τὰ ἐν αὐτῷ. Ἐπεὶ οὖν οὐδεὶς ἀνθρώπων ἐπλήρωσεν, ἐξέπεσεν ἡ διὰ νόμου δικαιοσύνη, καὶ ἀπρακτεῖ. *Ἡδὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει.*] Εἰρηκὼς τὴν ἐκ νόμου δικαιοσύνην, λέγει καὶ τὴν ἐκ πίστεως· καὶ δείκνυσιν αὐτὴν οὐχ οὕτως οὖσαν ἐπίπονον. Τοιγαροῦν ταύτην μέν τινες ἔφθασαν· ἐκείνην δέ, οὐδείς. *Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου.*] Ἵνα μὴ νομισθῇ ἡ πίστις εὐκατόρθωτος καὶ εὐκαταφρόνητος, διὰ τοῦτο δείκνυσι καὶ αὐτὴν πόνου δεομένην, καὶ πρὸς τοὺς ἀφανεῖς λογισμοὺς ἔχουσαν τὴν πάλην. Μὴ εἴπῃς γὰρ μηδὲ *ἐν καρδίᾳ*, τουτέστι, μηδὲ ἐνθυμηθῇς· ἀλλὰ πάντα λογισμὸν ἔκβαλε ἔξω.—ΑΛΛΩΣ. Ἐπειδὴ ἤκουσας τὰ τοῦ νόμου ἔργα μὴ δύνασθαι δικαιῶσαι τὸν ἄνθρωπον, μάνθανε, πῶς ἐν Χριστῷ δικαιούμεθα ἀπόνως καὶ ῥᾳδίως. Πίστιν γὰρ ζητεῖ ἐκ καρδίας, καὶ ὁμολογίαν ἐκ στόματος. Ἀναγκαῖον δὲ σαφηνίσαι τὸ ῥητὸν πλατύτερον, τό· *Τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν*; καί· *Τίς καταβήσεται εἰς τὴν ἄβυσσον*; Ἕνι τοῦτο ἐκ τοῦ Μωσέως οὕτως εἰλῆφθαι τῷ ἀποστόλῳ, νοηθὲν κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν. Ὁ μὲν γὰρ Μωσῆς, ὅσον κατὰ τὸ γράμμα, τοῦτο φησίν· Ὅτι ἡ ἐντολὴ τοῦ θεοῦ πρὸ ὀφθαλμῶν σου κεῖται, ὦ Ἰουδαῖε· καὶ οὐ δεῖ σε οὔτε εἰς τὸν οὐρανὸν ἀνελθεῖν, ἵνα ταύτην εὕρῃς· οὔτε εἰς τὴν ἄβυσσον κατελθεῖν, ἵνα ταύτην λάβῃς· οὔτε εἰς τὰ πέρατα τῆς θαλάσσης διαβῆναι· ἀλλ' ἐγγύς σου ἐστὶν, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ διανοίᾳ σου. Πάντα γὰρ ὑπέδειξέ σοι ὁ θεὸς διὰ τοῦ νόμου. Ὁ μὲν οὖν Μωσῆς κατὰ τὸ γράμμα, οὕτω δοκεῖ ταῦτα λέγειν· ὁ δὲ ἀπόστολος, εἰς Χριστὸν ταῦτα ἐξελάβετο·

(α) Δευτερον. Λ', 12. 14.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τουτέστι, Μὴ διστάσῃς, μηδὲ εἴπῃς ἐν τῇ διανοίᾳ σου, Πῶς ὁ Χριστὸς κατῆλθεν ἐκ τῶν οὐρανῶν, καὶ ἐσαρκώθη; ἢ πῶς ἀποθανὼν ἀνέστη ἐκ τῆς ἀβύσσου, τουτέστι, τῶν κατωτάτων τόπων; Ἀλλὰ πάντα λογισμὸν ἔκβαλε ἔξω.—Ἐγγύς σου τὸ ῥῆμά ἐστιν.] Σύντομος ἡ σωτηρία, καὶ οὐ δεομένη τῶν ἔξωθεν κόπων· ἐν γὰρ τῇ διανοίᾳ καὶ τῇ γλώσσῃ κεῖται· πλὴν στερρᾶς δεῖται καὶ νουνεχοῦς ψυχῆς.

9 Ὅτι, ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον
Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ
10 θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. (Καρδίᾳ
γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμο-
11 λογεῖται εἰς σωτηρίαν.) Λέγει γὰρ ἡ γραφή· « Πᾶς
ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται (α). »
12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος·
ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας
13 τοὺς ἐπικαλουμένους αὐτόν. « Πᾶς γάρ, ὃς ἂν ἐπι-
καλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται (β) ».

Ἔδειξε, πῶς ἐν καρδίᾳ, οἷον, ἐν λογισμῷ, καὶ ἐν γλώσσῃ κεῖται ἡ σωτηρία. *Ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν.*] Τρόπον λέγει, δι' οὗ τις ἐναχθείη πρὸς τὴν πίστιν. Ἐννόησον γάρ, φησι, τὸ δυνατὸν τοῦ ἐγείραντος, καὶ οὐ δυσχερανεῖς πρὸς τὴν πίστιν. *Καρδίᾳ γὰρ πιστεύεται.*] Καρδίᾳ μὲν γάρ, φησι, πιστευόμενος ὁ Χριστός, δικαιοῖ· στόματι δὲ ὁμολογούμενος, σώζει. *Λέγει γὰρ ἡ γραφή.*] Τὴν μαρτυρίαν ἤγαγεν, ἵνα δείξῃ μὴ οὖσαν ἐν τῇ πίστει διαφοράν Ἰουδαίου καὶ ἐθνικοῦ· πᾶς γάρ, φησιν, ὁ πιστεύων· τὸν Ἡσαΐαν ἐπιφερόμενος μάρτυρα. *Οὐ γάρ ἐστι διαστολή.*] Τὸ πᾶσι κοινὸν τῆς χάριτος ἀνακηρύττει. Καὶ ὅπερ ἐποίησεν ἄνω πολλοῖς λόγοις, θέλων καταγαγεῖν τὸ φύσημα τῶν Ἰουδαίων, νῦν διὰ βραχέων ποιεῖ· ὅτι οὐκ ἔνι μέσον· τοῦτο γὰρ ἡ *διαστολή*· Ἰουδαίου καὶ ἐθνικοῦ. *Ὁ γὰρ αὐτὸς Κύριος πάντων.*] Ἄνω περὶ τοῦ πατρὸς ἔλεγεν· *Ἢ Ἰουδαίων ὁ θεὸς μό-*

(α) Ἡσ. ΚΗ', 16. (β) Ἰωὴλ Β', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον; οὐχὶ δὲ καὶ ἐθνῶν(α); νῦν δὲ τὸ αὐτὸ περὶ τοῦ υἱοῦ λέγει. Οὕτως οὐκ οἶδε διαφορὰν τῆς ἁγίας Τριάδος. *Πλουτῶν εἰς πάντας.*] Δείκνυσι τὸν Χριστὸν σφόδρα ἐφιέμενον τῆς ἡμετέρας σωτηρίας, ὅπουγε πλοῦτον ἴδιον ἡγεῖται τὸ πολλοὺς πιστεῦσαι καὶ σωθῆναι· τοῦτο δὲ ποιεῖ, παιδεύων αὐτοὺς μὴ ἀπογνῶναι ἑαυτῶν· ὁ γὰρ πλοῦτον, φησὶν, οἰκεῖον ἡγούμενος τὸ σῶζειν, οὐκ ἄν ποτε ὀκνήσῃ ἢ ἀναβάληται σῶσαι. *Πᾶς γὰρ, ὃς ἂν ἐπικαλέσηται.*] Εἰ πᾶς, οὐδὲν πλέον ἔχουσιν Ἰουδαῖοι τῶν ἐθνῶν. Μάρτυς καὶ ὁ Ἰωὴλ, ὁ ταῦτα λέγων.

14 Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκού-
15 σουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· « Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγ-
16 γελιζομένων τὰ ἀγαθά (β) ». Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· « Κύριε,
17 τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν (γ); » Ἄρα ἡ πίστις
18 ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ. Ἀλλὰ λέγω· Μὴ οὐκ ἤκουσαν; Μενοῦνγε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν (δ) ».

Εἶπε· *Πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.* Πῶς τοιγαροῦν ἔσται αὐτοῖς ἐπιτυχεῖν τῶν τοῦ προφήτου ῥημάτων, ἀνθρώποις πιστεῦσαι μὴ θελήσασιν; Ἑαυτοῖς τοιγαροῦν μεμφέσθωσαν· ἀποκλείουσι γὰρ τὴν σωτηρίαν ἀφ' ἑαυτῶν.—ΑΛΛΩΣ. Λίαν ἐνταῦθα συμπεπλεγμένας ἐννοίας συνεγείρει, καὶ θαυμασίως προάγει. Πλοῦτον ἡγεῖται, φησὶν, ὁ Χριστὸς τὸ πιστεῦσαι καὶ σωθῆναί σε. Ὥστε ἀπό γε τοῦ Χριστοῦ, ἅπαν γέγονε. Θέλεις οὖν σωθῆναι; ἐπικάλεσαι τὸν Χριστόν. Ἀλλὰ θέλεις ἐπικαλέσασθαι; πιστεῦσαι δεῖ πρότερον. Θέλεις δὲ πιστεῦσαι; ἀκοῦσαι δεῖ πρότερον τοῦ κηρύγματος. Ἀλλά

(α) Ῥωμ. Γ, 29. (β) Ἡσ. ΝΒ', 7. (γ) Ἡσ. ΝΓ', 1.
(δ) Ψαλμ. ΙΗ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν κηρύσσοντα ζητεῖς; Ἰδοὺ, ἐγὼ βοῶ. Ἀλλ' ἀγνοεῖς, εἰ ἀπέσταλμαι κηρύσσειν; Προφητεία ἐστὶν ἄνωθεν τοῦτο κηρύσσουσα, ὅτι οὐ μόνον κηρύξουσι καὶ εὐαγγελίσονται τὴν σωτηρίαν καὶ εἰρήνην, ἀλλ' ὅτι καὶ μεγάλα καὶ ὑπερφυῆ ἐξανύσουσιν. Ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν ἐπὶ τὸ κήρυγμα τρεχόντων, φησὶ, τῶν τὸ εὐαγγέλιον καταγγελλόντων! Ὥστε οὐδεμία πρόφασις ὑμῖν τοῦ σωθῆναι.—*Πῶς δὲ πιστεύσουσι.*] Κατὰ τὸ ἀκόλουθον γὰρ καὶ τοῦτο συμβαίνει. Ἐπεὶ γὰρ τῶν αὐτοῦ λόγων ἀκοῦσαι οὐκ ἠβουλήθησαν, εἰκότως οὐδὲ ἐπίστευσαν. *Χωρὶς κηρύσσοντος.*] Τοιγαροῦν, ἰδού, φησι, κηρύσσω, καὶ προσῆκον ὑμᾶς ἀνασχέσθαι τῶν λόγων καὶ τῶν ἐλέγχων. *Ἐὰν μὴ ἀποσταλῶσι.*] Δείκνυσιν, ὅτι οὐκ ἐξ οἰκείας αὐθεντίας ἦλθεν εἰς τὸ κηρύξαι αὐτοῖς, ἀλλ' ἀποσταλεὶς παρὰ Χριστοῦ· τούτῳ ἑαυτὸν ἀξιόπιστον ποιῶν. *Καθὼς γέγραπται.*] Οὐ μόνον, φησὶν, ἀπέσταλμαι· ἀλλὰ καὶ πάλαι τὸ δεῖν ἀποστολὴν γενέσθαι προείρητο. Ἀξιόπιστος οὖν κατ' ἄμφω, ἔκ τε τῆς ἀποστολῆς, ἔκ τε τοῦ προωρίσθαι τὴν ἀποστολήν. *Ὡς ὡραῖοι οἱ πόδες.*] Οἱ πόδες αὐτῶν ἐνεκωμιάσθησαν, διὰ τὸν τοῦ κηρύγματος τρόπον τῶν ἀποστόλων, εὐαγγελιζομένων *εἰρήνην*, ἤγουν καταλλαγὴν τὴν τοῦ θεοῦ πρὸς ἀνθρώπους, καὶ τὰ ἐν αὐτῇ ἀγαθά. Εἰ τοίνυν ἄλλως οὐκ ἦν πιστεῦσαι δίχα τοῦ ἀκοῦσαι, καὶ δίχα τοῦ κηρύξαι· κεκήρυκται δὲ, καὶ ἤκουσαν· εὔδηλον, ὡς ὁ θεὸς μὲν οὐδὲν ἐκλέλοιπεν· οἱ δὲ μὴ πιστεύσαντες, ἑαυτοῖς μεμφέσθωσαν. *Ἀλλ' οὐ πάντες ὑπήκουσαν.*] Ἐπειδὴ τοῦτο αὐτῷ ἀντέκειτο· ἔλεγον γὰρ, ὅτι· Εἰ ἀπὸ θεοῦ ἀπεστάλητε, διὰ τί μὴ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ; φησὶν, ὅτι καὶ τοῦτο πρὸ πολλοῦ ἐλέχθη. Τὸ δὲ, *Κύριε, τὶς ἐπίστευσεν*, ἀντὶ τοῦ, σπάνιοι, ἢ ὀλίγοι. Διὰ γὰρ τὸ εἶναι ἡμᾶς αὐτεξουσίους, οὐδένα πρὸς βίαν ἄγει ὁ θεός. *Ἡσαΐας γὰρ λέγει· Κύριε, τὶς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;*] Εἰ τοῦτό σε, φησὶ, σκανδαλίζει, τὸ μὴ πάντας ὑπακοῦσαι, αὐτό σε τοῦτο πιστεῦσαι πεισάτω· ἐπειδὴ προελέχθη, ὡς οὐ πάντες πιστεύσουσιν. *Ἄρα ἡ πίστις ἐξ ἀκοῆς.*] Ἐπειδὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

ἀεὶ Ἰουδαῖοι σημεῖα ἐπεζήτουν (α), πρόφασιν λαβὼν τὸ προφητικὸν, ἐντρέπει αὐτοὺς, ὡς οὐ χρὴ σημεῖα ἐπιζητεῖν· ἡ γὰρ πίστις, ἐξ ἀκοῆς, οὐκ ἐκ σημείων γίνεται. *Ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ.*] Ἐπειδὴ *ἀκοὴν* εἶπεν, ἐπάγει, *διὰ ῥήματος θεοῦ*. Μὴ νομίσῃς, φησὶν, εὐτελές τι τὴν ἀκοήν· οὐκ ἔστιν ἀνθρώπινα ῥήματα λαλούμενα, ἀλλὰ ῥήματα θεοῦ. Ὥστε εἰ θαύματα ζητεῖς, ὡς ἐκ θεοῦ ὄντα, πίστευσον καὶ τοῖς ῥήμασιν, ὡς ἐκ θεοῦ λεγομένοις. *Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν.*] Ἐπειδὴ εἶπεν, *ἡ πίστις ἐξ ἀκοῆς*· Ἀλλ' ἐρεῖ τις, φησὶ, Μὴ οὐκ ἤκουσαν οἱ Ἰουδαῖοι; Καί φησιν· Ὅλη ἡ γῆ ἤκουσεν, ὡς μαρτυρεῖ καὶ ὁ προφήτης· καὶ οἱ Ἰουδαῖοι, παρ' οἷς μάλιστα κεκήρυκται, οὐκ εἶχον ἀκοῦσαι;—ΑΛΛΩΣ. Ὥσπερ τινος εἰπόντος· Καὶ τί πρὸς τοὺς Ἰουδαίους, εἰ ἀπεστάλησαν οἱ εὐαγγελιζόμενοι, οὗτοι δὲ οὐκ ἤκουσαν ὅλως; φησὶν, ὅτι ἡ οἰκουμένη πᾶσα ἤκουσε, καὶ οὗτοι οὐκ ἤκουσαν, παρ' οἷς τοσοῦτον χρόνον διέτριψαν οἱ ἀπόστολοι; Καὶ μὴν ὁ προφήτης μαρτυρεῖ τοῦτο· καὶ πῶς ἂν ἐκεῖνο ἔχοι λόγον.

19 Ἀλλὰ λέγω· Μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωϋσῆς λέγει· «Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς (β).»
20 Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· «Εὑρέθην τοῖς
21 ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι (γ).» Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα (δ).»

Ἀλλ' ἐρεῖ τις· Ναὶ, ἐκήρυξαν μὲν πολλοί· εἰκὸς δὲ τοὺς ἐξ Ἰσραὴλ μὴ γνῶναι τοῦ κηρύγματος τὴν δύναμιν. Καὶ πῶς ἔνι τοῦτο, φησὶν, ὅτι τὰ μὲν ἔθνη, οἷς οὐδὲν προείρητο, ἔγνωσαν· ὁ δὲ Ἰσραὴλ οὐκ ἔγνω, καίτοι προακούσας; Ἰδοὺ γὰρ αὐτὸς ὁ νομοθέτης φησίν· *Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει.*] Ὡς οὖν

(α) Α' Κορ. Α', 22. (β) Δευτ. ΛΒ', 21. (γ) Ἡσ. ΞΕ', 1.
(δ) Ἡσ. ΞΕ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς ἐξ ἐθνῶν ἑωράτε προσερχομένους τῇ πίστει, καὶ ἔτι μὴν ἐρχομένους, ἑαυτοὺς δὲ ἀποῤῥιπτομένους, ἔδει ὑμᾶς καὶ τὴν αἰτίαν εἰδέναι. Μᾶλλον δὲ ἑκόντες ἐπελάθεσθε τῶν οὕτω σαφῶν προῤῥήσεων. *Πρῶτος Μωϋσῆς λέγει.*] Δεύτερος γὰρ εἶπεν Ἡσαΐας. *Παραζηλώσω*, οἷον, παρακνίσω. Μεγίστη δὲ ἡ τοῦ πράγματος ἰσχύς· πολλάκις γὰρ ὁ παρακλήσει μὴ πεισθεὶς, ἐπείσθη τῷ παρακνισμῷ. *Ἐπὶ ἔθνει ἀσυνέτῳ.*] Τί γὰρ εὐτελέστερον, ἢ ἀσυνετώτερον εἰδωλολατρῶν; *Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει.*] Ἠρήσατο, φησὶ, καὶ κινδυνεῦσαι μᾶλλον, ἢ συνεσκιασμένην εἰπεῖν τὴν ἀλήθειαν καὶ τὴν οἰκονομίαν. *Τοῖς ἐμὲ μὴ ζητοῦσι.*] Τίνες δὲ οἱ μὴ ζητοῦντες, μηδὲ ἐπερωτῶντες; Οἱ ἐξ ἐθνῶν δηλαδή. Ὁρᾷς, πόσας εἶχον [οἱ Ἰουδαῖοι] τοῦ γνῶναι ἀφορμάς; Ὁρῶντες γὰρ διὰ τῆς πίστεως εὐδοκιμοῦντα τὰ ἔθνη, ὤφειλον ἀνανῆψαι· ἀλλ' ἑκόντες ἐτυφλώθησαν. *Τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.*] Τῶν ἐθνῶν καθαιρεῖ τὸ φρόνημα· ὅτι, φησί, τὸ πᾶν τῆς χάριτος ἦν· ὅμως ἔστι καὶ τῶν ἐθνῶν· τὸ γὰρ τὸν εὑρεθέντα καὶ φανέντα μηκέτι ἐάσαι, τῆς αὐτῶν ἦν ἀρετῆς. *Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει.*] Ὦ κατηγορίας Ἰουδαίων! Ἵνα γὰρ μὴ λέγωσι· Διὰ τί ἡμῖν οὐ γέγονεν ἐμφανὴς, ἀλλὰ τοῖς ἔθνεσι; τὸ πλέον ἐπ' αὐτῶν γενόμενον ἔδειξεν· ὅτι καὶ παρεκάλει, καὶ οὐκ ἠκούσθη ὁ Κύριος. *Ὅλην τὴν ἡμέραν.*] Οἷον, τὸν τῆς ἐνανθρωπήσεως καιρὸν· ἢ μᾶλλον πάντα τὸν ἔμπροσθεν, ἐξ οὗ ἐξῆλθον ἐξ Αἰγύπτου. *Πρὸς λαὸν ἀπειθοῦντα.*] Ὁ μὲν θεὸς ἐκάλει, καὶ οἷον ἐναγκαλίσασθαι ἠβούλετο· τί δὲ αὐτοί; Ἠπείθουν καὶ ἀντέλεγον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τοῦ σκοποῦ, καθ' ὃν ἐξεβλήθησαν, ὥστε δεύτερον ἐπανελθεῖν, ζήλῳ τῶν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

προτιμηθέντων ἐθνῶν, τουτέστι τῶν συναχθέντων πιστῶν.

ΚΕΦ. XI, 1 Λέγω οὖν· Μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν. 2 Οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. Ἢ οὐκ οἴδατε, ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐν- 3 τυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων· « Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, 4 καὶ ζητοῦσι τὴν ψυχήν μου (α). » Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; « Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. »

Ἆρα οὖν, ἐπειδὴ ἠπείθησαν καὶ ἀντεῖπον, μὴ ἐν ἀποβολῇ γεγένηνται, ὡς μηδὲ ἐπιστρέψαι δύνασθαι, καὶ διὰ τοῦτο κατηργῆσθαι τὰς πρὸς Ἀβραὰμ ἐπαγγελίας; Οὐμενοῦν! Καὶ γὰρ καὶ λαός ἐστιν αὐτοῦ, φησὶ, καὶ *προέγνω* αὐτὸν, τουτέστι, πρὸ τῶν ἐθνῶν. Καὶ γὰρ ἐγγὺς ὁ ἔλεγχος καὶ ἡ βεβαίωσις τοῦ λόγου. Αὐτὸς ἐγώ, φησι, Παῦλος, ὁ κῆρυξ καὶ διδάσκαλος τῶν ἐθνῶν, Ἰσραηλίτης εἰμί. Οὐκοῦν οὐκ ἀπώσθητε ἀπὸ θεοῦ, ἀλλ' ἑαυτοὺς ἀπωθεῖσθε. *Μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ;*] Κατ' ἐρώτησιν καὶ ἀπαγόρευσιν προάγει τὸν λόγον. *Οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω·* εἰ γὰρ ἀπώσατο, οὐκ ἂν ἐξ Ἰουδαίων ἀποστόλους καὶ κήρυκας ἐξελέξατο. Καὶ γὰρ ἐγὼ Παῦλος, Ἰουδαῖος εἰμί. *Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ,*] Ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι· Εἶτα σὺ εἶ ὁ πᾶς λαὸς τοῦ Ἰσραήλ; καὶ εἰς σὲ μέλλουσιν αἱ πρὸς Ἀβραὰμ ἐπαγγελίαι πέρας λαμβάνειν; φησὶ πρὸς τοῦτο, ὅτι πολλοί εἰσιν οἱ σεσωσμένοι· ἀλλ' ὑμεῖς ἀγνοεῖτε. Καὶ γὰρ καὶ Ἠλίας μόνος ᾤετο ὑπολελεῖφθαι· ἀλλ' ἤκουσεν εἶναι καὶ ἄλλους. Οὕτω καὶ νῦν

(α) Γ' Βασιλ. ΙΘ', 10, 14, 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλοί εἰσιν οἱ ἐξ Ἰουδαίων πιστοί· ἀλλ' ὑμεῖς ἀγνοοῦντες, ἐμὲ μόνον εἶναι οἴεσθε. *Κἀγὼ ὑπελείφθην μόνος.*] Εἰ δὲ ὁ Ἠλίας ἠγνόει, ὅτι μόνος οὐκ ἦν, σχολῇ γ' ἂν ὑμεῖς εἰδείητε. *Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός;*] Τουτέστιν, ὁ λόγος τοῦ θεοῦ· τοῦτο γὰρ λέγει, ὁ *χρηματισμός*. Δηλοῖ δὲ τὸ, *κατέλιπον*, ὅτι πᾶς τοῦ θεοῦ χάριτος ἦν τὸ πολὺ μέρος

5 Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλο-
6 γὴν χάριτος γέγονεν. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις· εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον, οὐκέτι ἐστὶν ἔργον.

Ὥσπερ οὖν τότε, ἐκ παντὸς τοῦ λαοῦ ἑπτακισχίλιοι εὑρέστουν· οὕτω καὶ νῦν ὀλίγοι εὐαρεστοῦσι, καὶ αὐτοὶ λογίζονται εἰς σπέρμα τῷ Ἀβραάμ, καὶ οὐκ ἐξέπεσεν ἡ ἐπαγγελία τοῦ θεοῦ. *Καὶ ἐν τῷ νῦν καιρῷ.*] Οὐκοῦν ἐπὶ τοῦ Ἠλία χάριτι ἐσώθησαν· τοῦτο γὰρ καὶ ὁ, *Καὶ*, δηλοῖ σύνδεσμος. Καὶ πάλιν· Ὥσπερ ἐν Ἠλίᾳ, φησίν, οὕτω καὶ νῦν ὑπόλειμμά ἐστιν εὐαρέστων, κατὰ χάριν ἐπιλεγέντων. Τῷ δὲ εἰπεῖν, *ἐκλογήν*, ἔδειξε καὶ τῶν ἐπιλεγέντων τὴν δοκιμήν· οὐ γὰρ ἂν ἀδόκιμοι ἐπελέγησαν. Τῷ δὲ εἰπεῖν, *χάριτι*, ἔδειξε τὴν τοῦ θεοῦ δωρεάν. *Εἰ δὲ χάριτι.*] Εἰ χάριτι ἐκλεγόμεθα, ῥᾴδιον τὸ προσελθεῖν καὶ πιστεῦσαι Χριστῷ. Οὐδὲ γὰρ ἔργων δεόμεθα εἰς τὸ προσδραμεῖν αὐτῷ καὶ πιστεῦσαι· ἀλλὰ μόνη γνώμη καὶ προαίρεσις ἀρκεῖ· κατὰ χάριν γὰρ, καὶ οὐ δι' ἔργα προσδέχεται. Ὥςε, εἰ χάριτι καλεῖ καὶ προσδέχεται, οὐκ ἔχομεν εἰς τοῦτο χρείαν ἔργων. Ἐπεί, εἰ χρείαν σχοίημεν ἔργων, οὐκέτι μένει χάρις ἡ χάρις, διὰ τοῦ ἔργου εἰς ἀντιμισθίαν περιϊσταμένη. Ὥστε οὐκ ἔστι χάρις ἡ χάρις. Οὐ μόνον δὲ τοῦτο ἀκολουθήσει τὸ ἄτοπον, ἐὰν νομίσωμεν, ὅτι δεῖ ἡμῖν ἔργων εἰς τὸ προσελθεῖν καὶ πιστεῦσαι Χριστῷ· ἀλλὰ καὶ ἕτερον ὅμοιον. Εἰ γὰρ ἐξ ἔργων προσιέναι δεῖν ὑμᾶς νομίσωμεν, δῆλον, ὡς ἀνήρηται ἡ χάρις. Ἐπεί, εἰ μὴ ἀνήρηται,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκέτι οὐδὲ τὸ ἔργον μένει ἔργον, τῆς χάριτος οὐκ ἐούσης ὅλως ἔργον ὑποστῆναι, ἀλλὰ προῖκα τὴν ἐκλογὴν ἐπιδεικνυμένης. Κεχώρισται μὲν γὰρ ἀπ' ἀλλήλων τῇ φύσει, *χάρις* καὶ *ἔργον*· καὶ τῷ μὲν ἔργῳ ἕπεται μισθός, ἀλλ' οὐ χάρις· ἡ δὲ χάρις, δίδοται, οὐχ ὡς ἀντιμισθία, ἀλλ' ὡς δῶρον καὶ φιλοτιμία. Δῆλον οὖν, ὅτι τῆς χάριτος τὴν εὐεργεσίαν παρεχομένης, εἴτις οἴεται διὰ τῶν ἔργων ταύτης ἀπολαύειν, ἀναιρεῖ τὴν χάριν, ὅσον γε ἐφ' ἑαυτῷ, καὶ οὐ μένει χάρις ἔτι ἡ χάρις. Πάλιν δὲ οὐδὲ τὰ ἔργα μένει ἔργα· τὴν γὰρ οἰκείαν οὐ σώζει φύσιν· ἐπεὶ τοῖς ἔργοις μισθός, ἀλλ' οὐ χάρις, ἀκολουθεῖ. Τῆς χάριτος οὖν χορηγούσης τὴν εὐεργεσίαν, κἂν τις δι' ἔργων ταύτης τυχεῖν πειραθείη, εἰς μάτην ἔσται ἡ πεῖρα, μήτε τῶν ἔργων, ἔργων ἔτι δυναμένων διαμεῖναι· οὐ γὰρ ἔσται τούτοις μισθὸς, τῆς χάριτος προλαβούσης· καὶ ματαιοπονοῦντος λαβεῖν δι' ἔργων, ἃ προῖκα παρέσχεν ἡ χάρις. — ΑΛΛΩΣ. *Εἰ χάριτι, οὐκέτι ἐξ ἔργων.* Ἐπεὶ, εἰ συγχωρηθῇ τὸ ἐξ ἔργων, ἀνῄρηται ἡ χάρις, χάρις εἶναι. Πάλιν εἰ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις· ἐπεὶ, εἰ συγχωρηθῇ ἡ χάρις, οὐκέτι μένει τὸ ἔργον, ἔργον. *Οὐκέτι ἐξ ἔργων.*] Ἵνα μὴ λέγωσιν ὅτι, εἰ καὶ προφῆται προέτρεπον, καὶ ὁ θεὸς παρεκάλει, καὶ ἡ παραζήλωσις ἱκανὴ ἦν ἡμᾶς πεῖσαι· ἀπῃτούμεθα δὲ ὅμως φορτικά τινα, καὶ οὕτως οὐχ ὑπηκούσαμεν· διὰ τοῦτό, φησι, χάρις ἐξὶ τὸ πᾶν, καὶ οὐ χρεία ἔργων εἰς τὸ πιστεῦσαι. Οὐδὲ γὰρ οἱ προσελθόντες, διὰ ἔργα προγενόμενα ἀξιόχρεοι πρὸς τὴν κλῆσιν ἔδοξαν· ἀλλὰ χάρις θεοῦ ἐστὶ τὸ πᾶν. — *Ἐπεὶ τὸ ἔργον.*] Εἰ γὰρ ἡ χάρις ἔργον ἀπαιτεῖται, ἄρα τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον, τῆς χάριτος προλαβούσης, καὶ γενομένης ἔργον, καὶ οἷον ἐξωθησάσης τὸ ἔργον ἐκ τοῦ εἶναι ἔργον.

7 Τί οὖν; Ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν,
8 (καθὼς γέγραπται· «Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ὦτα τοῦ μὴ ἀκούειν (α),» ἕως τῆς σήμερον ἡμέρας.
9 Καὶ Δαυὶδ λέγει· «Γενηθήτω ἡ τράπεζα αὐτῶν
εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ
10 εἰς ἀνταπόδομα αὐτοῖς· σκοτισθήτωσαν οἱ ὀφθαλ-
μοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ τὸν νῶτον αὐτῶν
διαπαντὸς σύγκαμψον (β).»

Τούτου οὐκ ἐπέτυχεν.] Τοῦτο οὐκ ἐρωτῶντος ἐστὶν, ἀλλὰ ἐγκαλοῦντος. Ἑαυτῷ γάρ, φησι, μάχεται ὁ Ἰουδαῖος, ζητῶν δικαιοσύνην, ἣν οὐ βούλεται λαβεῖν· τοῦτο γὰρ ὁ Ἰουδαῖος ἐπιζητεῖ, οὗ οὐ βούλεται τυχεῖν. Τὸ γὰρ, *τούτου οὐκ ἐπέτυχε*, κατὰ οἰκείαν νόησιν βούλησιν· δηλαδὴ, Οὐκ ἐπέτυχε γινώσκων, μὴ ἀτυχῶν κατὰ τὸ ἀδύνατον. Τίς γὰρ ἐξ ἔργων ἐδικαιώθη; *Ἡ δὲ ἐκλογὴ ἐπέτυχεν.*] Οἷον, αἱ ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν πιστοί. *Ἐκλογὴν* δὲ εἰπὼν, δείκνυσι καὶ τὴν ἐκείνων δοκιμὴν, καὶ τὴν τοῦ θεοῦ χάριν. Τὸ δὲ, *ἐπέτυχε*, δηλοῖ τῶν ἀγαθῶν τὸ μέγεθος, ὃ οὐκ ἤλπιζε. *Οἱ δὲ λοιποὶ ἐπωρώθησαν.*] Τίνες; Ὅσοι ἐναπέμειναν τῷ ἰουδαϊσμῷ. Λοιπὸν μετὰ τὸν ἔλεγχον, θαῤῥεῖ πώρωσιν αὐτοῖς ἐγκαλεῖν. *Ἔδωκεν αὐτοῖς ὁ θεός.*] Τὸ, *ἔδωκεν*, μὴ ἐνέργειαν, ἀλλὰ συγχώρησιν νοεῖ· οἷον, λαβεῖν ἀφῆκε, συνεχώρησε. *Πνεῦμα κατανύξεως.*] *Κατάνυξιν*, τὴν περὶ τὸ χεῖρον νῦν ἕξιν καὶ προσοχὴν τῆς ψυχῆς καλεῖ. *Κατανυγῆναι* γάρ ἐστι τὸ ἐμπαγῆναί που καὶ προσηλωθῆναι, καὶ ἐν καλῷ καὶ ἐν κακῷ. Νῦν μέντοι τὸ ἀμετάθετον αὐτῶν πρὸς τὸ κακὸν, *κατάνυξιν*, ἐκάλεσεν. *Ὀφθαλμοὺς τοῦ μὴ βλέπειν.*] Εἰπὼν, *ἐπωρώθησαν*, φέρει τοῦ Ἡσαΐου τὴν μαρτυρίαν, ἵνα μὴ δόξῃ ἐπαχθὴς εἶναι· αἰτίαν δὲ τῆς πωρώσεως λέγει γεγενῆσθαι τὴν αὐτῶν φιλονεικίαν. Ὀφθαλμοὺς γὰρ ἔχοντες εἰς τὸ ἰδεῖν τὰ θαύματα τοῦ Χριστοῦ, καὶ ὦτα εἰς τὸ ἀκοῦσαι τὴν διδασκαλίαν, οὐδενὶ τούτων εἰς δέον ἐχρήσαντο· ἀλλὰ τοὺς μὲν ἐκάμμυσαν, τὰ δὲ ἀπέῤῥαξαν, ὡς τοῦτο

(α) Ἡσ. ϛ', 9, 10. ΚΘ', 10. Δευτερον. ΚΘ', 3. 4.
(β) Ψαλμ. ΞΗ', 23. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπουδάζοντες, τὸ μὴ σωθῆναι. *Καὶ Δαυὶδ λέγει.*] Λοιπὸν τὴν ὑπὲρ τῆς ἀπιστίας ταύτης τιμωρίαν τὸν Δαυὶδ φέρει λέγοντα, ἥτις τέλος ἔλαβε καὶ ἐξῆλθεν. *Ἡ τράπεζα αὐτῶν.*] Τὰ ἀγαθὰ αὐτῶν καὶ ἡ τρυφὴ εἰς τὸ ἐναντίον περιέστη· τοῦτο γὰρ δηλοῖ τὸ, *τράπεζα*, καὶ, *παγίς*. *Καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον.*] Εὐάλωτοί, φησι, τοῖς ἐπηρεάζουσι γένωνται. *Καὶ εἰς ἀνταπόδομα.*] *Ἀνταπόδομα* εἶπε, δηλῶν, ὅτι ταῦτα πάσχοντες, ἁμαρτιῶν τίνουσι δίκας. *Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν.*] Τὸ αὐθαιρέτως μέλλον παρ' αὐτῶν γίνεσθαι, ὡς ἐν κατάρας λέγει μέρει. Ἐπειδὴ γάρ, φησιν, οὐκ ἠβουλήθησαν τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν, μηδὲ ἴδοιεν. *Καὶ τὸν νῶτον αὐτῶν.*] Τὸ μέλλειν αὐτοὺς ὑπὸ Ῥωμαίους γίνεσθαι δηλοῖ. Τὸ δὲ, *διαπαντὸς*, σημαίνει, ὡς οὐδὲ ἐλευθερωθεῖεν ἄν ποτε, ἐπιμένοντες τῇ ἀπιστίᾳ.

11 Λέγω οὖν· Μὴ ἔπταισαν, ἵνα πέσωσι; Μὴ γένοιτο!
ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνε-
12 σιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν· πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;

Καθαψάμενος αὐτῶν σφοδρῶς, νῦν πειρᾶταί τινα παραμυθίαν αὐτοῖς εὑρεῖν. Τὰ μὲν γὰρ ἁμαρτήματά, φησι, μέγιστα· ἆρα μὴ τοιαῦτα ἔπταισαν, ἵνα πεσόντες μὴ ἀναστῶσιν ἔτι, κἂν βουληθῶσι; Μὴ γένοιτο! φησιν· οἷα γὰρ ἂν ἔπταισαν, δεκτοί εἰσι θεῷ, βουληθέντες μόνον. Πλὴν ὅρα, ὅτι καὶ ἐν αὐτῇ τῇ παραμυθίᾳ ὑπευθύνους αὐτοὺς ποιεῖ μεγίστων ἁμαρτημάτων.— ΑΛΛΩΣ. Ἐπειδὴ τῶν προσπταιόντων, οἱ μὲν πταίοντες, ὑποσκελίζονται μόνον· οἱ δὲ, καὶ καταπίπτουσι· θέλων τοὺς Ἰουδαίους ἅμα μὲν τῆς πολλῆς ἀθυμίας ὡς προϋβρισμένους ἀπαγαγεῖν· ἅμα δὲ καὶ ἐπὶ τὴν πίστιν προτρέψασθαι, φησὶν, ὅτι τὸ πταῖσμα αὐτῶν οὐχὶ εἰς κατάπτωσιν τελείαν γέγονεν, ἀλλὰ μόνον οἷον ὑπεσκελίσθησαν· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλά διά τινα οἰκονομίαν συνεχωρήθη· ἵνα ἐν τῷ ἐκείνων παραπτώματι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γένηται μὲν ἡ σωτηρία τοῖς ἔθνεσιν· γένηται δὲ καὶ αὐτῶν ἐκείνων ἡ ἀνόρθωσις, παραζηλούντων καὶ μιμουμένων τοὺς ἐξ ἐθνῶν. Ὥστε τὸ προσπταῖσαι αὐτοὺς τρόπον τινὰ εἰς ἀνόρθωσιν αὐτῶν συντελεῖ, εἴπερ ἐν τῷ παραπτώματι αὐτῶν ἡ σωτηρία τοῖς ἔθνεσιν· ἐν δὲ τῇ σωτηρίᾳ ἡ παραζήλωσις· διὰ δὲ τῆς παραζηλώσεως, ἡ τῶν πεπτωκότων ἀνόρθωσις. Τοιαύτη γὰρ ἡ τοῦ θεοῦ ἄῤῥητος καὶ ἀκατάληπτος πρόνοια καὶ οἰκονομία! ἐξ ἀπόρων πόρους παρέχει, καὶ ἐκ τῶν ἐναντίων τὰ χρηστότερα. Οἱ μὲν γὰρ Ἰουδαῖοι ἔπταισαν, ὥστε καὶ πεσεῖν καὶ κεῖσθαι, καὶ μήτε ἑαυτοῖς, μήτε ἑτέροις χρηστοῦ τινος γενήσεσθαι αἴτιοι· ὁ δὲ θεὸς τῷ ἐκείνων παραπτώματι καὶ πρὸς τὴν τῶν ἐθνῶν σωτηρίαν ἀπεχρήσατο, καὶ εἰς τὴν αὐτῶν ἐκείνων ἀπὸ τοῦ παραπτώματος ἐπανόρθωσιν. Ὥστε οὐκ ἔπταισαν· (ταῦτα τοῦ θεοῦ οἰκονομοῦντος·) ἵνα πέσωσιν· ἀλλ' ἔπταισαν, ἵνα διορθώσωνται· μᾶλλον δὲ, ὡς ὁ ἀπόστολος φησὶν, ἵνα πλοῦτος κόσμου γένηται, καὶ πλοῦτος ἐθνῶν· καὶ ἐκ τούτου πάλιν τελεία καταλλαγὴ κόσμου, καὶ τελεία πάντων ἀναβίωσις, οὐ μόνον τῶν προσπταισάντων, ἀλλὰ καὶ τῶν μέχρι θανάτου καὶ νεκρώσεως καταπεσόντων. Καὶ ὅρα! Ἀρχόμενος μέν, *πταῖσμα*, τὴν ἀπείθειαν ἐκάλει τῶν Ἰουδαίων· εἶτα, *παράπτωμα*. Ἐπειδὴ δὲ ἔδειξεν αὐτοῖς, ἐὰν βούλωνται μόνον πεισθῆναι, τὸ μέγεθος τῶν ἀγαθῶν, καὶ ἐπῆρεν αὐτοὺς, πλοῦτον ἐθνῶν καλῶν, καὶ καταλλαγὴν κόσμου, καὶ σάρκα οἰκείαν· τότε καὶ τῆς ἀπειθείας τὸ ἄτοπον ἦλιξον ἐστὶ δεικνύει, νεκροὺς αὐτοὺς διὰ ταύτης ἀποφαινόμενος γενέσθαι. Ἀλλὰ καὶ τοῦτο λίαν θαυμασίως ποιεῖ καὶ σοφῶς. Ἐπειδὴ γὰρ τὸ νεκροὺς αὐτοὺς ἁπλῶς ὀνομασθῆναι, λίαν ἦν πικρὸν καὶ καταφορικὸν, καὶ εἰς ὕβριν μᾶλλον ἢ παραίνεσιν συντελοῦν, οὐχ οὕτως αὐτὸ τίθησι ξηρῶς· ἀλλὰ μίγνυσιν αὐτὸ, καὶ ἐν τάξει ἐπαίνου προάγει, λέγων· *Τίς ἡ πρόσληψις αὐτῶν, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;* διὰ μὲν τοῦ, *ζωὴ*, τὸ εὐφραῖνον τιθεὶς· διὰ δὲ τοῦ, *ἐκ νεκρῶν*, ὑποσημαίνει, ὅτι ἡ ἀπείθεια αὐτῶν νέκρωσις ἦν. Εἶτα εἰπὼν, ὅτι τὸ παρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

ἥττωμα αὐτῶν σωτηρία γέγονε τῶν ἐθνῶν, ἐφεξῆς ἐκ τοῦ μᾶλλον ἐπιχειρεῖ, ὅτι πάντως καὶ αὐτῶν ἔσται σωτηρία. Προαγαγὼν δὲ τὸ ἐπιχείρημα, ἐπειδὴ, ὡς ἔθος αὐτῷ, πρὸ τοῦ ἀπαρτίσαι τὴν περίοδον περιβολαῖς ἐχρήσατο, διὰ τοῦ· *Ὑμῖν γὰρ λέγω*, καὶ ἑξῆς, πάλιν ἐπαναλαμβάνει τὸ ἐπιχείρημα, καί φησιν· *Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν*, καὶ ἑξῆς. Καὶ σημείωσαι, ὅτι κατὰ τὸ πλεῖστον ἐν ταῖς ἐπαναλήψεσιν, οὐχ οὕτω γυμνῶς, καὶ ὡς ἐπεχείρησε, πάλιν ἐπαναλαμβάνει· ἀλλ' ἢ μετὰ αὐξήσεως, ἢ μετὰ τελειοτέρας διακαθάρσεως, ἢ ἐμφαντικώτερον· καὶ ἁπλῶς ἄνευ τινὸς σχηματισμοῦ καὶ διαμορφώσεως σπανιάκις εὕροις ἂν αὐτόν, καίτοι συνεχῶς σχεδόν τι χρώμενον, τῇ ἐπαναλήψει κεχρημένον.—*Ἀλλὰ τῷ αὐτῶν παραπτώματι.*] Ὅλον τὸ χωρίον τοῦτο εἴρηται, ὅπως καὶ αὐτοὺς παραμυθήσηται, καὶ πείσῃ, μὴ ἀπογνῶναι· καὶ ἵνα τῶν ἐθνῶν κατενέγκῃ τὸ φύσημα, καὶ πείσῃ, μὴ ἀπονοεῖσθαι. Διὰ τοῦτο, φησὶν, ἐσώθη τὰ ἔθνη· ὅτι αὐτοὶ σωθῆναι οὐκ ἠνέσχοντο· ὡς, εἴγε ἄξιον ἦν, τούτους ἔδει πρώτους σωθῆναι, εἶτα τὰ ἔθνη. Ἐπεὶ οὖν οὗτοι οὐκ ἠθέλησαν, πρωτότυποι γεγόνατε ὑμεῖς. Ὅθεν καὶ αὐτός φησιν, *Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι* (α)· καὶ ὁ Κύριος· *Πορεύεσθε μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ* (β)· καὶ πάλιν καὶ τό· *Ὑμῖν ἦν ἀναγκαῖον, πρῶτον λαληθῆναι τὸν λόγον* (γ). Ὁρᾷς οὖν, ὅτι ἡ ἀπείθεια τῶν Ἰουδαίων χώραν ἔδωκε τοῖς ἔθνεσιν εἰς τὸ γενέσθαι πρωτοτύπους εἰς τὴν πίστιν; *Εἰς τὸ παραζηλῶσαι αὐτούς.*] Ἵνα, ἐπειδὴ ἀφ' ἑαυτῶν πιστεῦσαι οὐκ ἠβουλήθησαν, κἂν κατὰ ζῆλον πιστεύσωσιν. *Εἰ δὲ τὸ παράπτωμα αὐτῶν.*] Πρὸς παραμυθίαν αὐτοῖς λαλεῖ καὶ προτροπήν. Εἰ γάρ, φησι, τὸ παράπτωμα αὐτῶν, καὶ τὸ ἥττημα ἀφορμὴ γέγονεν ἀγαθῶν τοσούτοις, πόσῳ μᾶλλον ἐὰν πάντες σωθῶσι; τοῦτο γὰρ δηλοῖ, *τὸ πλήρωμα*· πόσοις ἄρα, φησί, γένωνται πρόφασις σωτηρίας, πάντες σωζόμενοι; Ἐν ταὐτῷ

(α) Ῥωμ. Β', 10. (β) Ματθ. ι', 6. (γ) Πραξ. ΙΓ', 46.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ τὸ μὴ ἀπογνῶναι αὐτοὺς παιδεύει. *Πλοῦτος ἐθνῶν.*] Τουτέστι, γέγονε. *Πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν;*] Οἷον, τὸ συναπαρτισθῆναι καὶ αὐτοὺς τοῖς σωζομένοις. Εἰ οὖν, καὶ τούτων ἐλλειπόντων, πλοῦτος κόσμου γέγονε καὶ πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ συναπαρτισθῆναι καὶ αὐτοὺς ἔσται πλοῦτος κόσμου καὶ πλοῦτος ἐθνῶν;

13 Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν· ἐφ' ὅσον μέν εἰμὶ
ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω,
14 εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τι-
15 νὰς ἐξ αὐτῶν. Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλ-
λαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νε-
16 κρῶν; Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ
εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι.

Ὑπὲρ Ἰουδαίων λέγει, τῷ τε μὴ δόξαι διὰ μῖσος ἐκεῖνα, ἃ εἶπεν, εἰρηκέναι, καὶ ἵνα καταστείλῃ τῶν ἐθνῶν τὸ φρόνημα. Ὑμᾶς, φησι, τὰ ἔθνη, διὰ δύο αἰτίας ἐπαινῶ καὶ δοξάζω. Πρῶτον, ὅτι *τὴν διακονίαν* ὑμῶν, τουτέστι, τὸ κήρυγμα, ἐγκεχείρισμαι· καὶ ἀνάγκην ἔχω ἐπαινεῖν καὶ δοξάζειν ὑμᾶς, ὡς ἐμοὺς μαθητάς. Ἔπειτα, ἵνα καὶ τῶν Ἰουδαίων τινὰς, (οὓς καὶ *σάρκα* ἰδίαν καλεῖ,) παρακνισθέντας ἐκ τῶν περὶ ὑμῶν ἐπαίνων, σώσω. Λαμπρύνει δὲ κατὰ τοῦτο τὰ ἔθνη, ὡς αἴτια γενόμενα σωτηρίας Ἰουδαίοις. Οἱ μὲν γὰρ ἐξ ἀπωλείας ὑμῖν εἰσί, φησιν, ἀφορμὴ σωτηρίας· τὰ μέντοι ἔθνη ἐκείνοις ἐκ πίστεως. *Εἴ πως παραζηλώσω μου.*] Ὦ φιλονεικίας Ἰουδαϊκῆς! Οὐκ εἶπε, *πείσω*, ἀλλὰ, *παραζηλώσω*, ὡς οὐκ ἄλλως πεισθησομένων, εἰ μὴ ἐξ ἐπιτάσεως τινός. *Τὴν σάρκα.*] Ἄνω μὲν συγγενεῖς αὐτοὺς καὶ ἀδελφοὺς καλεῖ· νῦν δὲ *σάρκα*, πλέον αὐτοὺς οἰκειούμενος. *Τινὰς ἐξ αὐτῶν.*] Οὐδὲ οὕτω πάντας, ἀλλὰ, *τινάς*. Οὕτως αὐτῶν ἥδει τὸ μονότονον. Τὸ δὲ, *Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν*, καὶ ἑξῆς, ἡ ἐπανάληψις ἐστὶ τοῦ, *Εἰ δὲ τὸ παράπτωμα αὐτῶν*, ὡς καὶ προεἴπομεν, ἡ αἰτία τῆς σπουδῆς Παύλου, τῆς περὶ τὸ σωθῆναι αὐτοὺς, ὡς ἂν εἴ τις ἔλεγε· Τί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπεύδεις, Παῦλε, ὑπὲρ τῶν Ἰουδαίων; τὶ λέγεις, *Εἴ πως παραζηλώσω τὴν σάρκα μου, καὶ σώσω τινὰς ἐξ αὐτῶν*; τί ἐστιν ὁ τοσοῦτος ἀγών; Ναί, φησι, προσήκει μοι σπεύδειν, καὶ ἀγωνίζεσθαι. *Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν*, καὶ ἑξῆς, τουτέστιν, Εἰ καὶ τούτων ἐλλειπόντων, ὅμως κατηλλάγη ὁ θεὸς τῷ κόσμῳ, καὶ τὸ μεσότοιχον ἤρθη τῆς παλαιᾶς ἔχθρας, τὶ οὐκ ἂν γένοιτο χρηστὸν καὶ ὑπερθαύμαστον, καὶ τούτων σωθέντων καὶ προστεθέντων; *Καταλλαγὴ κόσμου*.] Ἐπειδὴ πάλιν αὐτῶν καθήψατο, πάλιν αὐτοὺς ἐπαινεῖ, τὰ αὐτὰ τοῖς ἄνω λέγων. Εἰ γάρ, φησιν, ἡ πρόσκρουσις αὐτῶν, πρόφασις γέγονε σωτηρίας τῷ κόσμῳ, τὶ ἂν εἴποι τις ὅτι ἔσται, ἐὰν προσληφθῶσι παρὰ θεοῦ; Τί μὲν οὖν ἕτερον, εἰ μὴ ἀνάστασις νεκρῶν; Ἀλλ' ὥσπερ ἡ ἀνάστασις οὐ διὰ τὴν πρόσληψιν αὐτῶν ἔσται, οὕτως οὐδὲ ἡ σωτηρία τῶν ἐθνῶν γέγονε δι' αὐτούς. Ἀλλὰ τοῖς λόγοις τούτοις αὐτοῖς χαρίζεται εἰς τὸ προτρέψασθαι.—ΑΛΛΩΣ. Εἰ ὀργιζόμενος αὐτοῖς, φησὶν, ὁ θεὸς, τοιαῦτα ἐχαρίσατο ἑτέροις, καὶ τοὺς ἐχθροὺς φίλους ἐποίησεν· ὅταν αὐτοὺς προσλάβηται, τὶ οὐκ ἂν χαριεῖται; Ζωὴ γὰρ ἐκ νεκρῶν τότε ἔσαι, τουτέστιν, ἄπειρα ἀγαθά· τοῦτο γὰρ δηλοῖ διὰ τῆς ζωῆς. Ἅμα δὲ καὶ αἰνίττεταί τι βαθύτερον· ὅτι, ὥσπερ ἡ ἐκ νεκρῶν ἀνάστασις οὐ διὰ τοὺς Ἰουδαίους ἔσται, οὕτως οὐδὲ ἄλλων σωτηρία δι' αὐτούς, εἰ μὴ ἐκεῖνοι πίστιν ἔχοιεν. Ἃ γὰρ ἅπαντα δοκεῖ λέγειν ὑπὲρ αὐτῶν, ψυχρὰν, τὸ λεγόμενον, χάριν χαριζόμενος λέγει, ὡς καὶ οἱ ἰατροὶ πολλάκις ποιοῦσι τοῖς κάμνουσιν.—Εἰ γὰρ καὶ μεγίζω μέρει, φησὶ, ζημιουμένων τῶν σωζομένων, ὅμως ἡ σωτηρία αὐτῶν καταλλαγὴ γίνεται κόσμου, καὶ ἡ ἔχθρα ἡ πρὸς τὸν θεὸν διαλύεται τῶν ἀνθρώπων, τὶ χρὴ λογίζεσθαι, ἐπειδὰν καὶ αὐτὸ τὸ μέρος, ὅπερ ἐστὶν οἱ Ἰουδαῖοι, προσληφθῇ καὶ προστεθῇ τοῖς σωζομένοις; Τίς οὖν ἐστιν ἡ πρόσληψις αὐτῶν καὶ ἡ προσθήκη, εἰ μὴ μέγας πλοῦτος; εἰ μὴ τελεία καὶ ὁλόκληρος χαρὰ, ὡς ἐπὶ τελείᾳ καὶ κοινῇ ζωῇ καὶ ἀναβιώσει ἐκ νεκρῶν;—*Εἰ μὴ ζωὴ ἐκ νεκρῶν*.] Εἰ τοῦτό, φησι, τὶ ἔσται ἡ πρόσληψις αὐτῶν; εἰ μὴ ἵνα εἴπωμεν,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι ἀποθανόντας αὐτοὺς ταῖς ἁμαρτίαις, ζωοποιεῖ ὁ προσλαμβάνων θεός; *Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία.*] Τοῦτο ἐπικατασκευαστικὸν, ὅτι πάντως, ἐάνπερ θέλωσι, σωθήσονται οἱ Ἰουδαῖοι· καὶ κατασκευάζει αὐτὸ διχῶς· πρῶτον μὲν, ἐκ τῆς ἀκολουθίας· δεύτερον δὲ, ἀπορίαν πρὸς τοῦτο φερομένην πολλαχῶς ἐπιλυόμενος. *Ἀπαρχὴν* δὲ καὶ *ῥίζαν* καλεῖ τοὺς ἀμφὶ τὸν Ἀβραάμ· *φύραμα* δὲ καὶ *κλάδους*, τοὺς ἐκ τοῦ γένους αὐτοῦ πιστεύσαντας. *Καὶ τὸ φύραμα.*] Εἰ οὖν σὺν τῇ ἀπαρχῇ καὶ τῇ ῥίζῃ ἀνάγκη ἐστὶν, εἶναι ἅγιον καὶ τὸ φύραμα καὶ τοὺς κλάδους· οἱ δὲ Ἰουδαῖοι οὐχ ἅγιοι· ἄρα καὶ τῆς συγγενείας ἐξέπεσον τοῦ Ἀβραάμ. Ἢ, ὅτι αὐτοὺς ἁγίους καλεῖ, προτρέπει εἰς τὴν πίστιν, ὡς εἰ εἶπεν· Ἐπιτήδειοί ἐστε καὶ πρέποντες, τὸ θέλειν ὑμῖν λείπει μόνον.

17 Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ
18 κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι, οὐ
19 σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. Ἐρεῖς οὖν· Ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ.
20 Καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίσει
21 ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. Εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσεται.

Εἰ *δέ τινες τῶν κλάδων.*] Ὀλιγότητος σημαντικὴν τέθεικε λέξιν, παραμυθούμενος αὐτούς· ἐπεὶ ἄνω ἐδήλωσεν, ὅτι ὀλίγοι ἐσώθησαν, ὡς ὅταν λέγῃ, *τὸ κατάλειμμα σωθήσεται* (α). *Ἐξεκλάσθησαν.*] Τῇ αὐτῶν ἀπιστίᾳ. *Σὺ δὲ ἀγριέλαιος ὤν.*] Ὅσον δείκνυσιν εὐτελεῖς τοὺς ἐξ ἐθνῶν, τοσούτῳ πλέον παρακνίζει αὐτούς. Εἰπὼν δὲ, *ἐνεκεντρίσθης*, δείκνυσιν, ἐν τῇ διαφερούσῃ αὐτοῖς ῥίζῃ ἐφεστηκότας τοὺς ἐξ ἐθνῶν. Ἄρα εὖ παρακνίζοντος τὰ ῥήματα. *Συγκοινωνὸς τῆς ῥίζης.*] Τοῦτο ταλαιπωρία

(α) Ρωμ. Θ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰουδαίων, τὸ, τοὺς κατὰ μηδὲν διαφέροντας, κοινωνοὺς τῆς διαφερούσης αὐτοῖς γενέσθαι ῥίζης, αὐτοὺς δὲ ἐξωσθῆναι. *Μὴ κατακαυχῶ τῶν κλάδων.*] Δείκνυσι τὴν ἄγαν εὐτέλειαν τῶν Ἰουδαίων. Οὐ γὰρ εἶπε, *καυχῶ*, ἀλλὰ, *κατακαυχῶ*, ὅπερ ἐπὶ τῶν χαμαὶ κειμένων γίνεται. Εἶτα καὶ παραδάκνει αὐτοὺς, δεικνὺς καυχήσεως ἄξια συμβεβηκέναι τοῖς ἔθνεσιν ἐκ τῆς πίστεως, εἰ καὶ μὴ προσήκει καυχᾶσθαι, φησίν. *Οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.*] Καὶ τι τοῦτο πρὸς τοὺς ἐκκλασθέντας κλάδους; Οὐδέν! Εἰ μὲν γὰρ τῆς ῥίζης κατεκαυχώμην, εἶχε λόγον τοῦτο· εἰ δὲ τὴν ῥίζαν, ὡς ἁγίαν, προσκυνῶ, τι πρὸς τοὺς ἐκπεσόντας κλάδους, εἰ βαστάζομαι ὑπὸ τῆς ῥίζης; Ἀλλὰ βούλεται σκιὰν αὐτοῖς ἐξευρεῖν παραμυθίας, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῶσιν, ἀλλ' ἀνανήψωσιν, ὡς ὑπολελειμμένης σωτηρίας. *Ἐρεῖς οὖν· Ἐξεκλάσθησαν κλάδοι.*] Ἐσχημάτισται ὁ λόγος, ὡς τῶν ἐθνῶν λεγόντων· Καὶ διατὶ μὴ καυχήσομαι, τοσούτων μοι ὑπαρξάντων χρηστῶν; οὗτοι ἐξεκλάσθησαν, καὶ ἐγὼ ἐνεκεντρίσθην, καὶ κληρονόμος γέγονα τῆς τῶν πατέρων αὐτῶν δόξης, καὶ τῶν ἐκείνοις δοθεισῶν ἐπαγγελιῶν, ὁ ξένος ἐγὼ καὶ κατ' οὐδὲν προσήκων, ἀπολαύω. Ἐκ δὲ τοῦ εἰπεῖν, *Καλῶς*, συναινεῖ τοῖς ἔθνεσιν, ὡς ἀληθῆ εἰρηκόσιν. *Τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν.*] Ὅρα τὸ σοφὸν τοῦ ἀποστόλου! Ἐν τῷ δοκεῖν τὸν ὑπὲρ Ἰουδαίων ποιεῖσθαι λόγον, πλέον αὐτοὺς ἐπιτρίβει καὶ κατακόπτει. *Σὺ δὲ τῇ πίστει ἕστηκας.*] Τὴν αἰτίαν τῆς τε ἐκείνων ἀποβολῆς καὶ τῆς ἡμῶν προσλήψεως, τὴν εἰς Χριστὸν λέγει πίστιν. *Εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο.*] Θέλει αὐτῶν ἐκτραγῳδῆσαι τὴν συμφοράν, ἐν τάξει ἐπιτιμήσεως τῶν ἐθνῶν. *Μήπως οὐδὲ σοῦ φείσεται.*] Περιαιρεῖ τοῦ λόγου τὸ φορτικὸν τῇ ἀμφιβολίᾳ.

22 Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σὲ, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

23 σῆ. Καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται· δυνατὸς γὰρ ἐστιν ὁ θεὸς πάλιν
24 ἐγκεντρίσαι αὐτούς. Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι, οἱ κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

Ἐπὶ τὸν θεὸν ἄγει τὸ πρᾶγμα καὶ τὴν αὐτοῦ χάριν. Οὐδὲ γὰρ λέγει· Ἴδε πόσον ἔσχες πόνον καὶ κατορθώματα. *Ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι.*] Ἐὰν ἄξια πράττῃς τῆς τοῦ θεοῦ φιλανθρωπίας· οὐ γὰρ πίστεώς σοι δεῖ μόνης. *Ἀποτομίαν δὲ θεοῦ.*] Τὸ μὴ φείσασθαι αὐτῶν, διὰ τὸ ἀναξίους αὐτοὺς εἰρηκέναι τῆς τῶν πατέρων ἀρετῆς. *Ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ.*] Οὔτε γὰρ σοὶ τὰ ἀγαθὰ, οὔτε ἐκείνοις τὰ κακὰ ἀμεταβλητα. *Καὶ ἐκεῖνοι δὲ, ἐὰν μὴ ἐπιμείνωσιν.*] Οὐ γὰρ ὁ θεὸς αὐτοὺς ἐξέκοψεν, ἀλλ' αὐτοὶ ἑαυτούς. *Δυνατὸς γάρ ἐστιν ὁ θεός.*] Τὸ πιθανὸν τῷ λόγῳ ἐκ τῆς τοῦ θεοῦ δυνάμεως περιποιεῖ· δύναται, φησιν, ὁ θεός. *Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου.*] Καὶ λογισμὸν ἀποδίδωσι τοῦ δύνασθαι αὐτοὺς, θελήσαντας, ἐγκεντρισθῆναι. Εἰ γάρ, φησι, τὰ παρὰ φύσιν ἡ πίστις ἐποίησε, πόσῳ μᾶλλον τὰ κατὰ φύσιν; *Ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ.*] Ἵνα μή τις πλέον τι τὸν Ἰουδαῖον ἔχειν νομίσῃ, ἐν τῷ ἀκούειν περὶ τῶν ἐθνικῶν, *παρὰ φύσιν, καὶ, ἐνεκεντρίσθης*, τίθησι καὶ περὶ τῶν Ἰουδαίων τὸ, *ἐγκεντρισθήσονται*, ἵνα ἰσοτιμίαν δείξῃ, καὶ ὅτι οὐδὲν αὐτοῖς πλέον ἐκ τοῦ εἶναι ἐκ τῆς καλλιελαίου, ἅπαξ δεομένοις καὶ αὐτοῖς τοῦ ἐγκεντρισθῆναι. Ὅταν δὲ ἀκούῃς τοῦ Παύλου τὸ, *κατὰ φύσιν*, λέγοντος, τὸ εἰκὸς νόει καὶ τὸ ἀκόλουθον· οἷον, εἰκὸς ἦν τὸ τέκνον τοῦ ἁγίου Ἀβραὰμ, ἅγιον εἶναι· ὥσπερ αὖ, *παρὰ φύσιν*, τὸ ἀπεικὸς καὶ ἀνακόλουθον· οἷον, ἀπεικὸς ἦν τὸ τέκνον τοῦ μιαροῦ Ἕλληνος, ἅγιον γενέσθαι.

25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, τὸ μυστήριον τοῦτο, (ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι,)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλος

ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις
26 οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ· καὶ οὕτω πᾶς
Ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται· « Ἥξει ἐκ
Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ
27 Ἰακώβ. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη,
ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν (α). »

Οὐ θέλω ὑμᾶς ἀγνοεῖν τὸ μυστήριον.] Τὸ παρ' ὑμῶν, φησίν, ἀγνοούμενον. *Παρ' ἑαυτοῖς φρόνιμοι.*] Τῷ γὰρ ἀγνοεῖν, τὴν ἰδίαν ἐκύρουν βουλήν. *Ὅτι πώρωσις.*] Ὡς ἂν δέ, φησι, μὴ μέγα τι καὶ θαυμαστὸν ὑπονοῆτε περὶ ἑαυτῶν, ἀπατώμενοι, ὡς ὄντες ὑπὲρ τοὺς ἄλλους ὑμεῖς συνετοί, μάθετε συντόμως μυστήριον φρικωδέστατον, ἄφατον τοῦ Θεοῦ τὴν περὶ πάντας πρόνοιαν ὑποφαῖνον· Τῶν Ἰσραηλιτῶν, πλὴν τῆς ἐκλέξεως· (τὸ γὰρ, *ἀπὸ μέρους*, τοῦτο φησί·) πωρωθέντων, καὶ τὴν σωτηρίαν ἀπωθουμένων ἐκείνων, ἐφ' ὑμᾶς μετήνεγκε ταύτην ὁ Θεός· εἰσποιηθέντων μέντοι πάντων ὑμῶν, κἀκείνους αὖθις ἡ χάρις ἅπαντας περιλήψεται. Μαρτυρεῖ γὰρ αὐτὸ τοῦτο καὶ τὸ τοῦ Ἡσαΐου λόγιον. *Ἀπὸ μέρους.*] Οὐκ ἐξ ὁλοκλήρου, φησί· καὶ γὰρ ἦσαν καὶ ἐξ Ἰουδαίων ἀμύθητοι πιστεύσαντες, καὶ πιστεύειν μέλλοντες. *Τὸ πλήρωμα τῶν ἐθνῶν.*] *Πλήρωμα τῶν ἐθνῶν* φησι, πάντας τοὺς ἐξ ἐθνῶν πιστεύειν μέλλοντας. Ὅταν τοιγαροῦν πάντες εἰσέλθωσιν εἰς τὴν πίστιν, τότε καὶ ὁ Ἰσραὴλ πιστεύσας σωθήσεται· *Ἰσραὴλ* δέ φησι, τοὺς ἐν τῷ ἰουδαϊσμῷ ἀπομεμενηκότας· « ὅτι θήσεις γὰρ αὐτούς, φησι, νῶτον, καὶ ἐν *τοῖς περιλοίποις*, τουτέστι, καταλοίποις, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν (β). » *Καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται.*] Ἀντὶ τοῦ, οἱ πλείονες. Τουτέστιν, ἀποστρέψουσι μὲν ἐξ ἁμαρτιῶν, ἐπιστρέψουσι δὲ πρὸς αὐτόν. *Ἥξει ἐκ Σιών.*] Τὸν Ἡσαΐαν πάλιν εἰσάγει βοῶντα, ὅτι ἥξει ἐκ Σιὼν ὁ δυνάμενος σῶσαι, καὶ καθαρίσει τὰς ἁμαρτίας τῶν Ἰσραηλιτῶν. Καὶ πότε ταῦτα

(α) Ἱερ. ΝΘ', 20. 21. Ἱερ. ΛΗ', 33. (β) Ψαλμ. Κ', 13.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἔσται; *Ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν*, τουτέστιν, ὅταν τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως καταξιώσω. Ὥσε, ἐπεὶ οὔπω ταύτης ἔτυχον· (πεπώρωνται γάρ·) ὕστερον μέλλει γενέσθαι τοῦτο. *Καὶ αὕτη αὐτοῖς.*] Τοῦτό ἐστιν ἡ διαθήκη, οἷον σημεῖον. Ἵνα μή τις εἰς τοὺς ἤδη πεπιστευκότας ἐξ Ἰουδαίων νομίσῃ τὴν γραφὴν ἁρμόζειν, λέγει σημεῖον, δι' οὗ δείκνυται, ὅτι μέλλει ἡ προφητεία. Ποῖον τοῦτο; *Ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.* Εἰ οὖν μήπω ἀφείλετο, ἄρα μέλλει ἡ γραφή. Ὅθεν ἐπάγει· *Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ θεοῦ. Ὅταν ἀφέλωμαι*, τότε, φησὶν, ἐκβήσεται ἡ ἐπαγγελία τοῦ θεοῦ.

28 Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ
29 τὴν ἐκλογήν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. Ἀμε-
ταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ
30 θεοῦ. Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ
31 θεῷ, νυν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ· οὕτω
καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα
καὶ αὐτοὶ ἐλεηθῶσι.

Ὅσον μέν, φησιν, ἦκεν εἰς τὸ εὐαγγέλιον, δι' ὑμᾶς τοὺς ἐξ ἐθνῶν, ἐχθροί εἰσιν οἱ Ἰουδαῖοι. Πῶς; Ὑμῶν γὰρ τὴν πίστιν εὐαγγελισθέντων, φιλονεικότεροι γενόμενοι, ἀπεσκίρτησαν τῆς πίστεως. *Ἐχθροὶ δι' ὑμᾶς.*] Ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι διὰ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ὡς ἀνωτέρω ἔλεγεν· *Ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω* (α). Διατί; *Εἴ πως, φησὶ, παραζηλώσω μου τὴν σάρκα.* Εἰ γὰρ διὰ τῆς πίστεως τῶν ἐθνῶν παραζηλοῦσι καὶ μιμοῦνται οἱ Ἰουδαῖοι, καὶ πιστοὶ γίνονται· πῶς δι' αὐτοὺς ἐχθροὶ γίνονται πάλιν τῆς πίστεως καὶ τοῦ εὐαγγελίου; Ἀλλὰ πρῶτον φαμὲν, ὅτι οὐκ ἔφη, διὰ τῆς πίστεως τῶν ἐξ ἐθνῶν παραζηλοῦν καὶ μιμεῖσθαι τοὺς Ἰουδαίους· ἀλλὰ διὰ τὸ δοξάζεσθαι αὐτοὺς, διὰ τὸ ἐπαινεῖσθαι· ἡ γὰρ δόξα καὶ ὁ ἔπαινος

(α) Ρωμ. ΙΑ', 13. 14.

ὁ εἰς τοὺς ἐξ ἐθνῶν, ἀνερεθίσουσιν αὐτοὺς, καὶ εἰς ζῆλον καὶ μίμησιν παρακαλέσουσιν. Ὥσε οὐκ ἐναντία ἐστὶν ἀλλήλοις τὰ εἰρημένα. Δεύτερον δέ· οὐδὲ κατὰ ἀπόφασιν ἔφη, ὅτι παραζηλώσουσιν οἱ Ἰουδαῖοι, ἀλλ' ἀμφιβόλως διστάζων· *Εἴπως* γάρ, φησι, *παραζηλώσω μου τὴν σάρκα*· οἷον, ἴσως, τάχα. Ὥστε εἰ καὶ διὰ τῆς αὐτῶν πίστεως, οὐχὶ δὲ διὰ τῆς δόξης καὶ τῶν ἐπαίνων, ἔλεγε παραζηλοῦν τοὺς Ἰουδαίους, οὐδὲ οὕτως ἐμάχετο· διὰ μὲν γὰρ τοῦ εἰπεῖν, *Ἐχθροὶ δι' ὑμᾶς*, τῶν Ἰουδαίων τὴν ἀπιστίαν λέγει, καὶ τὴν αἰτίαν, δι' ἣν σφοδρότερον ἀπεχθάνονται τῇ πίστει· διὰ δὲ τοῦ, *Εἴπως παραζηλώσω μου τὴν σάρκα*, τὴν ἰδίαν ἐνδείκνυται σπουδὴν καὶ προθυμίαν, ἣν εἶχεν εἰς τὸ σῶσαι τοὺς ἐξ Ἰουδαίων. Καὶ χωρὶς δὲ τῶν εἰρημένων, οὐδ' οὕτως ἐμάχετο τὰ λεχθέντα, κἂν ἄμφω ἀποφαντικῶς εἴρητο. Καὶ γὰρ οὐδὲν ἐκώλυε, τινὰς μὲν τῶν πεπιστευκότων, ἀνερεθισθέντας τῇ πίστει τῶν ἐθνῶν, παραζηλῶσαι καὶ πιστεῦσαι· καὶ τῶν μὴ πεπιστευκότων πάλιν πολλοὺς, ἀπεχθείᾳ καὶ μίσει τῷ πρὸς τοὺς ἐξ ἐθνῶν, σκληροτέρους καὶ ἀπειθεστέρους γενέσθαι τῷ εὐαγγελικῷ κηρύγματι· ὡς ἔστι καὶ ἐπ' αὐτῶν ἰδεῖν τῶν πραγμάτων. Οἱ μὲν γὰρ, μιμούμενοι τοὺς ἐξ ἐθνῶν, προσέρχονται τῇ πίστει καὶ σώζονται· οἱ δὲ, τούτοις ἀπεχθανόμενοι, σφοδρότεροι ἔχθροὶ καὶ τῆς πίστεως καθίστανται. *Κατὰ δὲ τὴν ἐκλογήν.*] Κατὰ δὲ τὸ ἐκλελέχθαι τοὺς πατέρας αὐτῶν ὑπὸ θεοῦ, *ἀγαπητοί* εἰσιν. *Διὰ τοὺς πατέρας.*] Εἶτα, ἐπειδὴ ἐναπομεμενήκασι τῇ ἀπιστίᾳ, καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἀγαπητοὶ, ἀσφαλῶς λαλῶν, φησὶ, *διὰ τοὺς πατέρας*, ὡς εἰ εἶπεν· Εἰ καὶ αὐτοὶ διὰ τὰν ἀπιστίαν οὐκ ἀγαπητοὶ, διὰ μέντοι τοὺς πατέρας ἔτι ἀγαπῶνται· ὅθεν καὶ σωτηρίαν ἐκδέχονται. *Καὶ ἡ κλῆσις τοῦ θεοῦ.*] Ἡ γενομένη περὶ τὸ ἔθνος τῶν Ἰουδαίων. Ὥσπερ γὰρ καὶ *ὑμεῖς ποτε ἠπειθήσατε τῷ θεῷ.*] Δείκνυσιν ἐνταῦθα τοὺς ἐξ ἐθνῶν πρότερον κεκλημένους· εἶτα, ἐπειδὴ οὐχ ὑπήκουσαν, τοὺς Ἰουδαίους ἐλεηθέντας· καὶ τὸ αὐτὸ πάλιν

συμβὰν μετὰ ταῦτα. Ἐπειδὴ γὰρ οὐκ ἠθέλησαν οἱ Ἰουδαῖοι πιστεῦσαι, πάλιν ἐκλήθη τὰ ἔθνη· καὶ κληθέντα τὸ δεύτερον, ἐπίστευσαν· ἀλλ' οὐκ εἰς τὴν ἐκβολὴν τῶν Ἰουδαίων τελευτᾷ, ἀλλ' εἰς τὸ καὶ αὐτοὺς ἐλεηθῆναι πάλιν. Προτρέπεται δὲ τοὺς Ἰουδαίους ἐπὶ τὴν εἰς Χριστὸν πίστιν διὰ τούτων· καὶ ἅμα χρηστὰς αὐτοῖς ἐλπίδας ὑποτείνει, καὶ πᾶσαν αἰσχύνην ἀναιρεῖ. Μὴ αἰσχυνθῇς, φησι, κἂν ἠπείθησας προσελθεῖν· μηδ' ἀπελπίσῃς, ὡς βραδύτερον προσερχόμενος· τεύξῃ καὶ οὑτωσὶ προσιὼν τοῦ ἐλέους. Καὶ γὰρ καὶ τὰ ἔθνη κληθέντα, ἠπείθησαν πρότερον· ἀλλὰ νῦν ἐπίστευσαν, μήτε τὴν προτέραν αἰσχυνθέντα ἀπείθειαν, μηθ' ὑπὸ της βραδυτῆτος εἰς τὴν σωτηρίαν παρεμποδισθέντα. Μηδ' αὐτὸς τοίνυν, ὦ Ἰουδαῖε, μήτ' αἰσχυνθῇς, μήτε ἀπελπίσῃς· ἀλλὰ πρόσελθε προθύμως τῇ πίστει, καὶ πάντως ἐλεηθήσῃ. Ἡ οὖν προτροπῆς καὶ παραινέσεως τόπον ἐπέχει τὰ εἰρημένα, ἢ καὶ προφητείας, πιστούμενα τὸ μέλλον ἀπὸ τῆς τῶν ἐκβεβηκότων παραθέσεως καὶ μαρτυρίας. Τὸ δὲ, *Ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, καὶ Ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει*, φησὶν, οὐχ ὅτι ἡ ἀπείθεια τῶν Ἰουδαίων αἰτία γέγονε τοῦ ἐλεηθῆναι τὰ ἔθνη, οὐδ' ὅτι τὸ ἔλεος τῶν ἐθνῶν, αἴτιον γέγονε τῆς τῶν Ἰουδαίων ἀπειθείας· ἀλλὰ ταῦτά φησι, δεικνὺς καὶ διδάσκων, ὅτι ὁ θεὸς οὐδέποτε διέλιπε τὸ αὐτοῦ ποιῶν, καὶ τὸ ἔλεος αὐτοῦ πηγάζων. Κἂν γὰρ πάλαι μὲν ἠπείθει τὰ ἔθνη, νῦν δὲ ἀπειθοῦσιν Ἰουδαῖοι, αὐτὸς ὅμως εὐεργετῶν καὶ ἐλεῶν οὐ διαλιμπάνει. Καὶ δῆλον ἐκ τοῦ καὶ τότε ἐλεεῖσθαι τοὺς Ἰουδαίους, ἀπειθούντων τῶν ἐθνῶν, καὶ νῦν ἐλεεῖσθαι τὰ ἔθνη, τῶν Ἰουδαίων ἀπειθούντων· καὶ, τὸ ἔτι σαφέστερον, ὅτι καὶ ἔτι τοὺς Ἰουδαίους, κἂν ἠπείθησαν, ἐλεήσει. Ἅμα δὲ καὶ ἔνδειξίς ἐστι πρὸς τοὺς Ἰουδαίους, ὡσανεὶ ἔλεγεν· Ὅτι, κἂν αὐτοὶ ἐξέστητε τῆς πίστεως, μὴ νομίσητε, ὅτι ἔλαττόν τι ἔσχεν ἡ πίστις· ὥσπερ γὰρ πάλαι τῶν ἐθνῶν ἐξεστηκότων, οὐδὲν ἔλαττον ἔσχε τὰ τῆς εἰς θεὸν θεραπείας, οὕτω καὶ νῦν, ὑμῶν ἀπογιζομένων τῆς πίστεως, οὐδὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔλαττον τὰ τῆς πίστεως ἔξει. Ἐσχημάτισε δὲ πρὸς τοὺς ἐξ ἐθνῶν τὰ εἰρημένα, ἀνεπαχθέστερον τὸν πρὸς Ἰουδαίους ἔλεγχον βουλόμενος ποιεῖσθαι. Δυνατὸν δὲ, καὶ πρὸς τοὺς ἐξ ἐθνῶν ἐκλαβεῖν εἰρῆσθαι ταῦτα· ὥστε μὴ μεγαλορρονεῖν, ὅτι ἐπίστευσαν· ἐλέει γάρ, φησι, καὶ ὑμεῖς πεπιστεύκατε, καὶ οἱ ἀπειθήσαντες, ἐλεηθήσονται καὶ πιστεύσουσιν.

32 Συνέκλεισε γὰρ ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα
33 τοὺς πάντας ἐλεήσῃ. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ! Ὡς ἀνεξερεύνητα τὰ κρίματα
34 αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τίς γὰρ ἔγνω
35 νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς
36 προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Συνέκλεισε τοὺς πάντας εἰς ἀπείθειαν.] Τουτέστιν, ἤλεγξεν, ἀπέδειξε πάντας ἀπειθοῦντας. ΚΑΙ ΑΛΛΩΣ. Τὸ, *Συνέκλεισεν ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν*, δύο δύναται δηλοῦν· ἢ ὅτι ἀπειθεῖς ἐποίησεν, ὅπερ οὐκ ἔχει χώραν· ἢ ὅτι ἀπειθεῖς ἀπέδειξεν, ὅπερ ἐστὶ καὶ ἀληθές. Διὰ γὰρ τῆς πολλῆς αὐτοῦ προνοίας καὶ εὐεργεσίας, ἣν διαπαντὸς εἰς τοὺς ἀνθρώπους ἐπεδείξατο, μᾶλλον αὐτῶν τὴν ἀπείθειαν καὶ ἀγνωμοσύνην ἐστηλίτευσέ τε καὶ ἐθριάμβευσε· δῆλον δὲ, ὅτι τῶν μὴ πεπιστευκότων εἰς αὐτὸν, εἴτε ἐξ Ἰουδαίων, εἴτε ἐξ ἐθνῶν εἶεν· διὸ καὶ τὸ, *πάντας*, φησὶ, τοὺς ἐκ τῶν δύο λαῶν ἀπιστήσαντας περιλαμβάνων. Πῶς δὲ *συνέκλεισεν ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν;* Εὐεργετῶν καὶ προνοούμενος καὶ οἰκτείρων. Τί οὖν; ἀπειθεῖς γεγονότες οὐ δώσουσι δίκην; Καὶ τί τοῦτο πρὸς τὸν εὐεργέτην; Ἐκεῖνος μὲν γὰρ, ἵνα πάντας ἐλεήσῃ, πάντων προὐνόει καὶ εὐηργέτει· εἰ δὲ ἠπείθησαν ἐκεῖνοι, οὐδὲν τοῦτο πρὸς τὸν εὐεργέτην· ὅμως οὖν καὶ οὕτως ἐπιστρέφοντας ἐλεήσει, καὶ οὐκ ἀποστραφήσεται. Ἢ οὕτως· Ἠπείθησαν τὰ ἔθνη πάλαι, ἠπείθησαν νῦν οἱ Ἰουδαῖοι, καίτοι ἔδει κἀκείνους, τηλικούτοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρασι καὶ σημείοις εὐεργετουμένους τοὺς Ἰουδαίους ὁρῶντας, μὴ ἀπειθῆσαι, καὶ τοὺς Ἰουδαίους νῦν, μείζονα βλέποντας θαυματουργούμενα, πρὸ τῶν ἐθνῶν τῇ πίστει προσελθεῖν. Ἀλλ' οὔτε τὰ ἔθνη τότε, οὔτε νῦν οἱ Ἰουδαῖοι τὸ ἄμεινον σφίσιν εἵλοντο. Ὥστε δῆλον, ὅτι καὶ τότε οἱ Ἰουδαῖοι, καὶ νῦν τὰ ἔθνη, ἐλέει θεοῦ καὶ φιλανθρωπίᾳ, καὶ πρὸς τὴν πίστιν ἐχειραγωγήθησαν, καὶ τῆς σωτηρίας ἔτυχον. Ἢ μᾶλλον οὕτως· Ἐπειδὴ εἶπεν, Ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι, τοὺς Ἰουδαίους δηλῶν, λέγει νῦν, Ἵνα τοὺς πάντας ἐλεήσῃ· τουτέστιν, ἵνα τοὺς ἑτέρους διὰ τῆς τῶν ἑτέρων σώσῃ φιλονεικίας. Πρότερον γὰρ, ἀπειθησάντων τῶν ἐθνικῶν, ἔσωσεν, ὡς εἴρηται, τοὺς Ἑβραίους· πάλιν ἐπὶ Χριστοῦ, ἀπειθησάντων τῶν Ἰουδαίων, ἐσώθησαν οἱ ἐθνικοί· σωθέντων δὲ τῶν ἐθνικῶν, παραζηλοῦντες οἱ Ἰουδαῖοι, σώζονται καὶ αὐτοί· καὶ οὕτω πάντες ἐλεοῦνται· οὗτοι δι' ἐκείνων, κἀκεῖνοι διὰ τούτων. Ὦ βάθος.] Ὅτι μὲν βάθος ἐστὶν, οἶδε· ὁποῖον δὲ τὸ ποσὸν, ἀγνοεῖ. Πλοῦτον δὲ ὀνομάζει τὴν ἀγαθότητα. Πλούτου καὶ σοφίας.] Ἐννοήσας τὴν ἐξ ἀρχῆς σοφὴν τοῦ θεοῦ οἰκονομίαν, πῶς διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖ, καὶ τί πρὸς αὐτὴν εἰπεῖν ἀπορήσας, ἐθαύμασε μόνον. Ὡς ἀνεξερεύνητα.] Οὐ γὰρ μόνον γνωσθῆναι οὐ δύναται, ἀλλ' οὐδὲ ζητηθῆναι. Αἱ ὁδοὶ αὐτοῦ.] Αἱ οἰκονομίαι αὐτοῦ, φησί. Τίς γὰρ ἔγνω νοῦν Κυρίου;] Αὐτός, φησι, τὰ ἑαυτοῦ οἶδε μόνος, καὶ οὐδεὶς ἕτερος. Σοφὸς δὲ ὢν, οὐ παρ' ἑτέρου συμβούλου ἐσοφίσθη, ἀλλ' αὐτὸς ἑαυτῷ αὐτάρκης ἦν καὶ ἐστίν. Ἀλλὰ καὶ πάντων τῶν ἀγαθῶν πηγή ἐστιν. Ἢ τίς προέδωκεν αὐτῷ;] Οὐδενί, φησιν, ἀμοιβὴν χρεωστῶν εὐεργετεῖ· ἀλλ' αὐτὸς ἀεὶ κατάρχεται τῶν δωρεῶν. Ὅτι ἐξ αὐτοῦ.] Αὐτὸς εὗρε τὰ ἀγαθά. Καὶ δι' αὐτοῦ.] Αὐτὸς καὶ ἐποίησε τὰ ὄντα. Καὶ εἰς αὐτὸν τὰ πάντα.] Αὐτός συγκρατεῖ τὰ γενόμενα, ὡς συνοχεύς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.] Ἐπειδὴ μεγάλα εἶπε καὶ ἄγνωστα, θαυμάσας μόνον, ὡς ἔθος ἦν αὐτῷ, εἰς δοξολογίαν ἐτελεύτησεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Παραίνεσις περὶ ἀρετῆς τῆς πρὸς τὸν θεὸν καὶ ἀνθρώπους· ἐν ᾗ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας· περὶ τῆς πρὸς θεὸν λατρείας· περὶ τῆς πρὸς ἀντικειμένους ἀνεξικακίας· περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς· περὶ σωφροσύνης καὶ πραότητος· περὶ τῆς ἐν βρώμασι καὶ ἡμέραις ἀμάχου διανοίας.

ΚΕΦ. XII, 1 Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λο-
2 γικὴν λατρείαν ὑμῶν· καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.

[Ἐπειδὴ ἱκανῶς τῷ δογματικῷ ἐνδιέτριψε λόγῳ, λοιπὸν καὶ εἰς τὸν ἠθικὸν πρόεισι. Καὶ ἐπεὶ ἔδειξε τὴν τοῦ θεοῦ περὶ ἡμᾶς ἄφατον οἰκονομίαν καὶ ἀγαθότητα, παρακαλεῖ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, τουτέστιν, αὐτοὺς τοὺς οἰκτιρμοὺς μεσίτας προβαλλόμενος, ὡς ἂν τούτους αἰδεσθέντες, μηδὲν ἀνάξιον αὐτῶν ἐπιδειξώμεθα (1).] Αὐτοί, φησιν, οἱ οἰκτιρμοὶ τοῦ θεοῦ, δι' ὧν ἐσώθητε, παρακαλοῦσιν ὑμᾶς· (αὐτοὺς γὰρ εἰσφέρει τὴν ἱκετηρίαν ποιουμένους·) ὅπως ἀξίαν αὐτῶν μετέλθητε πολιτείαν. *Παραστῆσαι τὰ σώματα ὑμῶν.*] Εἰς τὰ δύο προτρέπεται, εἰς τὴν τοῦ βίου ἐπιμέλειαν, καὶ εἰς τὴν τῆς πίστεως σπουδήν. Δι' ὧν μὲν γάρ φησι, *Παραστῆσαι τὰ σώματα ὑμῶν*, καὶ ἑξῆς,

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρίστην πολιτείαν μετέρχεσθαι παραινεῖ· δι' ὧν δὲ, *τὴν λογικὴν λατρείαν ὑμῶν*, φησι, τὴν ὀρθότητα τῆς πίστεως διώκειν αὐτοὺς ἀπαιτεῖ. Προτίθησι δὲ τὰ τῆς πολιτείας· ἐπειδὴ τῷ καθαρῷ βίῳ καὶ ὁ τῆς εὐσεβείας ἀκολουθεῖν εἴωθε λόγος. Ὅρα δὲ, πῶς εἶπεν ἄμφω εὐφυῶς καὶ δριμέως. Παραστήσατε γάρ, φησι, τὰ σώματα ὑμῶν *θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ*. Εἶτα μὴ ἀρκεσθεὶς τούτοις, ἐπάγει καὶ ἕτερον. Ποῖον; Κατὰ τὴν *λογικὴν λατρείαν ὑμῶν*, τουτέστι, κατὰ τοὺς ἐκείνης νόμους, συμφώνως ἐκείνῃ, καὶ κατ' ἐκείνην, ἐν μηδενὶ διαφωνοῦντες αὐτῇ. Τοῦτο γάρ ἐστι τὸ ἁγίαν καὶ ζῶσαν καὶ εὐάρεστον τῷ θεῷ θυσίαν παραστῆσαι τὸ σῶμα ἡμῶν, τὸ μηδὲν ἔξω τῶν κατὰ τὴν λατρείαν ἡμῶν νομοθετηθέντων πολιτεύεσθαι. Δεῖ γὰρ ἄμφω, τὴν πίστιν τῷ βίῳ, καὶ τὸν βίον συνομολογεῖν τῇ πίστει. Ὥσπερ γὰρ ὁ πίστιν ἐπαγγειλάμενος ὀρθὴν, φαῦλος δὲ τὸν τρόπον, δι' ὧν πράττει τὴν ὁμολογίαν ἐλέγχει τῆς πίστεως· οὕτω καὶ ὁ πράξεις ἐπιδεικνύμενος ἀγαθὰς, πίστιν δὲ πρεσβεύων δυσσεβῆ, δι' ὧν δυσσεβεῖ, καὶ τὰς πράξεις φαυλίζει, καὶ θριαμβεύει μηδένα καρπὸν αὐταῖς ἐνεῖναι πνευματικόν. Δεῖ ἄρα πολιτεύεσθαι κατὰ τὴν λογικὴν λατρείαν ἡμῶν. *Ζῶσαν*.] Ἐπειδὴ εἶπε *θυσίαν*, ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι ἑαυτοὺς κελευόμεθα, ἐπήγαγε, *ζῶσαν*. Πῶς δὲ ἔσται θυσία τὸ σῶμα; Ὁράτωσαν ὀρθὰ οἱ ὀφθαλμοί· ἡ γλῶσσα καὶ ἡ χεὶρ, ἡ μὲν, εἰς ὑμνῳδίαν θεοῦ, ἡ δὲ, εἰς ἐντολὰς ἀσχολείσθω· καὶ γίνεται, οὕτω ποιούντων, θυσία ζῶσα τὸ σῶμα. *Ἁγίαν*.] Διαιρῶν ταύτην τὴν θυσίαν ἀπὸ τῆς ἰουδαϊκῆς, φησὶν, *ἁγίαν, εὐάρεστον*, καὶ *λογικήν*· ἡ γὰρ ἰουδαϊκὴ, σωματικὴ οὖσα, οὐ σφόδρα ἦν ἁγία καὶ εὐάρεστος, ὡς ἄλογα θύουσα. *Τὴν λογικὴν λατρείαν*.] Τὴν πνευματικήν, φησι, διακονίαν, τὴν κατὰ Χριστὸν πολιτείαν· ὡς εἰ εἶπε· Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν διὰ λογικῆς λατρείας, τουτέστι, τῆς ἀναιμάκτου· ἢ, Προσενέγκατε θυσίαν ζῶσαν, καὶ τὴν λογικὴν λατρείαν. Ἀπὸ κοινοῦ τὸ, Προσενέγκατε. *Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτῳ.] Καὶ πῶς ἄν τις ἑαυτὸν προσενέγκῃ θυσίαν ζῶσαν; Πῶς; *Μὴ συσχηματίζεσθε*, τουτέστι, μὴ τυποῦτε ἑαυτοὺς κατὰ τὸ σχῆμα τοῦ κόσμου τούτου· οὐδὲν γὰρ ὑγιὲς ἔχει ἢ μόνιμον· διὸ καὶ *σχῆμα* αὐτὸ καλεῖ, δηλῶν τὸ μὴ μένον· τοῦτο δὲ εἰπὼν, δηλοῖ τὸ ἐπίκηρον. Ἢ, Μὴ συμμεταβάλλεσθε τοῖς καιροῖς. —ΑΛΛΩΣ. Εἰπὼν, *Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ*, τουτέστι, Μὴ συμμεταβάλλεσθε καὶ συμμετατίθεσθε ταῖς διδασκαλίαις τῶν ἐκ τοῦ αἰῶνος τούτου, τοῦ ῥέοντος καὶ οὐχ ἱσταμένου, τὴν διδασκαλίαν προσαγόντων. Τοῦτο δὲ εἰπὼν, ἵνα μή τινες τῶν Ἰουδαίων εἴπωσιν· Οὐκοῦν οὐδ' ὅλως δεῖ ἡμᾶς μετατίθεσθαι καὶ μετασχηματίζεσθαι ἀπὸ τῆς παραδεδομένης ἡμῖν ἀπὸ τοῦ νόμου διδασκλίας· διὰ τοῦτο ἐπάγει· *Ἀλλὰ μεταμορφοῦσθε*, τουτέσιν, ὅτι Δεῖ ὑμᾶς κατὰ τὸ θέλημα τοῦ θεοῦ μετατίθεσθαι. Πολὺ δὲ τὸ μέσον τῆς ἀπὸ τοῦ κόσμου διδασκαλίας, καὶ τῆς κατὰ τὸ θέλημα τοῦ θεοῦ σοφίας· καὶ ἡ μὲν καὶ αὐτὸ τὸ σχῆμα τὸ νομικὸν ἀπόλλυσιν, εἰς ἄλλο σχῆμα κακίας καὶ διαφθορᾶς ἄγουσα· ἡ δὲ, οὐ μόνον οὐκ ἀπόλλυσι τὸ τοῦ νόμου σχῆμα· (ἐν σχήματι γὰρ καὶ τύπῳ καὶ σκιᾷ τὰ τοῦ νόμου ὑπῆρχεν·) ἀλλὰ καὶ βελτιοῖ αὐτὸ, τὴν λειπομένην αὐτῷ μορφὴν καὶ τὸ κάλλος ἀπαρτίζουσα καὶ ἀναπληροῦσα. Διὸ καλῶς, *Μὴ συσχηματίζεσθε*, φησὶν, *ἀλλὰ μεταμορφοῦσθε*· τὸ μὲν γάρ ἐστιν ἀπώλεια· τὸ δὲ, σωτηρία καὶ τελειότης. —*Ἀλλὰ μεταμορφοῦσθε.*] Ὅρα δὲ, πῶς ἐπὶ μὲν τοῦ κόσμου, *σχῆμα* ὠνόμασεν· ἐπὶ δὲ τῆς ἀρετῆς, *μορφὴν* λέγει, δεικνὺς τὸ φυσικὸν αὐτῆς κάλλος. *Τῇ ἀνακαινώσει.*] Ἐπειδὴ ἄνθρωπον ὄντα οὐκ ἔστι μὴ ἁμαρτεῖν, φησὶν· Ἀνακαίνου σαυτὸν διὰ μετανοίας ἀεί. Οὐδὲν γὰρ οὕτω παλαιοῖ ψυχὴν καὶ σῶμα, ὡς ἁμαρτία. *Εἰς τὸ δοκιμάζειν.*] Ἢ τοῦτο φησὶν· Ἀνακαινωθῆναι, ἵνα μάθῃς, τί τὸ συμφέρον, καὶ τί τὸ θέλημα τοῦ θεοῦ· ἢ ὅτι, Οὕτω δυνήσῃ ἀνακαινωθῆναι, ἐὰν μάθῃς, τί τὸ συμφέρον, καὶ τί τὸ θέλημα τοῦ θεοῦ. *Καὶ εὐάρεστον.*] Πρὸς Ἰουδαίους ἀποτείνεται, οἵ τινες εἴχοντο τοῦ νόμου, λέγων, ὅτι καὶ ὁ νόμος

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

μὲν θέλημα ἦν θεοῦ· ἀλλ' οὐκ εὐάρεστον, οὐδὲ τέλειον· οὐ γὰρ προηγουμένως ἐδόθη· ἀλλὰ διὰ τὴν ἀσθένειαν αὐτῶν συνεχωρήθη· τέλειον δὲ καὶ εὐάρεστον ἡ νέα Διαθήκη.

3 Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως.

Ἄνω, *Διὰ τῶν οἰκτιρμῶν*, εἰρηκὼς, νῦν, *Διὰ τῆς χάριτος*, φησὶν, οὐδαμοῦ ἀξιόπιστον ἑαυτὸν νομίζων, διὰ ταπεινοφροσύνην, πρὸς τὸ πεῖσαι. Διὰ τοῦτο ποτὲ μὲν τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ, ποτὲ δὲ τὴν χάριν μεσίτας προβάλλεται. Εἰπὼν δὲ, *διὰ τῆς χάριτος*, τῶν εὐεργεσιῶν ὑπομιμνήσκει τοῦ θεοῦ. *Παντὶ τῷ ὄντι ἐν ὑμῖν.*] Τὸ, *Παντὶ τῷ ὄντι ἐν ὑμῖν*, διαφόρως ἐγχωρεῖ νοηθῆναι. Ἢ ὅτι, *Λέγω παντὶ τῷ ὄντι ἐν ὑμῖν*· τουτέστι, Πᾶσι λέγω, πᾶσι παραινῶ, καὶ ταύτην τὴν ἐξουσίαν ἐκ τῆς χάριτος ἔχω. Ἢ, Λέγω, μὴ ὑπερφρονεῖν ὑμᾶς ἐν παντὶ χαρίσματι, τῷ ὄντι ἐν ὑμῖν. Ταύτην γὰρ τὴν ἔννοιαν καὶ τὰ ἐπαγόμενα δηλοῖ, ἐν οἷς φησὶν· *Ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε*, καὶ ἑξῆς. Σοφῶς δὲ λίαν καὶ συνετῶς προέταξε, μέλλων αὐτοὺς νουθετεῖν εἰς τὸ μὴ ὑπερφρονεῖν, τὸ, *Διὰ τῆς χάριτος τοῦ θεοῦ*. Ἐπειδὴ γὰρ καὶ τὸ νουθετεῖν καὶ ἐπιτάττειν ἄλλοις ἐνίοτε ἐξ ὑπερφροσύνης γίνεται, προλαβὼν ἰάσατο τοὺς τοιούτους λογισμούς. Οὐκ ἔστι, φησὶν, ἐξ ἐμῆς ὁρμῆς τὸ νουθετεῖν ὑμᾶς· διὰ τῆς χάριτος τοῦτο ποιῶ τοῦ θεοῦ· αὐτὸς κελεύει· αὐτοῦ ἐπίταγμα πληρῶ. Δεῖ οὖν πείθεσθαι, καὶ μὴ ἀντιλέγειν. *Μὴ ὑπερφρονεῖν.*] Παραινεῖ περὶ ταπεινοφροσύνης. Μὴ παρὰ τὰ μέτρα, φησὶ, φρονῶμεν· τοῦτο γὰρ ἀνοίας ἢ ἀπονοίας ἐστίν· *ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν*· φρόνησιν γὰρ ἐλάβομεν, οὐχ ἵνα εἰς ἀπόνοιαν αὐτῇ χρησώμεθα, καὶ μωράνωμεν αὐτήν· ἀλλ' ἵνα εἰς σωφροσύνην, τουτέστιν, εἰς τὸ ὑγιαίνειν τὴν διάνοιαν· ταύτην γὰρ νῦν *σωφροσύνην* καλεῖ, οὐ τὴν πρὸς τὴν ἀσέλγειαν ἀντιδιαστελλομένην. *Ὡς ὁ θεὸς ἐμέρισε.*] Πῶς ἐμέρισε;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ φιλοτιμίαν; Μὴ γένοιτο! Ἀλλὰ πῶς; Κατὰ τὸ μέτρον τῆς πίστεως· πίστεως δὲ, οὐ τῆς μετὰ τὴν λατρείαν φησί· πάντες γὰρ πιστοὶ καὶ εὐσεβεῖς καὶ τέλειοι ἐν αὐτῇ εἰσι δηλονότι, οἱ χαρισμάτων ἐν τῷ βαπτίσματι ἀξιωθέντες· ἀλλὰ τῆς κατὰ τὰ χαρίσματα νῦν φησὶ πίστεως, καθὼς καὶ ἐν εὐαγγελίοις εἴρηται· Κύριε, δὸς ἡμῖν πίστιν (α)· καὶ πάλιν· Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως (β). Δῆλον γὰρ, ὡς ἕτερον τοῦτο τὸ σημαινόμενον τῆς πίστεως, παρὰ τὸ ἐπὶ τῆς εὐσεβείας λαμβανόμενον. Ἦσαν τινὲς παρ' αὐτοῖς χαρισμάτων ἠξιωμένοι· καὶ οἱ μὲν ἐφρόνουν μέγα ἀπ' αὐτοῖς, καὶ ἀπενοοῦντο κατὰ τῶν ἄλλων· οἱ δὲ, ἐζήλουν. Καί φησι· Τί ἀπονοῇ; ἢ τί παραζηλοῖς; Εἰ ὁ θεὸς ἐμέρισε, πάντως καλῶς καὶ συμφερόντως ἐμέρισε. Στοιχείτω τοιγαροῦν ἕκαστος ᾧ ἔχει, καὶ μήτε ὑπεραιρέσθω· (θεοῦ γὰρ δόσις ἐστὶν, οὐ σὸν τὸ κατόρθωμα·) μήτε ζηλούτω· ὁ θεὸς γὰρ ἐμέρισε, καί οἶδε, τι ἑκάστῳ πρέπον καὶ ἁρμόδιον. *Μέτρον πίστεως.*] Ἕκαστος εἰς αὐτό, φησιν, ἐμμενέτω, καὶ μήτε ζηλούτω, μήτε ὑπεραιρέσθω. *Πίστεως* δέ φησιν, ἤγουν χαρίσματος (1).

4 Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν,
5 τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως
οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεὶς,
6 ἀλλήλων μέλη. Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν
χάριν, τὴν δοθεῖσαν ἡμῖν, διάφορα· εἴτε προφητείαν,
7 κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν,
ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·
8 εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει·

Τί γάρ σύ, φησι, μέγα φρονεῖς; τί δὲ σὺ ζηλοῖς; Οὐ πάντες ἐσμὲν σῶμα ἓν, μέλη δὲ ἀλλήλων; Καὶ οὐκ εἶπεν· Ὁ εὐτελὲς δοκεῖν ἔχειν χάρισμα, μέλος ἐστὶ τοῦ τὸ μεῖζον ἔχοντος·

(α) Λουκ. ΙΖ', 5. Πρόσθες ἡμῖν πίστιν. (β) Ματθ. ΙΖ', 20.

(1) Ὁ Θεοδώρητος· «Τὴν χάριν ἐνταῦθα π ί σ τ ι ν ἐκάλεσε. Διὰ γὰρ τῆς πίστεως ἡ τῆς χάριτος δόσις, καὶ πρὸς τὸ μέτρον τῆς πίστεως χορηγεῖται τὰ δῶρα τῆς χάριτος. Κελεύει δὲ, τῇ δοθείσῃ χάριτι μετρεῖν τὸ φρόνημα τῆς ψυχῆς.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ὅτι Καὶ ὁ τὸ μεῖζον ἔχων, τοῦ τὸ εὐτελὲς· τῇ ἀνακρίσει θέλων καὶ τούτους καταστεῖλαι, κἀκείνους παραμυθήσασθαι. *Τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν.*] Πρὸς τοῦτο αὐτὸ ὁρᾷ ἡ παραβολή. Ὥσπερ, φησὶ, τὰ μέλη διάφορον ἐγκεχείρισται πρᾶξιν, οὕτω διάφορα ἐδόθη παρὰ τοῦ πνεύματος χαρίσματα. Ἔχομεν κεφαλὴν τὸν Χριστὸν, ἡμεῖς δὲ ἀλλήλων μέλη. *Ἔχοντες δὲ χαρίσματα.*] Δυσὶ τρόποις ἐσχημάτισται ὅλον τὸ χωρίον τοῦτο, ἕως τοῦ, *Εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει.* Ποίοις τούτοις; Τῷ λεγομένῳ, Ἀπὸ κοινοῦ, καὶ τῷ ἐλλειπτικῷ. Καὶ γὰρ τὸ, *ἔχοντες*, ἀπὸ κοινοῦ καθ' ἕκαστον κῶλον παραλαμβάνεται· οἷον· Εἴτε προφητείαν ἔχει τις, εἴτε διακονίαν ἔχει τις. Τοῦτο δὲ Ἀπὸ κοινοῦ, καὶ Ζεῦγμα καλεῖται, ὅτι συζεύγνυσι πληθυντικὸν ἑνικῷ, καὶ μετοχὴν ῥήματι. Οὕτως οὖν ἀπὸ κοινοῦ τὸ, *ἔχοντες*, κατὰ τὸ ζεῦγμα λαμβανόμενον, ἀπηρτισμένην κατὰ τοῦτο τέως τὴν ἔννοιαν καὶ τὰ χωρία ποιεῖ. Ἐλλειπτικῷ δὲ πάλιν ἐσχημάτισται, ὅτι λείπει τι πρὸς αὐτοτέλειαν τοῦ νοήματος· οἷον τὸ, Μενέτω ἐν ᾧ ἔλαβεν ἕκαστος χαρίσματι· ἢ ἀρκείσθω, ἢ στοιχείτω, ἤ τι τοιοῦτον. Οἷον, Εἴτε προφητείαν ἔχει τις, εἴτε διακονίαν, μενέτω ἕκαστος, καὶ ὁ τὴν προφητείαν ἔχων, καὶ ὁ τὴν διακονίαν, καὶ ὁ τὴν διδασκαλίαν, καὶ ὁ τὴν παράκλησιν ἔχων, ἁπλῶς ἕκαστος, ἐν ᾧ ἔλαβε χαρίσματι. Καὶ πολλή ἐστιν ἡ τῶν τοιούτων χρῆσις παρὰ τῷ θαυμασίῳ Παύλῳ. Καὶ μὴ θαυμάσῃς, εἰ ἀμαθὴς ὢν τούτων, ἐκέχρητο τούτοις· ἡ γὰρ χάρις, ἡ τὰ μείζω χορηγοῦσα, καὶ τῶν εὐτελῶν πολλάκις παρεῖχε τὴν γνῶσιν· οὐχ ὡς μέγα τι τούτων ὑπαρχόντων· (τί γὰρ ἂν καὶ εἴη περὶ λέξεις καὶ συλλαβὰς καὶ τὴν τούτων συνθήκην μικρολογουμένων ἀνθρώπων πόνος καὶ ὀνόματα;) οὔκουν, ὡς μεγάλων τινῶν τούτων ὄντων, ἐκέχρητο τούτοις· ἀλλ' εἰς τὸ καταισχύνειν τοὺς ἐπὶ τοῖς τοιούτοις μέγα φρονοῦντας, καὶ κερδῆσαι αὐτοὺς εἰς ταπεινοφροσύνην, καὶ ὑπακοὴν τῆς αὐτοῦ νουθεσίας. Ἄοκνα γὰρ ὑπῆρχεν ἅπαντα Παύλῳ, ὅσῳ σωτηρίαν ἔφε-

Δημόσια Κεντρική Βιβλιοθήκη Θέρμου

ρεν ἀνθρώποις. Διὸ καὶ χρήσεις ποιητικῶν στίχων, καὶ ἱστορίας ἑλληνικὰς, καὶ μυρία τοιαῦτα οὐκ ἀνεῖ προκομίζειν, ἂν μόνον καὶ διὰ τούτων ἐλπίζῃ τινὰ σωτηρίαν ἀνθρώπων ἁρπάσαι. Βαβαὶ τῆς τηλικαύτης ψυχῆς καὶ σπουδῆς! Καλῶς δὲ καὶ τῷ τοιούτῳ κέχρηται τῶν λόγων εἴδει, καὶ πάλιν τοῦ ἀποστολικοῦ καὶ ἁπλοῦ καὶ εὐγενοῦς καὶ ἀπεριέργου χαρακτῆρος οὐκ ἀφίσταται. Εἰ μὲν γὰρ οὐδόλως ἐκέχρητο τούτοις, ἀδυναμίαν ἂν οἱ πάντα τολμῶντες καὶ ἰδιωτισμὸν ἠτιάσαντο, ὅπου καὶ νῦν τινες, μὴ συνιέντες τὰ τοιαῦτα, ἀπειρίαν αὐτὸν τῶν τοιούτων ἔχειν, ἐξ ὧν οὐδ' αὐτοὶ συνίασιν, ὑπολαμβάνουσιν. Εἰδ' αὖ πάλιν τούτοις διαπαντὸς ἐχρῆτο, ὁ ἀποστολικὸς χαρακτὴρ ἐν τοῖς παρεωραμένοις ἐτίθετο. Διήτησεν οὖν συνετῶς καὶ πανσόφως ἄμφω· ἐχρήσατο μὲν γὰρ ἐκείνοις, ὥστε δεῖξαι ῥᾴδιον εἶναι βουλομένῳ τὸ τοιοῦτον, καὶ ὅτι οὐκ ἀγνοεῖ· ἐνέμεινε δὲ τῷ ἀποστολικῷ χαρακτῆρι, τὴν εὐγένειαν καὶ τὸ ἀπερίεργον καὶ καθαρὸν καὶ αὐτοφυὲς τοῦ λόγου τιμῶν. Τί οὖν μὴ καὶ οἱ λοιποὶ οὕτω τοὺς ἑαυτῶν κατέμιξαν λόγους; Ἀρκεῖ καὶ οὗτος μόνος δεῖξαι, ὅτι κἀκείνοις ῥᾴδιον ἦν, εἴπερ ἐβούλοντο, ποιεῖν· καίτοι καὶ ἐν ταῖς ἐκείνων ἐπιστολαῖς ἐστιν, εἰ καὶ σπανιώτερον, τὰ τοιαῦτα εὑρεῖν. Εἰ δὲ τὸ, *Ἔχοντες χαρίσματα*, μεθαρμοῦ ἀναπαυστέον, μέχρι τοῦ, *Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς*, ἄλλη μὲν διάνοια ἀνακύψει, μονοσχημάτιστος δ' ἡ σύνταξις ἔσται, εἰς πνεῦμα δὲ λίαν ἡ περίοδος ἀποτεταμένη.— *Κατὰ τὴν χάριν.*] Εἰ ὁ θεὸς ἐχαρίσατο, σὺ τί μέγα φρονεῖς; μὴ γὰρ σὸν κατόρθωμα τὰ χαρίσματα; θεοῦ, φησὶν, ἡ δόσις. *Διάφορα.*] Καλῶς τὸ, *Διάφορα*, ἵνα δείξῃ, ὅτι οὐ τὸ μὲν, μέγα, τὸ δὲ, μικρόν· μεγάλα γὰρ ἅπαντα· ἀλλὰ ποικίλα καὶ ἁρμόδια. *Κατὰ τὴν ἀναλογίαν τῆς πίστεως.*] Νῦν δείκνυσιν, ὅτι τῶν δοκούντων μειζόνων χαρισμάτων, οἱ λαμβάνοντες εἰσὶν αἴτιοι πρὸς τὸ λαβεῖν. Εἰ γὰρ καὶ χάρις ἐστὶ, τοσοῦτον μέντοι ἐπιῤῥεῖ, ὅσον ἂν εὕρῃ σκεῦος ἑτοιμότατον ἑαυτὸ καταστῆσαι διὰ τῆς πίστεως. *Εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς*

Δημόσιος Κεντρική Βιβλιοθήκη Βέροιας

πίστεως ἔχρισεν, φησὶν, εἴτε διακονίαν ἔλαβέ τις. Ἡ διακονία γενικόν τι ἐστί· πάντα γὰρ εἰς διακονίαν δίδοται τὰ χαρίσματα. Λοιπὸν δὲ καὶ τοῖς εἰδικοῖς ἐπεξέρχεται. *Εἴτε διακονίαν* ἔλαβέ τις, *ἐν τῇ διακονίᾳ* μενέτω, φησίν· *εἴτε ὁ διδάσκων*, ἔλαβε χάρισμα διδασκαλίας, *ἐν τῇ διδασκαλίᾳ*· ἀπὸ κοινοῦ τὸ, μενέτω· *εἴτε ὁ παρακαλῶν*, χάρισμα ἔλαβε παρακλήσεως, *ἐν τῇ παρακλήσει μενέτω*.

8 Ὁ μεταδιδοὺς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν
9 σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι. Ἡ ἀγάπη, ἀνυ-
πόκριτος· ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι
10 τῷ ἀγαθῷ· τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστορ-
11 γοι· τῇ τιμῇ ἀλλήλους προηγούμενοι· τῇ σπουδῇ
μὴ ὀκνηροί· τῷ πνεύματι ζέοντες· τῷ Κυρίῳ δου-
12 λεύοντες· τῇ ἐλπίδι χαίροντες· τῇ θλίψει ὑπομέ-
νοντες· τῇ προσευχῇ προσκαρτεροῦντες·

Λοιπὸν δείκνυσιν, ὅτι οἱ κακῶς τοῖς χαρίσμασι χρώμενοι, ἀνόνητα αὐτὰ ποιοῦσιν. *Ἐν ἁπλότητι.*] Ἐπειδὴ τὰ χαρίσματα, ἢ ἐν δόσει τὴν ἐνέργειαν αὐτῶν ἐπιδείκνυσιν, ἢ ἐν προστασίᾳ, ἢ ἐν ἔλεῳ, φησὶν, ὅτι οὐχ ἁπλῶς ταῦτα δεῖ ἐπιτελεῖν· ἀλλὰ διδόναι μὲν μετὰ ἁπλότητος καὶ χαρᾶς, οὐχ ὡς ζημιούμενόν τι, ἀλλὰ μᾶλλον κερδαίνοντα· καὶ προΐστασθαι μὴ ἀμελῶς, ἀλλ' ὡς ὑπὲρ ἑαυτοῦ σπουδάζοντα· καὶ ἐλεεῖν ἱλαρῶς καὶ εὐθύμως, ὡς αὐτόν τι καρπούμενον. Ἔσται δὲ ταῦτα πῶς; Ἂν ἀγάπην ἔχωμεν πρὸς ἀλλήλους· ἀγάπην δὲ μὴ πεπλασμένην καὶ ἐν ὑποκρίσει, ἀλλ' ἄπλαστον, καὶ ἀνυπόκριτον, καὶ τελείαν, καὶ ἀληθῶς ἀγάπην. *Ἐν σπουδῇ.*] Οὐ γὰρ ἀρκεῖ τὸ προστῆναι μόνον. *Ἐν ἱλαρότητι.*] Μὴ ὡς ζημιούμενος ἐλεεῖ, ἀλλ' ὡς αὐτὸς μᾶλλον κερδαίνων. Ἔνθεν γὰρ συμβήσεται τὸ ἱλαρόν. *Ἡ ἀγάπη ἀνυπόκριτος.*] Ἔστω, φησι, μὴ πλάσμα ἀγάπης, ἀλλὰ ἀγάπη εἰλικρινής· ἧς οὔσης, κατορθοῦται τὰ εἰρημένα. *Ἀποστυγοῦντες τὸ πονηρόν.*] Μὴ μόνον ἀπεχόμενοι τοῦ πονηροῦ, ἀλλὰ καὶ λίαν μισοῦντες αὐτό· τοῦτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ δηλοῖ τὸ, *ἀπό*· οὐ γὰρ εἶπε, *στυγοῦντες*. Εἶτα φησί· Μὴ μόνον μισεῖτε τὸ πονηρὸν, ἀλλὰ καὶ ἔχεσθε τοῦ ἀγαθοῦ· τὸ δὲ, *κολλώμενοι*, τὴν πρὸς αὐτὸ διάθεσιν ἐμφαίνει. *Κολλώμενοι τῷ ἀγαθῷ.*] Ἕνι γὰρ εἶναι ἀγάπην καὶ ἐπὶ αἰσχροῖς. Διὰ τοῦτο εἶπε· Μισεῖτε τὸ πονηρόν. Πῶς δέ ἐστι κολληθῆναι τῷ ἀγαθῷ; *Ἐν τῇ φιλαδελφίᾳ*, φησι, τουτέστι, διὰ τῆς φιλαδελφίας· «Ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους (α)·» ὁ δὲ μαθητὴς, φυλάττων τὰ μαθήματα, κεκόλληται καὶ ἥνωται τῷ διδασκάλῳ, ὅπερ ἐστὶ τὸ κυρίως ἀγαθὸν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Ἀλλὰ πόθεν φύεται ἡ φιλαδελφία; πόθεν ἐστὶ θηρᾶσαι ταύτην; Ἐκ τοῦ προηγεῖσθαι ἀλλήλους, φησὶ, τῇ τιμῇ (1). Ὡς ἀληθῶς γὰρ ἀρχὴν λαμβάνει ἡ φιλία ἀσφαλῆ, ἐὰν ἕκαστος ἀγωνίζηται προλαβεῖν εἰς τὸ τιμῆσαι τὸν πλησίον. *Τῇ φιλαδελφίᾳ*, καὶ ἑξῆς.] Εἰ γὰρ σχοίητέ, φησι, φιλαδελφίαν, φιλήσετε πάντως ἀλλήλους· ἀδελφοὶ γὰρ ἐστέ. Εἶτα λέγει, πῶς ἂν ἡ φιλαδελφία κατορθωθείη. Εἰ ἕκαστος, φησὶν, ἡγεῖται τῆς πρὸς τὸν ἀδελφὸν τιμῆς. *Τῇ σπουδῇ μὴ ὀκνηροί.*] Καὶ γὰρ τοῦτο ἀγάπην τίκτει, ὅταν μὴ τιμῶμεν μόνον, ἀλλὰ καὶ ὑπερσπουδάζωμεν. *Τῷ πνεύματι ζέοντες.*] Ἔσται δὲ τοῦτο πῶς; Ἐὰν ζέωμεν ἐν καλοῖς ἔργοις, ἕξομεν ζέον ἐν ἑαυτοῖς καὶ διατεθερμαμμένον τὸ ἅγιον πνεῦμα. *Τῷ Κυρίῳ δουλεύοντες.*] Διὰ γὰρ τῶν εἰρημένων ἐκγενήσεται ἡμῖν δουλεύειν τῷ Κυρίῳ. Οὕτω φανοῦμεν ἀληθῶς δουλεύοντες τῷ Κυρίῳ διὰ τῶν ἀγαθῶν ἔργων. Αὕτη ἀληθινὴ δουλεία ἐστίν. *Τῇ ἐλπίδι χαίροντες.*] Πῶς δ' ἂν γένοιτο ζέειν τῷ πνεύματι; Ἐὰν τῇ ἐλπίδι χαίρητέ, φησιν· οὐδὲν γαρ οὕτω πρὸς πάντα ποιεῖ πρόθυμον, ὡς ἐλπὶς καλή· καὶ ἐὰν ὑπομένητε θλίψεις· καὶ ἐὰν εὐχὴν ἀδιάλειπτον ἔχητε. *Τῇ θλίψει ὑπομένοντες.*] Ἡ γὰρ ὑπο-

(α) Ἰωάν. ΙΓ', 35. (1) «Ἐκ τοῦ τιμᾶν ἀλλήλους, καὶ προφθάνειν ἕτερον τὸν ἕτερον. Τοῦτο γάρ ἐστι τὸ προηγεῖσθαι, τὸ προλαμβάνειν ἀλλήλους ἐν τῷ ἀλλήλους τιμᾶν.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μονὴ τίκτει δοκιμήν. *Τῇ προσευχῇ προσκαρτεροῦντες.*] Ταύτης γὰρ βοηθούσης, ἔσται ῥᾴδια πάντα.

13 Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· τὴν φιλο-
14 ξενίαν διώκοντες. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς·
15 εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε. Χαίρειν μετὰ χαι-
16 ρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. Μὴ γίνεσθε
17 φρόνιμοι παρ' ἑαυτοῖς. Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες· προνοούμενοι καλὰ ἐνώπιον πάντων
18 ἀνθρώπων· εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων
19 ἀνθρώπων εἰρηνεύοντες· μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· « Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει Κύριος (α). »

Ταῖς *χρείαις τῶν ἁγίων.*] Ἐν οἷς ἂν ἐν χρείᾳ γένωνται. Τὴν πρὸς τοὺς ἁγίους ἐλεημοσύνην εἰσάγει· διὸ καὶ ἐφύλαξεν αὐτὴν ἐν ἐξαιρέτῳ. Ἄνω δὲ, περὶ καθολικῆς εἶπεν ἐλεημοσύνης. *Κοινωνοῦντες.*] Κοινωνία γὰρ τὸ πρᾶγμα· σὺ μὲν γὰρ χρήματα εἰσφέρεις αὐτοῖς· ἐκεῖνοι δέ σοι τὴν πρὸς θεὸν παρρησίαν, καὶ τὰ μυρία ἀγαθά. *Τὴν φιλοξενίαν διώκοντες.*] Μὴ μείνῃς, φησὶ, τὸν δεόμενον ἐλθεῖν πρὸς σέ· ἐρυθριᾷ γάρ· ἀλλὰ σὺ δίωξον αὐτόν. *Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς.*] Διδάξας, πῶς δέοι διακεῖσθαι πρὸς τοὺς ἀδελφοὺς, διδάσκει, πῶς καὶ πρὸς τοὺς πολεμίους. Ὅρα δὲ· οὐκ εἶπε· Μὴ ἀμύνου, Μὴ καταρῶ· ἀλλ', ὃ μεῖζον, Εὐλόγει καὶ ὑπερεύχου. *Χαίρειν μετὰ χαιρόντων.*] Μὴ μόνον, φησὶ, ῥήμασιν εὐλογεῖτε, ἀλλὰ καὶ τοῖς ἔργοις· χαίρουσι μὲν, συγχαίροντες· ἀλγοῦσι δὲ, συναλγοῦντες. Τοσούτῳ δὲ μεῖζον τὸ συγχαίρειν χαίρουσιν, ὅσον ἡ εὐημερία τῶν πλησίων, καὶ φθόνου πρόφασις τοῖς ἀσεβέσι γίνεται. *Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες.*] Οἷον· Μέγαν σεαυ-

(α) Δευτερ. ΛΒ', 35.

τὸν εἶναι νομίζεις; Τοιοῦτον νόμιζε καὶ τὸν ἀδελφὸν, κἂν πένης ᾖ· ἐπεὶ οὐκ ἔστι πλούτου καὶ πενίας διάκρισις παρὰ τῷ θεῷ. Πῶς δ' ἂν γένοιτό σοι τοῦτο; Ἐὰν μὴ φρονῇς περὶ σεαυτοῦ ὑψηλὰ, ἀλλὰ συμφέρῃ καὶ συναπάγῃ τοῖς ταπεινοῖς, καὶ εἰς τὴν ἐκείνων συγκαταβαίνῃς εὐτέλειαν. Ἐκ δὴ τούτων τὸ φύσημα καὶ τὴν κενοδοξίαν αὐτῶν καταστέλλει. Εἰκὸς γὰρ ἦν αὐτοὺς διὰ τὴν πόλιν (1), τούτῳ ἁλῶναι καὶ κατέχεσθαι τῷ πάθει. *Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.*] Τουτέστι, Μὴ ἡγεῖσθε εἶναι σοφοὶ, καὶ μηδενὸς νοήματος ἐνδεεῖς· φησὶ γὰρ ἡ Γραφή· « Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες (α). » *Κακὸν ἀντὶ κακοῦ.*] Εἰ γὰρ ψεκτὸς καὶ ἄθλιος ὁ ποιῶν τὸ κακὸν, ἵνατι μὴ φεύγῃς τὴν μίμησιν τῶν κακῶν, ἀλλὰ τῷ ἀμύνασθαι ἔνοχον σαυτὸν καθιστᾷς καὶ κοινωνὸν τῆς ἀσεβείας; *Προνοούμενοι καλά.*] Τοῦτό, φησὶ· Πρόνοιαν ποιεῖσθε τοῦ καλοὶ φαίνεσθαι, ἐν τῷ μηδενὶ διδόναι ψόγου πρόφασιν. Ἤ, ἐπειδὴ ἄνω εἶπε· *Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες*· προσέθηκε καὶ τὸ, *προνοούμενοι καλά*· ὡς εἰ ἔλεγεν· Οὐκ ἀρκεῖ μόνον τὸ μὴ ἀποδιδόναι κακὰ, ἀλλὰ δεῖ καὶ προνοεῖν τοῦ ποιήσαντος ἡμᾶς κακῶς. Καὶ γὰρ καὶ ἄνω οὐκ ἠρκέσθη τῷ μὴ καταρᾶσθαι τοὺς διώκοντας, ἀλλὰ καὶ εὐλογεῖν προσέταξεν. *Εἰ δυνατόν.*] Ἔστι γὰρ ὅτε οὐ δυνατὸν, ἔνθα περὶ εὐσεβείας ὁ λόγος. Διὰ τοῦτο εἶπεν· *Εἰ δυνατόν. Τὸ ἐξ ὑμῶν.*] Τουτέστι· Σὺ τὸ σὸν ποίησον, καὶ μὴ παράσχῃς ἔχθρας ἀφορμὴν, μὴ Ἕλληνι, μὴ Ἰουδαίῳ. Τοῦτο γὰρ τὸ, *μετὰ πάντων*, τουτέστι, πιστῶν καὶ ἀπίστων. *Μὴ ἑαυτοὺς ἐκδικοῦντες.*] Ἐπειδὴ τοῦτο ἀκόλουθον, τὸν ἠδικημένον ἐκδικίας τυχεῖν, τοῦτο αὐτὸ ἐπαγγέλλεταί σοι, φησὶ, μὴ ἐκδικήσῃς σεαυτὸν, καὶ ὁ θεός σε ἐκδικεῖ· δότε γάρ, φησὶ, τόπον καὶ χώραν τῇ ὀργῇ τοῦ θεοῦ ἐλθεῖν. Ἂν γὰρ σὺ ἐκδικήσῃς σεαυτὸν, ἐλθοῦσα ἡ ὀργὴ τοῦ θεοῦ, οὐχ ἕξει χώραν τοῦ

(1) Τὴν Ῥώμην. (α) Ἡσ. Ε, 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκδικῆσαι· ὅτι προεξεδίκησας σεαυτόν· εἰ γὰρ σὺ μὴ ἀμύνῃ, ἥξει ἡ ὀργή. Ἐπειδὴ δὲ τοῦτο μάλιστα ἐπιθυμεῖ ἰδεῖν ὁ ἀδικηθείς, ἐκδικίας ἑαυτὸν ἀπολαύοντα, τοῦτο αὐτῷ μετὰ πολλῆς δίδωσι περιουσίας. Ἂν γὰρ αὐτὸς μὴ ἀμύνῃ, θεὸς ἔσται ὁ τιμωρός. Συγχώρησον οὖν αὐτῷ, φησιν, ἐπεξελθεῖν· τοῦτο γάρ ἐστι τὸ, *Δότε τόπον τῇ ὀργῇ. Γέγραπται γάρ.*] Παραμυθούμενος πλέον τὸν ἠδικημένον, ἤγαγε τὴν μαρτυρίαν. *Ἐμοὶ ἐκδίκησις.*] Τουτέστι, παρ' ἐμοὶ ἡ ἐκδίκησις.

20 Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. Τοῦτο γὰρ ποιῶν, ἄνθρακας
21 πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ (α). Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Μὴ μόνον, φησὶ, εἰρηνεύετε, καὶ μὴ ἀμύνεσθε· ἀλλὰ καὶ εὐεργετεῖτε, τρέφοντες, ποτίζοντες. Εἶτα, ἐπειδὴ βαρὺ ἦν τὸ προσταττόμενον, ἐπάγει, παραμυθούμενος τὸν ἠδικημένον, λέγων· *Τοῦτο ποιῶν, πῦρ αὐτῷ σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ·* καὶ ἅμα φοβῶν καὶ τὸν ἠδικηκότα. *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ.*] Μαλάξας πρότερον τὸν ἀδικηθέντα, καὶ πείσας αὐτὸν εὐεργετεῖν, διὰ τοῦ εἰπεῖν, *Ἄνθρακας σωρεύσεις*, νῦν ὑψηλότερον αὐτῷ παραινεῖ. Εἰ γὰρ τοιαύτῃ, φησὶ, διαθέσει τρέφεις, ἵνα πῦρ αὐτῷ σωρεύσῃς, οὐκ ἐνίκησας τὸ κακὸν, ἀλλ' ἡττήθης αὐτῷ· ἐγὼ δέ σε, νικᾷν τὸ κακὸν βούλομαι. Τοιγαροῦν, μὴ διαθέσει κακοποιῷ εὐεργέτει· ὑπὲρ γὰρ παραμυθίας σου εἴρηται τὰ εἰρημένα, ὅτι ψωμίζων καὶ ποτίζων, ἄνθρακας πυρὸς σωρεύσεις, οὐχ ἵνα μέντοι οὕτω ποιῇς. Εἰ γὰρ καὶ σοῦ εὐεργετοῦντος τὸν ἐχθρὸν, ὁ θεὸς ἐκδικῶν σε ὀργίζεται αὐτῷ, καὶ πῦρ πειρασμῶν καὶ κακώσεων, ἃ κατὰ τοῦ πλησίον ἐκεῖνος ἐτέκταινεν, ἐπὶ κεφαλὴν αὐτοῦ στρέφει· ἀλλ' οὖν σὺ μὴ διὰ τοῦτο θελήσῃς αὐτὸν εὐεργετεῖν, ἵνα ἐν τοιούτοις αὐτὸν κακοῖς ἴδῃς· ἐπεὶ ἐνικήθης ὑπὸ τοῦ κακοῦ· κἀκεῖνος μὲν οὐδὲν ἧττον

(α) Παροιμ. ΚΕ, 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἃ ἔδει παθεῖν αὐτὸν, πάσχει· σὺ δὲ ἀπώλεσας τὸν μισθὸν, νικηθεὶς ὑπὸ τοῦ κακοῦ· μᾶλλον δὲ, εἰ τοιαύτην σου τὴν γνώμην ὁ θεὸς ἴδῃ, οὐδὲ ἐκδικεῖ· τὸν ἀγαθὸν γὰρ, τὸν πρᾷον, ἀδικηθέντα ἐκδικεῖ, ἀλλ' οὐχὶ τὸν διὰ τοῦ θυμοῦ καὶ τῆς προαιρέσεως ἑαυτὸν ἐκδικήσαντα, καὶ διὰ πράξεως ἀγαθῆς τῆς εὐεργεσίας πονηρευσάμενον, τὴν διαφθορὰν ἰδεῖν τοῦ λυπήσαντος. Εὐεργέτει οὖν σὺ, ἵνα νικήσῃς τὸ κακόν· καὶ ἵνα γένῃ υἱὸς, ὡς ὁ Κύριός φησι, τοῦ ἐν οὐρανοῖς πατρός (α).

ΚΕΦ. XIII, 1 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ θεοῦ τεταγμέναι
2 εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται.

Ἐπειδὴ ἱκανῶς κατήρτυσε τὰ ἤθη τῶν ἀκουόντων, καὶ ἐδίδαξεν αὐτοὺς καὶ ἐχθροῖς εἶναι εὐμενεῖς, εἰσάγει καὶ ταύτην τὴν παραίνεσιν, παιδεύων πᾶσαν ψυχὴν, κἂν ἱερεὺς ᾖ τις, κἂν μοναχὸς, κἂν ἀπόστολος, ὑποτάσσεσθαι τοῖς ἄρχουσιν. Αὕτη γὰρ ἡ ὑποταγὴ οὐκ ἀνατρέπει τὴν εὐσέβειαν. Παραινεῖ δὲ τοῦτο ὁ ἀπόστολος, δεικνύων, ὅτι οὐκ ἀποστασίαν διδάσκει τὸ εὐαγγέλιον, οὐδὲ ἀπείθειαν, ἀλλὰ μᾶλλον εὐγνωμοσύνην καὶ εὐπείθειαν.— ΑΛΛΩΣ. Πολλὴν τοῦ κεφαλαίου τούτου πανταχοῦ ποιεῖται πρόνοιαν, δεικνὺς, οὐκ ἐπὶ καταστροφῇ τῆς κοινῆς εὐταξίας τοὺς τοῦ Χριστοῦ νόμους εἶναι· καὶ ὅτι ἀρκοῦσι καὶ οἱ διὰ τὴν ἀλήθειαν πολεμοῦντες ἡμῖν· καὶ τί δεῖ, φησι, καὶ ἡμᾶς περιττοὺς ἐπινοεῖν ἡμῖν αὐτοῖς πολεμίους;—*Οὐ γάρ ἐστιν ἐξουσία.*] Οὐ περὶ τοῦ καθ' ἕκαστον ἄρχοντος ταῦτα λέγει, ἀλλὰ περὶ αὐτῆς τῆς ἀρχῆς. Ἐπειδὴ γὰρ τὸ ὁμότιμον στασιῶδες ἦν, εἰσήγαγεν ὁ θεὸς τὰς ἐξουσίας.—ΑΛΛΩΣ. Τί λέγεις; Πᾶς ἄρχων ὑπὸ θεοῦ κεχειροτόνηται; Οὐ τοῦτο λέγω, φησὶν, οὐδὲ περὶ

(α) Ματθ. Ε, 45.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν καθ' ἕκαστον ἀρχόντων ὁ λόγος μοι νῦν· ἀλλὰ περὶ τοῦ πράγματος αὐτοῦ. Τὸ γὰρ ἀρχὰς εἶναι· καὶ τοὺς μὲν, ἄρχειν, τοὺς δ', ἄρχεσθαι, καὶ μὴ ἄνω καὶ κάτω τὰ πάντα φέρεσθαι, τῆς τοῦ θεοῦ σοφίας ἔργον φημὶ εἶναι. Οὐκ εἶπε γὰρ, ὅτι Οὐκ ἔστιν ἄρχων, ἀλλ' ὅτι Οὐκ ἔστιν ἐξουσία, εἰ μὴ ὑπὸ θεοῦ.— *Αἱ δὲ οὖσαι ἐξουσίαι.*] Κατὰ τοῦ αὐτοῦ διαλέγεται. Εἰπὼν γὰρ, *Οὐκ ἔστιν ἐξουσία, εἰμὴ ὑπὸ θεοῦ*, πάλιν τὸ αὐτὸ λέγει· *Αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσὶν*, οἷον, γεγονυῖαι. Ὁ θεός, φησιν, ἔταξε, καὶ διώκησεν αὐτάς.— ΑΛΛΩΣ. Πᾶσαι οὖν αἱ ἐξουσίαι, ὑπὸ θεοῦ δικαίως *τεταγμέναι εἰσὶν*, οἷον γεγονυῖαι· οἷαν ἂν σκοπήσῃς, κἂν τὴν τοῦ πατρὸς πρὸς υἱὸν, κἂν τὴν τοῦ ἀνδρὸς πρὸς γυναῖκα, κἂν τὰς ἄλλας ἁπάσας· καὶ τὰς ἐν ταῖς ζώοις δὲ, ὡς τῶν μελισσῶν; ὡς τῶν γεράνων, ὡς τῶν ἰχθύων.—*Ὥστε ὁ ἀντιτασσόμενος.*] Ἵνα μὴ εὐτελίζεσθαι νομίζωσιν οἱ τοῦ Χριστοῦ δοῦλοι, ὑποτασσόμενοι ἄρχουσι, δείκνυσιν, ὅτι χρὴ πείθεσθαι καὶ μὴ ἀντιτάσσεσθαι, μηδὲ ἀπειθεῖν τοῖς ἄρχουσιν. Ὡς ὅγε τοῦτο μὴ ποιῶν, φησὶ, θεῷ ἀντιλέγει, τῷ πεποιηκότι τὰς ἀρχάς. *Τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν.*] Κερδανεῖς κἀντεῦθεν, φησὶν, ὑποτασσόμενος· οὐ μόνον, ὅτι ἐντολὴν πληροῖς, ἀλλ' ὅτι καὶ τὸν θεὸν τιμᾷς, τιμῶν τὴν ὑπ' αὐτοῦ τεταγμένην ἐξουσίαν, καὶ τὸν ταύτην χειρίζοντα. Μακάριος ὁ οὕτω καὶ διὰ ταῦτα τὴν ἐξουσίαν τιμῶν, καὶ ὑποτασσόμενος αὐτῇ· ὥσπερ ἄθλιος, ὁ διὰ ταῦτα μὴ ὑποκείμενος· καὶ γὰρ διπλοῦν ἀποφέρεται κρίμα· πρῶτον ἐκ τοῦ θεοῦ· ὅτι τὴν ὑπ' αὐτοῦ τεταγμένην καὶ ὁρισθεῖσαν ἀρχὴν ἐξουθενεῖ· δεύτερον, καὶ ἐκ τῶν ἠτιμασμένων ἀρχόντων. Ὅρα δὲ καὶ τὸ ἀπὸ τῶν ἀρχόντων κέρδος· Κωλύουσι τοὺς φαύλους, προτρέπονται τοὺς σπουδαίους, δι' ὧν αὐτοὺς τιμῶσι καὶ ἐπαινοῦσιν, εἰς ἀρετήν. Χρὴ οὖν αὐτοὺς ἀποδέχεσθαι καὶ διὰ τοῦτο, καὶ ὅτι θεοῦ διάκονοί εἰσι, τῷ θελήματι αὐτοῦ ὑπηρετούμενοι. Καὶ τρίτον, ὅτι τὰ ἴδια λιπόντες, ὑπὲρ τῶν κοινῶν φροντίζουσι, τῇ τῶν πλησίον ὠφελείᾳ προσκαρτεροῦντες,

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

καὶ πρὸ τῆς ἰδίας ἀνέσεως, τὸν ὑπὲρ ἐκείνων πόνον ἀναδεχόμενοι. Τίς τούτους, εἰ καὶ μή τις φόβος ἐπέκειτο, ἐξ αὐτῆς τοῦ συνειδότος τῆς κρίσεως οὐκ ἂν ἀγάσαιτο, καὶ ἐν πατέρων θήσει καὶ προστατῶν λόγῳ; Μακάριοι εἰσὶν οἱ τοιοῦτοι ἄρχοντες! *Κρίμα λήψονται.*] Κατάκρισιν, φησι, τὴν παρὰ θεοῦ ἑαυτοῖς ἐπισπῶνται.

3 Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει· καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς·
4 θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν
5 τῷ τὸ κακὸν πράσσοντι. Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.

Τί ἀλγεῖς, φησὶν, ὑποταγεὶς τῇ ἐξουσίᾳ; Τί δὲ φοβῇ αὐτὴν καὶ τρέμεις; Μὴ γὰρ ἐπιτιμᾷ τοῖς καλῶς ζῶσι; Μὴ γάρ ἐστι φοβερὰ τῷ τῆς ἀρετῆς ἐπιμελουμένῳ; *Τῶν ἀγαθῶν ἔργων.*] Τουτέστι, τοῖς ἀγαθὰ πράττουσιν. *Ἀλλὰ τῶν κακῶν.*] Τουτέστι, τοῖς τὰ κακὰ πράττουσι. *Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν;*] Εἰ δὲ θέλεις, φησὶ, μὴ μόνον εἶναί σοι τὸν ἄρχοντα ἥπιον, ἀλλὰ δὴ καὶ ἐπαινοῦντα, *τὸ ἀγαθὸν ποίει. Θεοῦ γὰρ διάκονός ἐστί σοι.*] Τοσοῦτον γάρ ἐπαινέσει σε, τὸ ἀγαθὸν πράττοντα, ὅτι δὴ καὶ συμπράξει σοι πρὸς τοῦτο. Ὁ γὰρ φόβος πρόφασίς σοι γίνεται τοῦ καλῶς βιοῦν. Διὰ τοῦτο δὲ εἶπε, Θεοῦ αὐτὸν εἶναι διάκονον *εἰς τὸ ἀγαθόν*· ὅτι διακονεῖ τῇ βουλῇ τοῦ θεοῦ, τοὺς ἀγαθοὺς ἐπαινῶν, καὶ τοὺς κακοὺς κολάζων, ὡς ὁ θεὸς ὁμοίως ποιεῖ. Ἐκ δὲ τούτου, εἰς ἀγαθόν σε συνωθεῖ καὶ προτρέπει· τοῦτο γὰρ λέγει, *ἐστί σοι εἰς τὸ ἀγαθόν.* Καὶ σοί, φησίν, ἐστι διάκονος εἰς τὸ ἀγαθὸν, τοῦ θεοῦ δηλονότι διάκονος ὑπάρχων. Πῶς δέ ἐστί σοι διάκονος; Κωλύων τοὺς κακοὺς, καὶ τὴν ἀπ' αὐτῶν βλάβην σοι ἀφαιρούμενος, καὶ ἄδειαν παρέχων εἰς τὸ ποιεῖν σε τὸ ἀγαθόν. Διακονεῖ δέ σοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς τὸ ἀγαθὸν, καὶ ὅταν σε ἐπὶ τοῖς κακοῖς φοβῇ, ἀνακύπτων σε ἐκεῖθεν, καὶ προτρεπόμενος ἐπ' ἀρετήν. Ἔτι δὲ καὶ τιμῶν καὶ ἀποδεχόμενος, προτρέπει εἰς αὐτὸ τοῦτο. *Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ.*] Οὐκ ἄρα ὁ ἄρχων αἴτιος τοῦ φόβου, ἀλλὰ τὸ πράττειν τὸ κακόν. *Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ.*] Ὁρᾷς, πῶς ἐφόβησε μὲν τὸν ὑπήκοον, καθώπλισε δὲ τὸν ἄρχοντας *Θεοῦ γάρ διάκονός ἐστιν.*] Ὁ γὰρ τοὺς κακῶς βιοῦντας τιμωρούμενος, θεῷ διακονεῖ εἰς ὀργήν. Καθὼς διακονεῖ τῷ θεῷ, ἐπαινῶν τοὺς ἀγαθούς· οὕτω καὶ τοὺς κακοὺς κολάζων, μιμεῖται θεὸν, ὀργιζόμενος τοῖς πονηροῖς καὶ κολάζων αὐτούς. Εἰ γὰρ διάκονός ἐστι θεοῦ, εἰ ἔπαινον ἕξεις ἐξ αὐτῆς [τῆς ἐξουσίας], οὐ μόνον δεῖ διὰ τὴν ἐξ αὐτῆς ἐγγινομένην τοῖς ἁμαρτάνουσιν ὀργὴν ὑποτάσσεσθαι αὐτῇ· ἀλλά γε πολὺ μᾶλλον προσήκει, καὶ ὡς διάκονον θεοῦ, καὶ ὡς ἐπαινοῦσαν καὶ ἐπαλείφουσαν ἐπ' ἀρετὴν, τιμῆς αὐτὴν ἀξιοῦν. Καὶ γὰρ κἂν μηδεὶς ᾖ φόβος αὐτῆς, ἡ συνείδησις εἰς ὑπακοὴν αὐτῆς καὶ ὑποταγὴν προτρέπεται. *Διὸ ἀνάγκη ὑποτάσσεσθαι.*] Ἀνάγκη οὖν, φησὶ, τοῖς ἄρχουσιν ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν τοῦ θεοῦ, τὴν κατὰ τῶν μὴ ὑποτασσομένων τῇ ἀρχῇ γινομένην· *ἀλλὰ καὶ διὰ τὴν συνείδησιν*, τουτέστιν, ἵνα μὴ δόξῃς ἀσυνείδητός τις εἶναι καὶ ἀγνώμων, τῷ εὐεργέτῃ καὶ τῷ διακόνῳ τοῦ θεοῦ μὴ ὑποτασσόμενος. Μεγάλως γὰρ εὐεργετοῦσιν ἡμᾶς οἱ ἄρχοντες· δι' αὐτῶν γὰρ ὁ βίος ἡμῶν συνίσταται· ὡς εἴ γε μὴ ἦσαν, πάντα ἂν ᾤχετο, τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων δίκην ἰχθύων. Καὶ *διὰ τὴν συνείδησιν.*] Διὰ μὲν τὴν ὀργὴν, οἱ φαῦλαι καὶ μὴ θέλοντες ὑποτάσσονται· διὰ δὲ τὴν συνείδησιν, ὀφείλουσιν οἱ σπουδαῖοι ἑκόντες καὶ σὺν προθυμίᾳ ὑποτάσσεσθαι.

6 Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ
7 θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρ

8 τῷ τὴν τιμὴν, τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους·

Καὶ τοσοῦτόν, φησιν, ἀληθές ἐστιν, ὅτι εὐεργετοῦσιν αἱ ἐξουσίαι, ὅτι καὶ φόρους τελεῖτε, μισθὸν ὥσπερ τῆς κηδεμονίας καὶ τῆς προνοίας παρέχοντες. *Λειτουργοὶ γὰρ θεοῦ εἰσί.*] Τουτέστιν, ὑπουργοὶ θεοῦ, καὶ λειτουργοῦντες θεῷ εἰς τὸ φροντίζειν ἡμῶν ὡς ὁ θεός· θεοῦ γὰρ πληροῦσι θέλημα. *Εἰς αὐτὸ τοῦτο.*] Τὸ ἡμῶν κήδεσθαι. *Προσκαρτεροῦντες.*] Τῶν οἰκείων, φησίν, ἀμελοῦντες, εἰς τὰς ὑπὲρ ἡμῶν φροντίδας ἀπησχόληνται. *Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον.*] Ἔδειξε χρέος ὂν τὸ πρᾶγμα· διὰ τοῦτο γὰρ τὰς ὀφειλὰς εἶπε, καὶ, *ἀπόδοτε*, ὡς χρέος πᾶσι τοῖς διαφόρους ἀρχὰς ἐμπεπιστευμένοις· *τῷ τὸν φόρον* χρεωστουμένῳ, ἤγουν τὴν λεγομένην *κεφαλητιῶνα (α)*, ἀπόδος τὸν φόρον· *τῷ τὸ τέλος*, ἤγουν τὴν ὑπὲρ τῆς γῆς συνεισφοράν, *τὸ τέλος*. Καὶ οὐ μόνον χρήματα, ἀλλὰ καὶ *φόβον*, τουτέστιν, αἰδῶ καὶ εὐλάβειαν, καὶ ἐπιτεταμένην τιμήν. Ἐπάγει γοῦν, *τῷ τὴν τιμὴν, τὴν τιμήν*. Ὁ φόβος γὰρ διττός· ὁ μὲν, ὃν φοβοῦνται οἱ πταίοντες, ὁ ἐκ τοῦ πονηροῦ συνειδότος· ὃν ἀνωτέρω ἀπηγόρευσεν ὁ ἀπόστολος· ὁ δὲ, ὃν ἔχουσιν οἱ ἀγαπῶντες πρὸς τοὺς ἀγαπωμένους, τουτέστιν, ἡ ὑπερβάλλουσα τιμή· καθὸ εἴρηται· « Οὐκ ἔστιν ὑσέρημα τοῖς φοβουμένοις αὐτὸν (α)· » τὴν γὰρ εὐλάβειαν ἐνταῦθα ὑποδηλοῖ. *Εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.*] Ἐπὶ τὴν μητέρα τῶν ἀγαθῶν ἦλθε, τὴν ἀγάπην, δεικνὺς αὐτὴν χρέος οὖσαν καὶ ὄφλημα.

8 Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε. Τὸ
9 γάρ· « Οὐ μοιχεύσεις· Οὐ φονεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις· Οὐκ ἐπιθυμήσεις· » καὶ εἴτις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦ-

(1) Τὸ ἐπικεφάλαιον, ἤτοι τὸν κατὰ κεφαλὴν εἰσφερόμενον φόρον, τὸ κεφαλιάτικον.

(α) Ψαλμ. ΑΓ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται, ἐν τῷ· « Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν (α).»

Εἶτα δείκνυσι, τί τὸ κέρδος τῆς ἀγάπης· ὅτι, φησίν, ὁ ταύτην πληρῶν, τὸν νόμον ὅλον πληροῖ· καὶ λέγει πῶς. Πῶς δὲ ὁ ἀγαπῶν τὸν πλησίον, τὸν νόμον πεπλήρωκεν; αὐτόθεν δῆλον· ἀγαπῶν γὰρ, οὐκ ἂν τοῦ ἀγαπωμένου τὸν γάμον διορύξει, εἰς αὐτὸ τὸ κεφάλαιον τοῦ βίου ἐπιβουλεύων, καὶ ζημιῶν τὸν φιλούμενον· ἀλλ' οὐδὲ μιαιφόνους χεῖρας ὁπλίσει κατ' αὐτοῦ· οὐ μὴν οὐδὲ κλέπτειν ἐπιχειρήσει· οὐδ' ἄλλως πως εἰς ἐπιθυμίαν τινὸς τῶν αὐτοῦ καταστὰς, ἁφαιρήσεται, βίᾳ λαβών· οὐδὲν γὰρ τούτων ἐστὶ φιλοῦντος· οὐ μὴν οὐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει· οὐδ' ἐπίορκον ὅρκον ὀμόσει· πατέρα δὲ καὶ μητέρα, πῶς ὁ τὸν πλησίον φιλῶν οὐ διαφέροντως φιλήσει καὶ τιμήσει; πῶς δ' οὐχὶ τὸ θεῖον οὗτος ὡς ἀληθῶς ἐξ ὅλης αὐτοῦ καρδίας καὶ ἐξ ὅλης τῆς ἰσχύος αὐτοῦ ἀγαπήσει καὶ δοξολογήσει; Ὁ δὲ τούτοις ἑαυτὸν περιφράξας, ποίαν ἄλλην ἀρετὴν ταῖς προειρημέναις οὐ συναυξήσει καὶ συναπαρτίσει; Ὥστε ὁ ἀγαπῶν τὸν πλησίον, ὅλον τὸν νόμον πεπληρωκὼς ἂν εἴη. Εἶτα, ἐπειδὴ τὸ τῆς ἀγάπης ὄνομα εἰώθασιν οἱ ἄνθρωποι καὶ ἐπὶ τῶν ἀναξίων τῆς κλήσεως ταύτης διαθέσεων τιθέναι, ὑπογραφὴν αὐτῆς αὐτὸς ἀποδίδωσι, ποίαν ἔφησεν ἀγάπην, παριστὰς ἐν ἑαυτῇ ὅλον περιέχειν τὸν νόμον, καὶ συγκεφαλαιοῦσθαι τῶν ἀρετῶν τὸ πλῆθος. Ἡ ἀγάπη γάρ, φησιν, ἣν ἔφην, συνάπτουσα τοὺς πλησίον ἀλλήλοις, οὕτως ἐνοποιεῖ, ὡς ἑκάτερον οὐχ ἕτερον ἡγεῖσθαι τὸν συναφθέντα, ἀλλὰ νομίζειν, ἄλλον αὐτὸν εἶναι ἐκεῖνον. Ἐξ οὗ δῆλον, ὅτι οὐδὲν ἑκάτερος τῷ πλησίον ἐργάζεται κακόν. Εἶτα ἐπαναληπτικὸν ἐπιφέρει συμπέρασμα· *Πλήρωμα οὖν*, λέγων, *νόμου ἡ ἀγάπη*· ἀντὶ τοῦ· Ἀληθῶς ἄρα καὶ δικαίως ἔφην, ὅτι ὁ ἀγαπῶν τὸν ἕτερον, τὸν νόμον πεπλήρωκεν. Εἰπὼν δὲ, ὅτι

(α) Ἐξοδ. Κ', 13—16. Δευτ. ΙΘ', 18. Ματθ. ΙΘ', 18. 19.

ὁ ἀγαπῶν, τὸν νόμον ὅλον πληροῖ, δείκνυσι πῶς· ὅτι, φησί, πᾶσαι αἱ ἐντολαὶ διὰ τῆς ἀγάπης πληροῦνται. Ἀλλ' οὐκ εἶπε, *πληροῦνται*, ἁπλῶς, ἀλλ', *ἀνακεφαλαιοῦνται*· τουτέστι, συντόμως καὶ ἐν βραχεῖ λόγῳ τὸ πᾶν γίνεται, καὶ ὅλων πληροῦνται τῶν ἐντολῶν τὸ ἔργον διὰ βραχέων. *Τὸν πλησίον σου ὡς ἑαυτόν.*] Τὸ, *ὡς ἑαυτόν*, τὴν ἐπιτεταμένην ἀγάπην δηλοῖ.

10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλή-
11 ρωμα οὖν νόμου ἡ ἀγάπη. Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· (νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν·

Εἰδὲς, πῶς τὰς ἀρετὰς ἑκατέρας ἔχει ἡ ἀγάπη, τὴν τῶν κακῶν, λέγω, ἀποχὴν, καὶ τὴν ποίησιν τῶν ἀγαθῶν; Ἰδοὺ ἡ ἀποχὴ τῶν κακῶν· *Τῷ πλησίον κακὸν οὐκ ἐργάζεται.* Ἰδοὺ ἡ ποίησις τῶν ἀγαθῶν· *Πλήρωμα νόμου ἡ ἀγάπη*· τὸν γὰρ πλησίον εὖ ποιεῖ. Ἅπασα δὲ ἡ σπουδὴ τοῦ νόμου τοῦτο βούλεται, ἀποχὴν τῶν κακῶν, καὶ ἀρχὴν τῶν ἀγαθῶν. *Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται.*] Ἀρχὴ τῶν καλῶν καὶ τέλος, ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν. *Καὶ τοῦτο, εἰδότες.*] *Εἰδότες*, φησὶ· ποῖον τοῦτο; *Τὸν καιρόν.* Πληροῦτε, φησὶ, τὸ τῆς ἀγάπης ἔργον, εἰδότες τὸν καιρὸν κατεπείγοντα καὶ ἀρετὴν ἀπαιτοῦντα. *Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν.*] Τουτέστι· Νῦν, ὅτε ἔγνωμεν τῶν ἔργων τὰ ὠφελιμώτερα, κοῦφον πάντως γέγονε τὸ σωθῆναι, ἅπερ ὅτε κατηχούμεθα ἔτι τὸν τῆς πίστεως λόγον· οὐγὰρ ἅμα τῷ πιστεῦσαι εἰς Χριστὸν, καὶ τὴν ἀκριβῆ τῶν πρακτέων κατάληψιν εἴχομεν. — *Καὶ τοῦτο, εἰδότες.*] Τοῖς ἄνω τοῦτο συνήρτηται, καὶ πρὸς ἐκεῖνα ἀποδίδοται, ἐπίτασις μᾶλλον ὄν, καὶ προτροπὴν ἐμφαῖνον τῶν εἰρημένων. Ποίοις δὲ ἄνω; Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· καί· Ἀπόδοτε πᾶσι τὰς ὀφειλάς· καί· Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. Ταῦτα οὖν, φησὶ, ποιεῖτε, διά τε τὰ προειρημένα, καὶ διὰ τοῦτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάλιστα· διὰ ποῖον; *Εἰδότες τὸν καιρὸν*, ὅτι συντέτμηται ὁ τῆς ζωῆς ἡμῶν χρόνος, καὶ δεῖ ἡμᾶς, εἰ καὶ ἐκαθεύδομεν μηδὲν πράττοντες, ὡς ἐξ ὕπνου κἂν γοῦν *ἐγερθῆναι*. Φανερὸν γάρ, ὅτι νῦν μάλιστα πρὸς τὸ τέλος ἐσμὲν τῆς ζωῆς ἡμῶν, ἢ ὅτε ἐπιστεύσαμεν. *Σωτηρίαν* δὲ καλεῖ τὸ τέλος τῆς ζωῆς· ὅτι τότε τοῖς ἀξίοις ἡ σωτηρία καὶ ἡ ἀπόλαυσις ἀποκαλύπτεται μᾶλλον· διὸ καὶ *ἡμέραν* αὐτὸ καλεῖ, καὶ ἡδονὴν παρέχουσαν, καὶ φωτίζουσαν, καὶ φανεροποιοῦσαν τὰ πρὶν ἐν ἀγνοίᾳ τῇ κατὰ πεῖραν καὶ ἀπόλαυσιν κείμενα, μόνῃ δὲ τῇ ἐλπίδι θεωρούμενα. Εἰκότως δὲ τὸν παρόντα βίον *νύκτα* καλεῖ, πρὸς τὴν μέλλουσαν ἡμέραν· πολλὰ γὰρ τῶν ἐν τούτῳ νῦν, ὡς ἐν νυκτὶ, κρυπτομένων, ἐκεῖ φανερὰ, ὡς ἐν λαμπρᾷ ἡμέρᾳ, γενήσεται· καὶ πολλὰ τῶν ἀγνοουμένων ἐνταῦθα, ὡς ἐν σκότει, ἐκεῖ, ὡς ἐν φωτὶ, ἐπιγνωσθήσεται, πάσης σκηνῆς λυομένης, καὶ παντὸς προσώπου περιαιρουμένου, καὶ τῆς ἐπιπροσθούσης ἀχλύος τοῖς λογισμοῖς ἐκκαθαιρουμένης. Συνετμήθη οὖν, φησίν, *ἡ νὺξ*, τουτέστιν, ὁ βίος ἡμῶν, καὶ ἐγγίζει τὸ τέλος, ἤτοι, ἡ ἡμέρα ἤδη πλησιάζει τῆς τελευτῆς καὶ τῆς ἀνταποδόσεως. Χρὴ οὖν καὶ διὰ ταῦτα πᾶσαν ἐντολὴν προθύμως ἐπιτελεῖν, ἀγαπᾶν ἀλλήλους, ἀποδιδόναι πᾶσι τὰς ὀφειλὰς, ὑποτάσσεσθαι ταῖς ἀρχαῖς. Καὶ γὰρ καὶ ὀλίγος ὁ πόνος ἤδη· οὐκ εἰς μῆκος οἱ ἀγῶνες, εἴ τι καὶ δέοι ἀγωνίσασθαι, ἐκτείνονται· βραχὺ γὰρ λίαν γέγονε τὸ στάδιον τῆς ζωῆς ἡμῶν· μηδεὶς ὀκνείτω· πάντες σπουδάσωμεν. *Ὥρα, ἡμᾶς ἤδη.*] Ἐγγύς, φησι, τὸ τέλος, καὶ δεῖ ἡμᾶς ἐπείγεσθαι εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐργασίαν. *Ἐξ ὕπνου ἐγερθῆναι.*] Τῆς ῥᾳθυμίας ἀναστῆναι. *Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία.*] Τοῦ γὰρ παρόντος βίου ὑποσυρομένου κατὰ μικρὸν, ἐγγύτερος ὁ τῆς ἀναστάσεως καὶ τῆς σωτηρίας ἡμῶν γίνεται καιρὸς, παρὸ ὅτε τὴν ἀρχὴν ἤλθομεν εἰς τὴν πίστιν. *Ἡ σωτηρία.*] Ἐὰν ὦμεν, ὡς δεῖ, παρεσκευασμένοι, σωτήριος ἡμῖν ἔσται ἡ τῆς κρίσεως ἡμέρα· εἰδὲ μὴ, ὀλέθριος. Πλὴν αὐτὸς ἐκ τῶν χρηστοτέρων δηλοῖ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμέραν ἐκείνην. *Ἢ ὅτε ἐπιστεύσαμεν.*] Εἰκὸς ἦν τούτους ἐν ἀρχῇ μὲν ὡς νεαροὺς τῇ πίστει ζέειν, νῦν δὲ ἀπομεμαράνθαι· τοῦτο οὖν αἰνίττεται, ὡς εἰ ἔλεγεν· Ὅτι ὅσῳ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, τουτέστιν, ὁ τῆς κρίσεως σωτήριος καιρός, τοσούτῳ μᾶλλον σπουδάζειν προσήκει ἡ ῥᾳθυμεῖν.

12 Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν·) ἀποθώ-
μεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα
13 τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως
περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις
14 καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσα-
σθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς
πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

Η *νὺξ προέκοψεν.*] *Νύκτα* τον παρόντα καλεῖ βίον· οὐδὲν γὰρ ὀνειράτων διαφέρει τὰ ἐν αὐτῷ· *ἡμέραν* δὲ, τὸν μέλλοντα χρόνον, διὰ τὸ τὰ κρυπτὰ πάντων ἐν αὐτῷ φανεροῦσθαι. *Ἡ νὺξ προέκοψε.*] Τουτέστι, πρὸς τῷ τέλει ἐστὶν ἡ νύξ. *Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους.*] Ἔργα σκότους φησὶ τὰς πονηρὰς πράξεις· *ὅπλα* δὲ *φωτὸς*, τὴν ἀρετήν· ὡς μὲν οὖν ὅπλα, ἀσφαλίζεται· ὡς δὲ φωτὸς, λαμπρύνει. *Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν.*] Ὡς ἤδη παρούσης, ὡς ἐνεστηκυίας τῆς ὅσον οὔπω παρεσομένης ἡμέρας, οὕτω πολιτευσώμεθα εὐσχημόνως. Τί δέ ἐστι τὸ, *εὐσχημόνως*, ἑρμηνεύει αὐτὸς ἐπάγων· *Μὴ κώμοις*, καὶ ἑξῆς. Εὐσχημόνως δέ φησι, λίαν ἐντρέπων· ὅτι, εἰ καὶ μὴ κόλασις ἦν ἀποκειμένη τοῖς ἁμαρτάνουσι, καὶ ἀπόλαυσις τοῖς κατορθοῦσιν, ἔδει τὸ αἰσχρὸν καὶ ἀπρεπὲς καὶ ἀσχημονοῦν φεύγοντας, ἔχεσθαι τῆς ἀρετῆς· ὅτε δὲ καὶ τὰ ῥηθέντα ἑκατέρῳ βίῳ ἀκολουθεῖ, τί χρὴ ποιεῖν; *Περιπατήσωμεν.*] Ἄνω εἰρηκὼς, μέλλειν τὴν τῆς κρίσεως ἡμέραν, νῦν αὐτὴν ἐφίστησι, πτοῶν τὸν ἀκροατήν. Λέγων δέ, *περιπατήσωμεν*, ἀνεπαχθῆ ποιεῖ τὸν λόγον· καὶ γὰρ καὶ ἑαυτὸν ἔμιξε. *Μὴ κώμοις καὶ μέθαις.*] Οὐ τὸ πίνειν, ἀλλὰ τὸ μεθύειν κωλύει. *Κῶμος* δέ ἐστι, τὰ μετὰ μέθης καὶ ὕβρεως ἁσματα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἃ καὶ παροινία λέγεται. *Μὴ κοίταις καὶ ἀσελγείαις.*] Οὐ τὴν μίξιν ἀναιρεῖ, ἀλλὰ τὴν πορνείαν. *Μὴ ἔριδι καὶ ζήλῳ.*] *Ἔριδι* μέν, περὶ θυμοῦ λέγει· *ζήλῳ* δὲ, περὶ βασκανίας. *Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν.*] Ὁ γὰρ αὐτὸν ἐνδεδυμένος, ἔχει καθόλου τὴν ἀρετήν. Πῶς δὲ αὐτὸν ἐνδυτέον; Εἰ πάντα ἡμῖν αὐτὸς εἴη, ἔσωθεν καὶ ἔξωθεν ἐν ἡμῖν φαινόμενος. Τὸ δὲ μηδέ ποτε αὐτοῦ ἀπολείπεσθαι, *ἔνδυμα* καλεῖ. *Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε.*] Εἰπὼν, μὴ δεῖν προνοεῖν τῆς σαρκὸς, ἐπάγει, *εἰς ἐπιθυμίας*, ἵνα μὴ νομίσῃς, ὅτι οὐδὲ ἐν τοῖς ἀναγκαίοις δεῖ ἡμᾶς προνοεῖσθαι τῆς σαρκὸς, οἷον ἐν βρώσει ἢ ἐνδύματι. Προνοητέον τοιγαροῦν αὐτῆς πρὸς διαμονὴν, ἀλλὰ μὴ πρὸς ἀσέλγειαν.

ΚΕΦ. XIV, 1 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσ-
2 λαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν
πιστεύει, φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει.
3 Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ
ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ θεὸς
4 γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλό-
τριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει·
σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν.

Ἦσαν δέ τινες ἐξ Ἰουδαίων πιστεύσαντες, οἵτινες, ἔτι τοῦ νόμου ἐχόμενοι, πολλὰ τῶν βρωμάτων ἐβδελύσσοντο, οἷον χοίρια κρέα· καὶ διὰ τὸ μὴ γίνεσθαι δῆλοι, λάχανα ἤσθιον μόνα, ἵνα δόξῃ ἐγκρατείας, ἀλλὰ μὴ βδελυγμοῦ εἶναι ἡ παρατήρησις. Ἦσαν δὲ καὶ ἄλλοι ἀπὸ Ἰουδαίων πιστοὶ, οἳ, ἑβραϊκῶς πεπιστευκότες, οὐ παρετηροῦντο τὰ βρώματα. Πρὸς τούτους τοιγαροῦν τοὺς εἰλικρινεῖς πιστοὺς ἀποτείνων τὸν λόγον, τῶν τὰ βρώματα βδελυττομένων καθάπτεται, ἀσθενοῦντας καλῶν τῇ πίστει. Ὅρα δέ μοι τὸ συνετὸν καὶ δραστήριον καὶ προνοητικὸν τοῦ Παύλου! Δεξιούμενος, ἐπιπλήττει τὸν τοῖς βρώμασι διακρινόμενον, τὸ μὲν, ἵνα μὴ ἀποσκιρτήσῃ, ἀκράτου τοῦ ἐλέγχου προτεινομένου· τὸ δὲ, ἵνα μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόξῃ καλὸν ποιεῖν, ἀνεπιτίμητος μένων. Διὸ *προσλαμβάνεσθε αὐτόν*, φησιν· ὅτι ἀσθενής ἐστιν. Μὴ κρίνῃς αὐτόν, φησι. Διατί; Οὐχ ὅτι οὐ ποιεῖ κακόν· ἀλλ' ὅτι κύριον ἔχει ἄλλον, τὸν κρίνοντα αὐτόν· τούτῳ καὶ ἐκεῖνον παραμυθούμενος, ὡς ἔφημεν, ἐπὶ τῷ μὴ κατακρίνεσθαι ὑπὸ τοῦ πλησίον, καὶ διδοὺς πάλιν ἐννοεῖν, ὅτι κἂν οὗτος αὐτὸν οὐ κρίνῃ, ἀλλ' οὖν ὑπὸ κρίμα ἐστὶ, παρατηρούμενος τὰ ῥώμματα. Εἰ γὰρ καὶ οὗτος οὐ κρίνει σε, μονονουχὶ λέγων, ἀλλ' ἔχεις κύριον τὸν κρίνοντά σε. Διὸ δεῖ σε τῆς τοιαύτης ἀποσχέσθαι σμικρολογίας. Κωλύει δὲ περὶ ῥωμμάτων κρίνειν ἀλλήλους, ἵνα μὴ κατ' ἀρχὰς τῆς πίστεως περὶ ταῦτα ἐρίζοντες καὶ φιλονεικοῦντες, ἐκ τούτου καὶ εἰς αὐτὰ τὰ καίρια διαστῆναι κινδυνεύσωσι, καὶ, τὸ κεφάλαιον, αὐτὴν τὴν εἰς Χριστὸν πίστιν ζημιωθῶσι. Τί οὖν; ἂν ἴδωμεν νῦν περὶ τὰ ῥώμματα ἰουδαϊκῶς παρατηρούμενον, οὐ μὴ κατακρίνωμεν; Καὶ μάλιστά γε. Πῶς οὖν φησί· «*Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε* (α);» Οὐ περὶ πίστεως ἡ τῶν εἰς πίστιν συντελούντων τοῦτο δεῖ ἐκλαμβάνειν· μὴ γένοιτο! οὐδὲ περὶ τῶν ἀναίδην πραττομένων ἀτόπων· ἀλλὰ περὶ τῶν κατὰ τὸν βίον ἔργων, περὶ τῶν ὑπονοουμένων, περὶ τῶν, ὡς αὐτὸς ὁ Δεσπότης ἔφη, κάρφους λόγον ἐχόντων (β). Περὶ τούτων γὰρ καὶ τῶν τοιούτων οὐδὲ στόμα διᾶραι δεῖ· καὶ μάλιστα οἷς συμπαρατίθησι τῷ προειρημένῳ κεφαλαίῳ καὶ ἕτερον· καί φησιν, ὅτι Οὐ μόνον ἐπὶ τοῦ προειρημένου οὐ δεῖ κατακρίνειν καὶ ἐξουθενεῖν τὸν πλησίον· ἀλλ' οὐδὲ ἐπὶ τοῦ ῥηθῆναι μέλλοντος. Ἔστι δὲ τοῦτο τοιοῦτον· Οἱ μὲν ἡμέραν παρ' ἡμέραν ἤσθιον· οἱ δὲ, καθ' ἡμέραν. Φησὶν οὖν, ὅτι οὐ δεῖ οὐδὲ ἐπὶ τούτων κρίνειν καὶ κατακρίνειν ἀλλήλους, οὔτε τὸν ἐσθίοντα· νηστεύει γὰρ ὁ πλησίον, καὶ ἀγαθοποιεῖ, ποιῶν αὐτὸ διὰ τὸν θεόν· οὔτε πάλιν διὰ τὸν νηστεύοντα, δεῖ κατακρίνειν τὸν μὴ νηστεύοντα παρ' ἡμέραν· οὐ γὰρ νομοθε-

(α) Ματθ. Ζ', 1. (β) Ματθ. Ζ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίας ἐστὶν, ἵνα ἡ παράβασις προξενῇ κρίμα, ἄλλα μόνης προαιρέσεως.—*Μὴ εἰς διακρίσεις διαλογισμῶν.*] Μία μὲν κατ' αὐτῶν πληγὴ, τὸ εἰπεῖν, *ἀσθενοῦντας τῇ πίστει*· δευτέρα δὲ, τὸ *προσλαμβάνεσθε*· δείκνυσι γὰρ αὐτοὺς πολλῆς δεομένους ἐπιμελείας· τρίτη, τὸ *μὴ εἰς διακρίσεις διαλογισμῶν*· δηλοῖ γὰρ τοσοῦτον αὐτοὺς πταίοντας, ὡς καὶ τοὺς κοινωνοῦντας αὐτοῖς τῆς φιλίας διακρίνεσθαι, καὶ χωρίζεσθαι (1). *Ὃς μὲν πιστεύει, φαγεῖν πάντα.*] Ὁ μὲν εἰλικρινῶς, φησὶ, πιστεύων, καὶ μηδεμίαν ἔχων ἰουδαϊκὴν παρατήρησιν, πάντα ἀβδελύκτως ἐσθίει· ἀνακηρύττει δὲ αὐτὸν ἀπὸ τῆς πίστεως· ὁ δέ γε, φησὶ, περὶ τὴν πίστιν *ἀσθενῶν*, *λάχανα ἐσθίει*. Ἐνταυτῷ καὶ διελέγχει αὐτὸν, ὅτι δι' οὐκ ἐπαινουμένην ἐγκράτειαν ἐσθίει τὰ λάχανα, κἂν τοῦτο ὑποκρίνηται, ἀλλὰ κατ' ἀσθένειαν πίστεως. *Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω.*] Οὐκ εἶπε, *Διορθούσθω*, ἀλλὰ, *Μὴ ἐξουθενείτω*, δεικνὺς, ὅτι καταγέλαστα πράττει. Δεῖ γὰρ αὐτὸν ἀδελφικῶς διορθοῦσθαι, καὶ οὐχ ὡς βδελυκτὸν ἐξουθενεῖν. Ὥσπερ γὰρ οἱ διὰ πίστιν ἀδιακρίτως πάντα ἐσθίοντες, ἐξουθένουν τοὺς παρατηρουμένους· οὕτως ἐκεῖνοι τούτους ὡς γαστριμάργους ἔκρινον. Ὅρα δὲ· ἐπὶ τῶν ἐσθιόντων εἶπών· *Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο*· ἐπὶ τῶν παρατηρουμένων οὐδὲν τοιοῦτον εἶπεν. *Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο.*] Ὁ θεὸς γὰρ αὐτόν, φησι, πρὸς ἑαυτὸν ἐφειλκύσατο, καὶ ἀπήλλαξε πάσης ἰουδαϊκῆς παρατηρήσεως· ὁ δὲ οἰκέτης Χριστοῦ, ὃν προσελάβετο ὁ Χριστὸς, ἀλλότριος ἐστὶ τοῦ νόμου. Τίς οὖν εἶ ὁ κρίνων ἀπὸ τοῦ νόμου τὸν τοῦ νόμου ἀλλότριον; *Σὺ τίς εἶ ὁ κρίνων;*] Πρὸς τὸν εἰλικρινῆ πιστὸν ὁ λόγος αὐτῷ. Ἐκ δὲ τούτου δῆλον ὅτι, οὐ μόνον ἐξουθένουν, ἀλλὰ καὶ ἔκρινον τοὺς τὰ λάχανα ἐσθίοντας. *Ἀλλότριον οἰκέτην.*] Τοῦ θεοῦ, φησὶν, ἐστί· καὶ τῷ θεῷ διαφέρει καὶ ἡ πτῶσις αὐτοῦ καὶ ἡ ἔγερσις. Οὐκ ἐπειδὴ οὖν ὅτι οὐκ ἄξια ποιεῖ κατακρίσεως, μὴ

(1) Μηδὲν διακρινόμενοι, ὡς καὶ τῆς πρὸς αὐτοὺς ἀπέχεσθαι κοινωνίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρίνε αὐτόν· ἀλλ' ὅτι ἀλλότριος ἐστὶν οἰκέτης. [*Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει.*] Παραμυθούμενος πάλιν αὐτὸν, οὐκ εἶπεν, ὅτι πίπτει· ἀλλὰ, *στήκει ἢ πίπτει*· ἄν τε τοῦτο, ἄν τε ἐκεῖνο, τῷ δεσπότῃ διαφέρει καὶ ἡ ζημία πίπτοντος, καὶ ὁ πλοῦτος ἑστῶτος (1).] *Σταθήσεται δὲ.*] Πάλιν πλήττει τοὺς ἀσθενεῖς καὶ παρατηρουμένους τὰ ῥήματα. Εἰπὼν γὰρ, *σταθήσεται*, δηλοῖ ὅτι σαλεύονται, καὶ τοσοῦτον, ὡς θεοῦ δεῖσθαι στερροποιοῦντος.

5 Ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν· ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ πληροφορεί-
6 σθω. Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. Καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ θεῷ.

Εἰκὸς ἦν τινὰς τῶν συνεχῶς νηστευόντων κατακρίνειν τοὺς μὴ συνεχῶς νηστεύοντας, οἷς τὸ κατακρίνειν καὶ σφόδρα ἐγκαλεῖν ἀπαγορεύει. Ἦσαν γὰρ νεήλυδες ἐν τῇ πίστει· καὶ ἐδεδοίκει, μὴ ἡ πολλὴ ἔγκλησις τέλεον αὐτοὺς ἀποσχίσῃ τῆς πίστεως, ὀργισθέντας ταῖς ἐγκλήσεσιν. *Ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ.*] Μὴ περὶ πάντων δέξῃ τό· *Ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ πληροφορείσθω*· ἀλλ' ἐπὶ νηστείας μόνον, καὶ τοῦτο συγκαταβαίνων λέγει· ἐπειδὴ ἀρτιπαγεῖς ἦσαν ἐν τῇ πίστει οἱ Ῥωμαῖοι. Ὡς εἴγε καὶ περὶ πίστεως δέξῃ τὸ εἰρημένον, τοῦ παντὸς ἐξέπεσες. Κατὰ δὲ τὸν ἴδιον νοῦν ἕκαστος πληροφορείσθω, ἢ ὅτι καλῶς ποιεῖ, νηστεύων ἀεὶ, ἢ ὅτι οὐ καλῶς ποιεῖ, οὐ νηστεύων ἀεί. *Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ.*] Οὐ δεκτέον τὸ ῥητὸν ἐπὶ δόγματος πίστεως, ὡς καὶ αὐτὸς προεῖπε. Ἀμφότεροι γὰρ οὗτός τε κἀκεῖνος ἐνὶ χρῶνται σκοπῷ, τιμῇ τῇ περὶ τὸν θεόν· ὅ,τε γὰρ παραφυλαττόμενος τὴν ἡμέραν, οἴεται θεοῦ νόμον πληροῦν· ὅ,τε ἀδιαφορῶν περὶ τοῦτο, πᾶσαν ὡς ὑπὸ θεοῦ γενομένην ἡμέ-

(1) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ραν δι' ὁμοίας ἔχει τιμῆς.—ΑΛΛΩΣ. Τὸ, *Ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ*, φανερὸν ἐκ τοῦ προειρημένου ἡμῖν, ὅτι τοῦτο λέγει· Ὅτι ὁ κρίνων καὶ λογιζόμενος καλὸν εἶναι καθ' ἡμέραν φαγεῖν, *τῷ Κυρίῳ φρονεῖ*, τουτέστιν, ἐν Κυρίῳ τοῦτο λογίζεται, τουτέστι, διὰ τὸν Κύριον αὐτὸ ποιεῖ· καὶ ὁ μὴ κρίνων τοῦτο, μηδὲ λογιζόμενος, ὅτι καλόν ἐστι καθ' ἡμέραν φαγεῖν, διὰ τὸν Κύριον τοῦτο κρίνει καλὸν εἶναι καὶ λογίζεται. Αἴτια γάρ ἐστιν αὐτῷ ταῦτα εἰρημένα τοῦ, *Ἕκαστος ἐν τῷ ἰδίῳ νοὶ πληροφορείσθω*. Πῶς λέγεις τοῦτο, Παῦλε; Καλῶς εἶπον, φησίν· ἐπειδὴ καὶ ὁ νηστεύων ὑπὲρ ἡμέραν, καὶ ὁ ἐσθίων καθ' ἡμέραν, εἰς ἀρέσκειαν Κυρίου τοῦτο ποιοῦσι, καὶ οὐ δεῖ κρίνειν ὅλως ἀλλήλους ἐπὶ τούτῳ. Εἶτα καὶ ἐπιτείνει τὴν αἰτίαν, καί φησι· Καὶ γὰρ ὁ ἐσθίων, εὐχαριστεῖ τῷ θεῷ ἐν τῷ ἐσθίειν, ὅτι ἔδωκεν ἀνθρώποις πόρον καὶ συνέχειαν ζωῆς· καὶ ὁ νηστεύων εὐχαριστεῖ, ὅτι ἔδωκεν ἀνθρώποις καρτερίαν καὶ ὑπομονὴν, καὶ μεθόδους, δι' ὧν τις δύναται περιγενέσθαι τῶν τῆς σαρκὸς παθῶν· ὁ δὲ ἄλλως πως ἐσθίων ἢ νηστεύων, κατάκριτος, ὥσπερ τῶν αἱρέσεων τινές· Ταῦτα οὖν περὶ τῶν νηστευόντων καὶ ἐσθιόντων ἰδικῶς ἐκληπτέον· ἀλλὰ μὴ ἐπὶ ἄλλων τινῶν· οὐ γὰρ ἐπὶ πάντα ὁ κανὼν οὗτος διήκει· ἀλλ', ὡς ἔφημεν, ἰδικός ἐστιν, ἐπὶ τούτου μόνον καὶ τῶν ὁμοίων περιλαμβανόμενος. Διὸ οὐδ' ἐπὶ τοῦ πρὸ μικροῦ εἰρημένου κεφαλαίου ἁρμόζει, οἷον ἐπὶ τοῦ ἐν τοῖς βρώμασι διακρινομένου· καὶ γὰρ ἐκεῖνος μὴ ἐσθίων, οὐχὶ εἰς δόξαν οὐκ ἐσθίει τοῦ Χριστοῦ, ἀλλ' ὡς ἀσθενὴς καὶ ἀστήρικτος ἐν τῇ πίστει. Ἀλλ' ἐκεῖνον μὲν οὐ δεῖ κατακρίνειν, διὰ τὸν καιρὸν, ὅτι ἀρχὴ τοῦ κηρύγματος ἦν· τὸν δὲ ἐσθίοντα καθ' ἡμέραν, καὶ νηστεύοντα ὑπὲρ ἡμέραν, οὐ δεῖ ὅλως οὐδέτερον οὐδετέρῳ μέμψιν ἐπάγειν· ὅτι ἄμφω εἰς δόξαν Κυρίου ποιοῦσιν, ἃ ποιοῦσι. Καὶ τὰ ἑφεξῆς, ὅσα περὶ τὴν αὐτὴν ἔννοιαν στρέφεται, ἐπὶ τῶν νηστευόντων ὑπὲρ ἡμέραν, καὶ ἐσθιόντων καθ' ἡμέραν ἐκληπτέον μόνον, οἷον· Σὺ δὲ, τί κρίνεις τὸν ἀδελφόν σου; καί·

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ. Εἶτα λαβὼν ἐντεῦθεν ἀφορμὴν, καὶ ἀναμνήσας, ὅτι κύριον ἔχομεν καὶ κριτὴν ἐπὶ τοῦ βήματος, εἰς παραίνεσιν ἀνάγει τὸν λόγον καθολικήν. Τί, φησι, τοῦτο ἢ ἐκεῖνο λέγω; Οὕτω δεῖ πρὸς ἀλλήλους διακεῖσθαι, ὥσε ἐν μηδενὶ, ὅσον ἐφ' ἡμῖν, ἐπάγειν ἀλλήλοις πρόσκομμα ἢ σκάνδαλον. — *Καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν.*] Ὁ οὕτω, φησὶ, φρονῶν, ὥστε καθ' ἡμέραν νηστεύειν, διὰ τὸν Κύριον οὕτω φρονεῖ· καὶ ὁ φρονῶν, ὥστε καθ' ἡμέραν μὴ νηστεύειν, διὰ τὸν Κύριον οὕτω φρονεῖ. Πᾶν δὲ ὃ διὰ τὸν Κύριον γίνεται, καλὸν ἐστίν. *Εὐχαριστεῖ γὰρ τῷ θεῷ.*] Εἰ οὖν, φησὶ, τὸ καίριον γίνεται, τὸ διὰ πάντων εὐχαριστεῖσθαι τὸν θεὸν, τί διαφέρεσθε περὶ τῆς νηστείας οὕτω σφοδρῶς; ὀλίγον γὰρ τὸ μέσον. Συγκαταβατικῶς μὲν οὕτω λέγει· πλὴν πῶς δύναται θεῷ εὐχαριστεῖν ὁ μὴ ἐσθίων, [ἔτι τοῦ νόμου ἐχόμενος;] Ὡς γὰρ τοῦ νόμου ἐχόμενος, οὐκ ἐσθίει. Καὶ λοιπὸν εὐχαριστεῖ τῷ θεῷ ὁ ἐσθίων.

7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀπο-
8 θνήσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν. Ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυ-
9 ρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

Ἔχομεν, φησὶ, Κύριον, ᾧ καὶ ζῶμεν, ἐὰν ζῶμεν, ᾧ καὶ ἀποθνήσκομεν, ἐὰν ἀποθνήσκωμεν. Εἰ οὖν τῷ Κυρίῳ διαφέρει ἡμῶν ἡ ζωὴ καὶ ὁ θάνατος, αὐτὸς οἰκονομήσει τὰ καθ' ἡμᾶς, καὶ οὐ χρεία κρίνειν τὸν πλησίον ἢ ἐξουθενεῖν. *Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν.*] Ζωῆς γὰρ αὐτὸς καὶ θανάτου μόνος ἔχει τὴν ἐξουσίαν. *Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε.*] Τὸν λογισμὸν ἐπήγαγε τοῦ καὶ ζῶντας ἡμᾶς καὶ ἀποθανόντας εἶναι τοῦ Χριστοῦ. Πρὸς δὲ τούτοις κἀκεῖνο δείκνυσιν, ὅτι, εἰ τοσαύτη περὶ ἡμᾶς ἐχρήσατο προνοίᾳ, ὡς καὶ σταυρωθῆναι, οὐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν ἡμῶν καταφρονήσῃ. Εἰ γὰρ καὶ ἀποθανόντων ἡμῶν προνοεῖ, πολλῷ μᾶλλον ζώντων. Τοῦτο δὲ πρὸς τοὺς κατακρίνοντας λέγει, ὅτι φροντισθῶσι παρὰ θεῷ οἱ ἀσθενεῖς τῇ πίσει διὰ τὴν τοσαύτην αὐτοῦ περὶ πάντας πρόνοιαν· καὶ τὸν ὀλιγόπιστον δὲ ἐντρέπει, τῶν εὐεργεσιῶν ὑπομιμνήσκων τοῦ Θεοῦ. *Καὶ ἀπέθανε καὶ ἀνέστη.*] Δικαιώματά, φησι, προαπέθετο τῆς ἡμετέρας δεσποτείας. *Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.*] Τουτέστι, ψυχῶν καὶ σωμάτων· αἱ μὲν γάρ εἰσιν ἀθάνατοι· τὰ δὲ, θνητά. Οὕτω καὶ ὁ ἅγιος Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ.

10 Σὺ δὲ, τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ, τί
ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστη-
11 σόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Γέγραπται γάρ·
« Ζῶ ἐγὼ, λέγει Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ,
καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ θεῷ (α). »
12 Ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει
13 τῷ θεῷ. Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ
τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα
τῷ ἀδελφῷ ἢ σκάνδαλον.

Πρὸς τὸν ὀλιγόπιστον πάλιν αὐτῷ ὁ λόγος. *Καὶ σὺ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;*] Πρὸς τὸν ἑδραῖον τῇ πίστει ὁ λόγος οὗτος· τῷ δὲ ὀνόματι τοῦ ἀδελφοῦ λύει αὐτοῖς τὴν ἔριν. *Ζῶ ἐγὼ, καὶ τὰ ἑξῆς.*] Δοκεῖ μὲν διὰ τῆς παραγωγῆς τῆς προφητείας καταστέλλειν τὸν πιστὸν, εἰς τὸ μὴ ἐξουθενεῖν τὸν ἰουδαΐζοντα· πλὴν ὅλον τὸ χωρίον εἶπε, κατασείων τὴν ψυχὴν τοῦ ἰουδαΐζοντος ἔτι· ὧδε μὲν, τῇ μνήμῃ τῆς κρίσεως· ἄνω δὲ, ταῖς εὐεργεσίαις αὐτοῦ τοῦ Χριστοῦ ἐντρέπων. Εἰ γὰρ τῷ Χριστῷ, φησὶ, πάντες παραστησόμεθα, καὶ αὐτὸς ἡμᾶς, καὶ οὐχ ὁ νόμος, εὐθύνας ἀπαιτήσει, τί σὺ ἔχῃ τοῦ νόμου, καὶ οὐ καθάπαξ ἐπιλαμβάνῃ τοῦ Χριστοῦ; *Ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ.*] Τὴν ἁπάντων αὐτῷ δεσποτείαν μαρτυρεῖ. *Καὶ πᾶσα γλῶσσα*

(α) Ἡσ. ΜΕ, 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξομολογήσεται.] Τὰς οἰκείας δηλαδὴ ἁμαρτίας, ἐξ αὐτοῦ τοῦ συνειδότος, ἅτε κριτῆ. — ΑΛΛΩΣ. Εἴρηται περὶ τοῦ θεοῦ καὶ πατρὸς, ὅτι αὐτὸς κρίνει οὐδένα, τὴν δὲ κρίσιν δέδωκε τῷ υἱῷ (α). Δῆλον οὖν ὡς περὶ τοῦ κριτοῦ εἴρηται τῷ Παύλῳ τό· *Ἐξομολογήσεται τῷ θεῷ*· καὶ τό· *Λόγον δώσει τῷ θεῷ*. Ἄρα θεὸς ὁ Χριστὸς, κἂν οἱ ἀσεβεῖς μὴ βούλωνται.—*Μηκέτι οὖν ἀλλήλους κρίνωμεν.*] Πάλιν τοῦ πρώτου ἔχεται λόγου, ἵνα μὴ δόξῃ διὰ φόβον τῆς κρίσεως μνησθῆναι, ἀλλὰ διά τινα λόγου ἀκολουθίαν. *Τὸ μὴ τιθέναι πρόσκομμα.*] Τοῦτο καὶ πρὸς τὸν εἰλικρινῆ πιστὸν καὶ πρὸς τὸν ἔτι ἰουδαΐζοντα ἁρμόζει· καὶ γὰρ καὶ ὁ τέλειος ἐσκανδαλίζετο τῇ τῶν βρωμάτων παρατηρήσει τοῦ πλησίον, καὶ ὁ τὰ βρώματα παραιτούμενος, τῇ σφοδρᾷ ἐπιπλήξει τοῦ εἰλικρινῶς πιστοῦ. Ὥστε μιᾷ συμβουλῇ τοὺς δύο διορθοῦται ἀπέχεσθαι τούτων, ἃ σκανδάλου πρόφασις τῷ πλησίον γίνεται. *Τῷ ἀδελφῷ* δὲ εἴρηκεν· καὶ ἐκ τοῦ ὀνόματος δυσωπῆσαι θέλων, Τί, φησι, σκανδαλίζεις; Ἀδελφός σου ἐστὶν, μέλος σου ἐστὶν, ἕνα πατέρα ἔχετε, ἕνα δημιουργόν. Ἂν οὖν ἀναιρεθῇ ἀφ' ὑμῶν τὰ σκάνδαλα καὶ τὰ προσκόμματα, πολλῷ μᾶλλον ἀναιρεθήσεται τὸ κρίνειν καὶ κατακρίνειν· οὐχὶ μόνον τὸ ἐπὶ τούτῳ κρίνειν καὶ κατακρίνειν, ἢ ἐπὶ τούτῳ, ἀλλ' ἁπλῶς καὶ καθόλου ἀναιρεθήσεται τὸ κρίνειν ὅλως ἀλλήλους καὶ κατακρίνειν. Καὶ τότε ἔσται ὡς ἀληθῶς ὅτε μὴ κρινόμενος, τρισμακάριστος, καὶ ὁ μὴ κρίνων, παραπλήσιος, ἐν ἀρετῇ καὶ ἁγιότητι ζώντων ἡμῶν, καὶ τοῦ κρίνειν καὶ κρίνεσθαι πᾶσαν ἐκ πολλῶν (1) ποιησαμένων πρόφασιν. Ὢ Παύλου φωνῆς! ὢ οἰκοδόμου θεμέλιος! *Τοῦτο κρίνατε*, φησι, *τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον*· ταύτην κρηπῖδα πρώτην καταβάλεσθε. Ἂν αὕτη ἑδρασθῇ ἐν ἡμῖν ἡ κρηπὶς, ῥᾴον τὰ ἄλλα ἐποικοδομεῖν ἐστιν.

14 Οἶδα, καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοι-

(α) Ἰωαν. Ε, 22. (1) Μήτι, ἐκ πολλῶν;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νὸν δι' ἑαυτοῦ (1), εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν
15 εἶναι, ἐκείνῳ κοινόν. Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός
σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Μὴ
τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς
16 ἀπέθανε. Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν.
17 Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ ἐν πνεύ-
18 ματι ἁγίῳ. Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, εὐάρεστος τῷ θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις.

Ἔτι περὶ τῆς τῶν βρωμάτων παρατηρήσεως ὁ λόγος αὐτῷ. Ἐπεὶ οὖν εἶπεν· *Οἶδα, καὶ πέπεισμαι, ὅτι οὐδὲν κοινόν*· ἵνα μὴ εἴπῃ ὁ ἔτι ἰουδαΐζων, Καὶ τί, εἰ σὺ πεπεισμένος εἶ, τοῦ νόμου τὸ ἐναντίον εἰσηγουμένους προστίθησι τὸ, *ἐν Κυρίῳ Ἰησοῦ*, δεικνὺς, ὅτι παρ' αὐτοῦ ταῦτα μεμάθηκε καὶ πεπληροφόρηται, καὶ οὐκ ἀφ' ἑαυτοῦ λέγει. *Ὅτι οὐδὲν κοινόν.*] Ἐντεῦθεν πάλιν εἰς τὰ περὶ βρωμάτων ἐπάνεισι, καὶ παραινεῖ τοὺς δυνατοὺς κατὰ τὴν πίστιν, ἀντιλαμβάνεσθαι τῶν ἀσθενῶν. Δείκνυσι δὲ ἐξ ὧν λέγει, καλὸν μὲν καὶ τὸ, ἐκεῖνον ἐν βρώμασι διακρινόμενον, πειρᾶσθαι διορθοῦν· ἄμεινον δὲ τὸ, ἀδυνατοῦντα ἐν τούτῳ, ὑπερορᾶν τὸ ἐλάττωμα, καὶ χειραγωγεῖν παντὶ τρόπῳ ἐπὶ τὸ κερδῆσαι καὶ σῶσαι αὐτόν.—*Οὐδέν*, φησι, *κοινὸν δι' αὐτοῦ.*] Ἵνα γὰρ μὴ λέγωσι· Σὺ τις ὢν ἀντινομοθετεῖς Μωσῇ; τὸν Μωσέως δεσπότην εἰς μέσον παράγει, διδάσκων ὡς αὐτὸς τὰς νομικὰς παρατηρήσεις ἔπαυσε, καὶ οὐδὲν εἴασε νομίζειν ἀκάθαρτον ἔδεσμα· τὸ γὰρ, *δι' αὐτοῦ*, τουτέστι, διὰ τὴν εὐαγγελικὴν αὐτοῦ νομοθεσίαν· ἢ, *δι' αὐτοῦ*, τουτέστι, τοῦ θεοῦ. *Ἤ, οὐδὲν κοινὸν δι' ἑαυτοῦ*, τουτέστιν, ἀκάθαρτον τῇ ἑαυτοῦ φύσει. Διὰ τὴν νῦν, φησί, παρ' αὐτοῦ δοθεῖσαν χάριν, οὐδὲν φύσει κοινόν, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τοῦ μετιόντος γίνεται κοινόν. Ὅθεν καὶ ἐκείνῳ μόνῳ γίνεται κοινὸν, οὐχὶ δὲ καὶ

(1) Τὸ, δι' ἑαυτοῦ, ἤτοι, τῇ ἰδίᾳ φύσει, γράφεται παρ' ἄλλοις, δι' αὐτοῦ, ἤτοι, τοῦ Χριστοῦ, τοῦ θεοῦ· καὶ ἐκ τούτου αἱ διάφοροι ἑρμηνεῖαι κατὰ τὴν διάφορον ἀνάγνωσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πᾶσιν· ἐκείνῳ γάρ, φησι, κοινόν. — *Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται.*] Ὑπεϊδιζον γὰρ οἱ πιστοὶ τοὺς ἰουδαΐζοντας ἔτι, καὶ διὰ τοῦτο παρατηρουμένους τὰ βρώματα. Οὐ βούλεται οὖν αὐτοὺς ἐν τοῖς μὴ πάνυ μεγάλοις πλήττεσθαι σφοδρῶς, φοβούμενος, μήπως, ὀλιγοθυμήσαντες, τέλεον ἀποστῶσι τῆς πίστεως. Εἰ οὖν καὶ μηδὲν ἐν βρώμασι κοινόν, φησι, πλὴν ἀπόσχου τῆς σφοδρᾶς ἐγκλήσεως τοῦ ἀδελφοῦ σου, οἰκονομικῶς οἰκονομῶν διὰ τὴν εἰρημένην αἰτίαν. Ὅρα δὲ τὴν τοῦ ἁγίου σοφίαν! Τὸν τέλειον πληροφορῶν, ὅτι οὐκ ἔστι κοινὸν, καὶ τὸν ὀλιγόπιστον ὡσαύτως δεικνύων ἀσθενοῦντα ἐκ τῆς τῶν βρωμάτων παρατηρήσεως, *οὐκέτι*, φησὶ, *κατὰ ἀγάπην περιπατεῖς*. Βούλεται γὰρ εἶναι ἀγάπην, εἰδὼς πάντα δι' αὐτῆς κατὰ μέρος κατορθοῦσθαι. *Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε.*] Μὴ, ἐπειδὴ σὺ πάντα ἐσθίεις, πιστὸς ὢν, ἐγκαλῶν σφοδρῶς ἐκείνῳ, ἐκβάλῃς αὐτὸν τέλεον τῆς πίστεως· καὶ γὰρ καὶ ὑπὲρ αὐτοῦ ὁ Χριστὸς ἀπέθανεν. Ὅθεν ὀφείλεις οἰκονομικῶς συγκαταβαίνειν αὐτῷ. Τοῦτο δὲ συμβουλεύει καὶ τοὺς πιστοὺς ἀπέχεσθαι βρωμάτων διὰ τὴν τῶν ὀλιγοπίστων συγκατάβασιν, ὅπερ καὶ προϊὼν λέγει. *Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν.*] Ἐγκαλῶν γὰρ, καὶ ἀεὶ φιλονεικῶν πρὸς αὐτὸν διὰ τὴν τήρησιν τῶν βρωμάτων, οὐ μόνον αὐτὸν φιλονεικότερον ποιεῖς, ἀλλὰ καὶ πρόφασιν δίδως τοῖς ἔξωθεν βλασφημεῖν ἡμῶν τὴν πίστιν διὰ τὰς τοιαύτας μάχας· τὸ ἀγαθὸν γὰρ, τὴν πίστιν φησί. Καλῶς μὲν διδάσκεις· ἀλλ' ἡ μάχη αἰτία βλασφημίας γίνεται. *Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν.* Ἀγαθὸν μὲν γὰρ τὸ, διὰ τὸ ἐστηριγμένον εἶναι τῇ πίστει, μὴ διακρίνεσθαι ἐν τοῖς βρώμασιν· ἐρίζοντες δὲ καὶ διαφιλονεικοῦντες σφόδρα πρὸς τοὺς διακρινομένους, ποιεῖτε τὸ ἀγαθὸν ὑμῶν βλασφημεῖσθαι. Ἐλεγχόμενοι γὰρ ἐκεῖνοι, συνελαύνονται λέγειν πρὸς ὑμᾶς, ὡς οὐ διὰ πίστιν τοῦτο ποιεῖτε, ἀλλὰ τὴν γαστέρα θεραπεύοντες. Εἰ οὖν καὶ μὴ δι' ἄλλο τι ἐχρῆν τῆς περὶ τοῦτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βάρνας

ἔριδος ἀποσχέσθαι· ἀλλ' οὖν καὶ αὐτὸ τοῦτο, τὸ μὴ βλασφημεῖσθαι τὸ ἀγαθὸν ὑμῶν, ἱκανόν ἐστιν εἰς τὸ πεῖσαι ὑμᾶς, τὴν ἔριν εἰς ὁμόνοιαν καὶ ἀγάπην διαλῦσαι. Οὐ γάρ ἐστι τοῦτο, ὑπερορᾶν τὰ τῆς πίστεως, ἀλλὰ τιμᾶν, ἐν τῷ τὰς κατ' αὐτῆς κωλύειν βλασφημίας. Εἰκὸς δὲ καὶ τῶν ἔξω τινὰς, τὰς ἔριδας διακούοντας, ἐπιγελᾶν, καὶ τὰ τῶν χριστιανῶν χλευάζειν καὶ βλασφημεῖν. Διὸ ἃ πάντα ἄμεινον ἦν, ἀντὶ τοῦ ἐρίζειν περὶ τὰ μὴ καίρια, ὁμονοοῦντας περὶ τὰ καίρια, καὶ συνηρμοσμένους τῇ ἀγάπῃ, πᾶσαν διαβολῆς καὶ βλασφημίας πρόφασιν ἐκκόπτειν. Ταῦτα γάρ ἐστι τὰ εἰσάγοντα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἡ ἐν πίστει εἰρήνη, ἡ ἐν ἁγίῳ πνεύματι χαρὰ, καὶ ἡ δικαιοσύνη. *Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις.*] Παῦσαι βούλεται ἐκείνους τῶν ἐγκλημάτων. Οὐ γὰρ διὰ βρώσεως ἢ πόσεως, φησὶν, ἔχομεν εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.—ΑΔΑΩΣ. Εἰπὼν· *Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις·* δείκνυσι τὴν περὶ τὰ βρώματα αὐτῶν ἔριν σφοδροτάτην οὖσαν καὶ πέρα τοῦ μέτρου· καὶ αἰνίττεται ὡς, Εἰ ἦν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, οὐκ ἂν πλέον διηγωνίσασθε· ἅμα δὲ καὶ ἐντρεπτικῶς, ὅτι Εἰ ὑπὲρ τούτων οὕτω ποιεῖτε, τί χρὴ πράττειν ὑπὲρ δικαιοσύνης, καὶ εἰρήνης, καὶ πνευματικῆς χαρᾶς;— *Ἀλλὰ δικαιοσύνη.*] Ποῖα οὖν ἐστὶ τὰ εἰσάγοντα εἰς τὴν βασιλείαν; *Δικαιοσύνη*, τουτέστιν, ὁ ἐνάρετος βίος, ἡ πρὸς τὸν ἀδελφὸν εἰρήνη, καὶ ἡ ἐκ τῆς ὁμονοίας χαρά. Ἐπειδὴ δὲ ἔνι εἰρήνη καὶ χαρὰ καὶ ἐπὶ αἰσχροῖς, προστίθησι τὸ, *ἐν πνεύματι ἁγίῳ·* ὡς εἰ εἶπε· ταύτην λέγω τὴν εἰρήνην καὶ χαράν, τὴν *ἐν πνεύματι ἁγίῳ* γινομένην, τουτέστι, διὰ τοῦ ἁγίου πνεύματος εἰσηγουμένην. *Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ.*] Οὕτω πράττων αὐτὰ, ὡς χρεωστῶν, ὡς ὀφειλέτης, μετὰ φόβου καὶ μετὰ συντριμμοῦ, ὡς πιστὸς δοῦλος θεοῦ, *εὐάρεστος εἶ τῷ θεῷ·* ὁ γὰρ φυσιούμενος καὶ ἀλαζονευόμενος ἐν τούτοις, οὔτε δουλεύει θεῷ, οὔτε εὐάρεστος αὐτῷ ἐστίν. Ἔνι δὲ καὶ ἀπὸ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κενοδοξίας ἐγκαλεῖν, καὶ οὐ διὰ φόβον ἢ ἀγάπην θεοῦ· διὸ ἐπάγει· *Ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ, ὃ ἐστὶν,* ἐν δικαιοσύνῃ καὶ χαρᾷ καὶ εἰρήνῃ πνευματικῇ. *Καὶ δόκιμος τοῖς ἀνθρώποις.*] Μὴ μόνον δὲ, ἀλλὰ καὶ οἱ ἄνθρωποί σε θαυμάσουσιν, ὁρῶντες εἰρήνην ἔχοντα καὶ δικαιοσύνην, καὶ οὐ διὰ τὸ τὰ χοίρεια ἐσθίειν ἀδιαφόρως.

19 Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς
20 οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ. Πάντα μὲν καθαρά· ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμμα-
21 τος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ.

Ἐπεὶ οὖν ταῦτα ἀνωμολόγηται, φησι, καὶ δέδεικται, ὅτι καλόν ἡ εἰρήνη, ταύτην μετερχώμεθα, δι' ἧς ἔσται καὶ ἡ πάντων οἰκοδομή. *Μὴ ἕνεκεν βρώματος.*] Οὐ μόνον, φησὶν, οὐκ οἰκοδομεῖς, ἐγκαλῶν ἀεὶ διὰ τὰ βρώματα, ἀλλὰ καὶ ἣν ἔχουσι πίστιν καταλύεις, φιλονεικοτέρους αὐτοὺς ποιῶν, καὶ ἀποστῆναι τέλεον τῆς πίστεως παροξύνων. *Τὸ ἔργον τοῦ θεοῦ.*] Ὁ θεός, φησι, διὰ τοῦ σταυροῦ ᾠκοδόμησε· σὺ δὲ τὴν οἰκοδομὴν αὐτοῦ καταλύεις διὰ βρῶμα. *Ἔργον* δὲ *τοῦ θεοῦ* λέγει, τὴν σωτηρίαν τῶν ἀνθρώπων. *Πάντα μὲν καθαρά.*] Ἵνα μὴ τῇ πολλῇ τῶν ὑγιαινόντων ἐπιπλήξει βεβαιώσῃ τῷ ἀσθενεῖ τὸ παρατηρεῖσθαι τὰ βρώματα, καὶ εἰς αὐτὸν χωρεῖ λοιπόν. *Πάντα μὲν καθαρά*, φησιν· ἀλλὰ κακὸν τῷ μετὰ συνειδότος πονηροῦ ἐσθίοντι, καὶ σκανδαλιζομένῳ. *Τῷ διὰ προσκόμματος ἐσθίοντι.*] Καὶ γὰρ, εἰ ἀναγκασθεὶς φάγεις, οὐδὲν ὠφέλησας· μετὰ γὰρ διακρίσεως βέβρωκας. Οὐ γὰρ τὸ φαγεῖν ποιεῖ σε καθαρὸν, ἀλλ' ἡ καθαρὰ γνώμη μεθ' ἧς ἐσθίεις. *Καλὸν τὸ μὴ φαγεῖν κρέα.*] Ἐνταῦθα οὐ μόνον παραινεῖ τῷ πιστῷ, μὴ σφόδρα καθάπτεσθαι τοῦ ἀσθενοῦντος, ἀλλὰ καὶ συγκαταβαίνειν μᾶλλον αὐτῷ πρὸς σωτηρίαν· καὶ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, κἂν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλό τι δέοι παραιτῆσαι, διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ. Μεγίστην γὰρ ἔχει συγκαταβάσεως ἀφορμὴν ἡ ἀσθένεια. *Μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει.*] Ὅρα, πῶς ἐν τῷ πρὸς τὸν πιστὸν λόγῳ τῶν ὀλιγοπίστων καθάπτεται. *Ἐν ᾧ τινι πράγματι προσκόπτει*, ὅπερ τῶν τυφλουμένων ἴδιον· *σκανδαλίζεται* δὲ, ὅπερ εὐσκανδαλίστων· *ἀσθενεῖ* δὲ, ὅπερ ὀλιγοπίστων.

22 Σὺ πίστιν ἔχεις· κατὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ
θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμά-
23 ζει. Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ, ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί.

Πίστιν ἐνταῦθα τὴν περὶ τῶν προκειμένων λέγει, οἷον τῶν βρωμάτων· ὡς ἦγε περὶ δογμάτων, ἐν τῷ φανερῷ ὁμολογεῖσθαι πᾶσιν ὀφείλει· πᾶς μὲν γάρ, φησιν, ὅστις ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ἑξῆς (α). Ἐνταῦθα δὲ καὶ κενοδοξεῖν αἰνίττεται τὸν τέλειον. Τέλειος εἶ, φησι, καὶ ἀπηρτισμένος; τί πομπεύεις τὴν ἀρετήν; ἔστω ὁ θεὸς τὸ πρᾶγμα. *Μακάριός ἐστιν ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει.*] Τουτέστιν, ἐν ᾧ ἂν δοκιμάσῃ πράγματι, τοιῶσδε ἢ τοιῶσδε, οἷον φαγεῖν τόδε ἢ μὴ φαγεῖν. Πῶς δὲ ἔσται τοῦτο; Ἀπὸ καθαροῦ συνειδότος. Ἐπειδὴ γὰρ εἶπε, *κατὰ σεαυτὸν ἔχε πίστιν*, φησὶν, ὅτι κἂν πάντες σε μέμφωνται οἰκονομικῶς τι ποιοῦντα, ἢ διὰ σωτηρίαν τοῦ ἀδελφοῦ σου, τὸ δὲ σὸν συνειδὸς οὐ κατακρίνῃ σε, μακάριος εἶ. Ἐκ δὴ τούτων τὸν ἀσθενῆ πλήττει. Εἰ γὰρ ἐκ τοῦ συνειδότος ὁ στέφανος καὶ ὁ μακαρισμὸς τῶν πιστῶν, δῆλον ὅτι καὶ ἡ κατάκρισις. Μὴ οὖν κατὰ διάκρισιν ἔσθιε διὰ τὴν ἀνάγκην, φησίν.—*Ὁ μὴ κρίνων ἑαυτόν.*] Ἀντιπίπτον λύει. Τί οὖν; φήσειεν ἂν τις· διὰ τὸν ἀσθενῆ μηδὲ ἐγὼ φάγω; οὐ παραβάλλομαι αὐτῷ; οὐ γίνομαι αὐτῷ ὅμοιος;

(α) Ματθ. ι', 32.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς οὖν τοῦτο μονονουχὶ λέγει· Μὴ γένοιτο! Ἡ γὰρ πίστις σου *ἐνώπιον τοῦ θεοῦ* καθαρὰ καὶ ἀκίβδηλος μένει. Εἶτα· Τί δὲ λέγω, φησίν, ὅτι οὐδὲν παραβλάπτῃ ἐκ τούτου, καὶ ἡ πίστις σου μένει ἐνώπιον τοῦ θεοῦ; Καὶ μακαρισμὸν προξενεῖς σεαυτῷ, ἐὰν διὰ τὴν ὠφέλειαν καὶ σωτηρίαν τοῦ ἀδελφοῦ οὐ τρώγῃς. Μακάριος, φησίν, ὁ μὴ κατακρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει, τουτέστιν, ὁ ἔχων τὸ συνειδὸς αὐτοῦ μαρτυροῦν αὐτῷ· οὐκ ἐν τούτῳ μόνον, ἐν ᾧ διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ ἀπέχεται βρωμάτων· ἀλλὰ καὶ ἁπλῶς ἐν παντὶ πράγματι, ὃ ἂν διὰ δοκιμῆς ἀκριβοῦς κατανοήσῃ, ὅτι ἀγαθόν ἐστιν, ἔπειτα πράττῃ αὐτό, τὴν συνείδησιν ἔχων μαρτυροῦσαν. Μακάριός ἐστιν ὁ τοιοῦτος· τοσοῦτον ἀπέχει τοῦ βλάβην τινὰ ἕνεκεν τούτου δέξασθαι.— *Ὁ δὲ διακρινόμενος.*] Τοῦτο πάλιν πρὸς τὸν ὑγιαίνοντα. Τί γὰρ αὐτὸν ἐκβιάζῃ φαγεῖν, οὔπω ἐστηριγμένον; Οὐκ οἶδας, ὅτι *ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται*; ὅτι μὴ ἐσθίει ἐκ πίστεως, ἀλλ' ἐξ ἀνάγκης ἢ αἰδοῦς; Οὐδὲ γὰρ ἐπίστευσεν αὐτὸ καθαρὸν εἶναι, καὶ οὕτως ἔφαγε. Τί οὖν αὐτῷ πρόφασις γίνῃ κατακρίσεως, ἀναγκάζων αὐτὸν ἐσθίειν σκανδαλιζόμενον; Εἶτα λοιπὸν κατὰ ἀπόφανσιν λέγει, ὅτι Πᾶν, ὃ ἄν τις ποιῇ οὐκ ἐκ πίστεως, ἐν αὐτῷ ἁμαρτάνει.

24 Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημέ-
25 νου· φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος·
26 μόνῳ σοφῷ θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν (1).

Τὸ ὑπερβατόν· Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι, ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. *Ὑμᾶς στηρίξαι.*] Λοιπὸν ἐπεύχεται τοῖς

(1) Οἱ τρεῖς στίχοι ὧτοι 24—26 ἀναγινώσκονται κοινότερον ἐν τῷ τέλει τοῦ Κεφ. Ις' ὡς στίχοι 25—27· ἀλλ' ἐνταῦθα ἀναγινώσκονται παρὰ τῷ Χρυσοστόμῳ, τῷ Θεοδωρήτῳ, τῷ Θεοφυλάκτῳ, τῷ Οἰκουμενίῳ κ. λ.

ἀσθενέσιν· εὐχῆς γὰρ εἶχον χρείαν μᾶλλον ἢ συμβουλῆς. Εἰπὼν δὲ, *στηρίξαι*, δηλοῖ, ὅτι σαλεύονται. Εἶτα ἐπάγει καὶ τὸν τρόπον τοῦ στηριγμοῦ. *Κατὰ τὸ εὐαγγέλιόν μου.*] Ἵνα οὕτω ζῶσι, φησὶ, ὡς τὸ εὐαγγέλιον διαγορεύει.—ΚΑΙ ΑΛΛΩΣ. Μετὰ τὴν παραίνεσιν εἴωθεν ἀεὶ εὔχεσθαι· ὃ καὶ ἐνταῦθα ποιεῖ, ὑπὲρ τῶν ἀτελεστέρων εὐχόμενος· καὶ οὐ μόνον λόγῳ παιδεύων, ἀλλὰ καὶ τὴν παρὰ θεοῦ συμμαχίαν εἰσάγων. Ἡ δὲ ἀκολουθία τῆς συντάξεως τοιάδε· Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι διὰ Ἰησοῦ Χριστοῦ, ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Τὸ γὰρ, Ὦ, ἄρθρον, ἐκ περισσοῦ κεῖται, διὰ τὸ δεῖσθαι τὸν λόγον ἐπαναλήψεως παραληφθέν. Τῷ δυναμένῳ ὑμᾶς τοὺς ἀτελεῖς, τοὺς σαλευομένους, στηρίξαι. Πῶς; *Κατὰ τὸ εὐαγγέλιόν μου*, τουτέστιν, ἵνα κατέχητε ἃ διδάσκω. Τὸ δὲ εὐαγγέλιόν μου, καὶ τοῦ Χριστοῦ τὸ κήρυγμα, ἓν εἰσιν. Οὐχ ἡμέτερα γὰρ τὰ δόγματα, ἀλλ᾽ ἐκείνου οἱ νόμοι. *Κατὰ ἀποκάλυψιν μυστηρίου.*] Μεγίστης τιμῆς σημεῖον, τὸ μυστηρίων ἡμᾶς γενέσθαι κοινωνοὺς, πράγματος, πάλαι μὲν προωρισμένου, φανέντος δὲ νῦν διὰ γραφῶν προφητικῶν. Ὥστε τί φοβῇ σὺ, ὁ ἀσθενὴς, μὴ ἀποστῇς τοῦ νόμου, ἐσθίων τὰ χοίρεια; Ἰδοὺ γὰρ αἱ γραφαὶ πᾶσαι τοῦτο τὸ μυστήριον κηρύττουσι, τὸ τὴν ἀδιαφορίαν τῶν βρωμάτων εἰσάγον. Ἀλλὰ καὶ κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ ἐστίν. Οὐκοῦν, οὐ δεῖ θεῷ ἀντιτάττεσθαι, ἀλλὰ πιστεύειν καὶ ὑπακούειν· ὑπακοῆς γὰρ ἡ πίστις δεῖται, οὐ φιλοπραγμοσύνης. Ἀλλὰ καὶ πάντα τὰ ἔθνη οὕτω πιστεύει· πᾶσι γὰρ ἐγνωρίσθη. Πῶς οὖν αὐτὸς ἔτι τῷ νόμῳ δουλεύεις. *Μόνῳ* δὲ *σοφῷ θεῷ*, εἶπε, πρὸς ἀντιδιαστολὴν ἀγγέλων καὶ ἡμῶν, ἢ τῶν ψευδωνύμων θεῶν, οὐ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος· ἄπαγε! ὁ γὰρ υἱός ἐστιν ἡ σοφία τοῦ πατρός. Αὐτῷ οὖν ἡ δόξα, τῷ φανερώσαντι τὸ μυστήριον, οὐ τῷ νόμῳ, ᾧ προσεδρεύεις ἔτι σὺ, παρατηρούμενος τὰ βρώματα. Τὸ δέ, *Διὰ Ἰησοῦ Χριστοῦ*, δύναται μὲν ὡς ἀνωτέρω εἴρηται, συνταχθῆναι· *Τῷ δυναμένῳ ὑμᾶς στηρίξαι διὰ Ἰησοῦ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστοῦ· δύναται δὲ καὶ οὕτω ληφθῆναι· *Εἰς πάντα τὰ ἔθνη γνωρισθέντος διὰ Ἰησοῦ Χριστοῦ*. Αὐτὸς γὰρ ἐγνώρισε τὸ μυστήριον τοῖς ἔθνεσιν, ὁ τοὺς μαθητὰς ἀποστείλας εἰς τὸ μαθητεῦσαι πάντα τὰ ἔθνη (α).—*Καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ*.] Τί δέ ἐστι τὸ κήρυγμα τοῦ Ἰησοῦ; «Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν, φησι, καὶ ὃν ἀπέστειλας Ἰησοῦν (β)·» «Ὁ ἑωρακώς ἐμέ, ἑώρακε τὸν πατέρα (γ)»· «Ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν (δ)»· καὶ ὡς ὁ Πέτρος φησίν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος (ε)· καὶ ὅτι τὴν κρίσιν πᾶσαν ὁ υἱὸς ἔχει (ζ)· καί· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος (η)·» καὶ τὰ ὅμοια. *Καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ*. Τίς δέ ἐστιν οὗτος ὁ Ἰησοῦς Χριστός; Ὁ ἐξ ἀρχῆς μὲν συνὼν τῷ πατρὶ, φανερωθεὶς δὲ νῦν. Πῶς δὲ φανερωθείς; Τοῦ μυστηρίου, φησίν, ἀποκαλυφθέντος· ἐν χρόνοις γὰρ αἰωνίοις τοῦτο σεσιγημένον ὑπῆρχε, μόνῳ τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ πνεύματι γινωσκόμενον· νῦν δὲ, τοῦ μυστηρίου ἀποκαλυφθέντος, εἰς πάντα τὰ ἔθνη ἐφανερώθη ὁ Χριστὸς, υἱὸς ὢν τοῦ θεοῦ, καὶ θεὸς ὁμοούσιος. Ἀλλὰ πῶς ἐφανερώθη; Διὰ τῶν προφητῶν, διὰ τῶν γραφῶν αὐτῶν. Καὶ πόθεν οὗτοι ἐλάλησαν καὶ ἔγραψαν; Ἐπιτάττοντος καὶ ἐμπνέοντος αὐτοῖς τοῦ παναγίου πνεύματος· τοῦτο γὰρ *αἰώνιον θεὸν* καλεῖ, τουτέστιν, ἄχρονον. Τί οὖν τὸ ἔργον τῶν προφητικῶν γραφῶν, ἃς διὰ τοῦ πνεύματος ἐλάλησαν; Γνωρισθῆναι τὸν Χριστὸν πᾶσι τοῖς ἔθνεσι. Πῶς; Ὑπακουσάντων αὐτῶν τῇ πίστει, διὰ τῶν εὐαγγελισαμένων αὐτοῖς ταύτην· ὧν τὸ πλεῖστον μέρος ὁ τοῦ Παύλου δρόμος καὶ τὸ εὐαγγέλιον ἤνυσεν. Ἔχεις οὖν κἀνταῦθα τὴν Τριάδα συναπτομένην· διὰ μὲν τοῦ, *σοφῷ θεῷ*, τὸν πατέρα· διὰ δὲ, *τοῦ Ἰησοῦ Χριστοῦ*, τὸν υἱόν· διὰ δὲ τοῦ, *κατ' ἐπιταγὴν τοῦ*

(α) Ματθ. ΚΗ', 19. (β) Ἰωαν. ΙΖ', 3. (γ) Ἰωαν. ΙΔ', 9.
(δ) Ἰωαν. Ι', 30. (ε) Ματθ. ΙϚ', 16. (ζ) Ἰωαν. Ε', 22.
(η) Ματθ. ΚΗ', 19.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

αἰωνίου θεοῦ τοὺς προφήτας προφητεῦσαι, τὸ ἅγιον πνεῦμα. Καὶ ὅρα τῆς ὑψηλῆς καὶ ὡς ἀληθῶς οὐρανοδρόμου διανοίας Παύλου τὸ ὀξυωπές! Ἐπεὶ γὰρ ὡς ἐπίπαν τὸ μὲν σοφὸν εἶναι τὸ πνεῦμα, οὐ προσίσταταί τισι· τὸ δὲ ἄχρονον εἶναι, προσίσταται τοῖς παλλοῖς, ἤμειψε ταῦτα· καὶ τὸ μὲν ὃ προσίστατο ἄν τισιν, εἰ μὴ Παῦλος ἐβόα, τίθησιν ἐπὶ τοῦ πνεύματος, *αἰώνιον θεὸν* καλῶν· τὸ δὲ ὃ καὶ μὴ μαρτυροῦντος, εὔληπτον νομίζειν ἐπὶ τοῦ πνεύματος, τοῦτο τίθησι, μηδὲν δεδιὼς, ἐπὶ τοῦ πατρὸς, *σοφὸν* ἀποκαλῶν· οὐ γὰρ ἐδεδίει, μήτις ἀφαιρήσῃ τῶν πολλῶν ἢ τὸ σοφὸν ἀπὸ τοῦ πνεύματος, ἢ τὸ αἰώνιον ἀπὸ τοῦ πατρὸς. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ υἱοῦ. Τὸ γὰρ, *χρόνοις αἰωνίοις*, καὶ τὸ, *φανερωθέντος*, τὸ ἄχρονον κηρύσσει τοῦ υἱοῦ· περὶ ὃ προσκόπτειν ἔμελλόν τινες, τοῦτο προθεραπεύων. Ὥσπερ οὖν, ῥηθέντος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος αἰωνίου, καὶ τὸν πατέρα αἰώνιον ἡ ἀκολουθία δίδωσιν ἐννοεῖν, οὕτω, σοφοῦ ῥηθέντος τοῦ πατρὸς, καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα εἰκότως ἐν ἀῤῥήτῳ καὶ θεοπρεπεῖ σοφίᾳ νοηθεῖεν ἄν, καὶ οὔτε τὸ αἰώνιον τοῦ πατρὸς ἀφαιρεθείη, οὔτε τὸ σοφὸν τοῦ πνεύματος ἢ τοῦ υἱοῦ ἀποστερηθείη. Καὶ τὸ εἰπεῖν δὲ τὸν θεῖον Παῦλον ἐπὶ τοῦ πατρὸς ἐνταῦθα, *τῷ σοφῷ*, συνάψαντα τὸ, *μόνῳ*, τῆς ὡς ἀληθῶς ἦν τοῦ πνεύματος σοφίας, καὶ τῆς ἐκεῖθεν χορηγουμένης Παύλῳ διανοίας. Ἐν τούτῳ γὰρ τέθεικε τὸ, *μόνῳ*, ἐν ᾧ πᾶσιν ἐστὶν ἀναμφίβολον καὶ τοῖς λίαν φιλονείκοις, ὅτι καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα οὐκ ἀπεξέρηνται τούτου. Τί τοῦτο ποιήσας; Ἵνα, καὶ ἐν οἷς ἂν ἑτέροις θεοπρεπέσι νοήμασι καὶ ὀνόμασι τὸ, *μόνον*, ἐπισυναπτόμενον ἀκούσῃς, μὴ πρὸς ἀντιδιαστολὴν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὴν φωνὴν ἐκλάβοις, ἀλλὰ πρὸς ἀντιδιαστολὴν μὲν τῶν ἄλλων ἁπάντων, ἕνωσιν δὲ καὶ συνάφειαν τῆς μοναρχικῆς Τριάδος. Ὁ γὰρ ἐνταῦθα τοῦτο νοεῖν φανερῶς ὑποτιθεὶς, καὶ ἐπὶ τῶν παραπλησίων τὴν αὐτὴν ὑπόληψιν ἔχειν διακελεύεται. Ἤκουσας *σοφὸν* τὸν πατέρα; Καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα συνεξάκουσον σοφόν. *Αἰώνιον* εἶπον τὸν υἱὸν ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ πνεῦμα; Καὶ τὸν πατέρα οὕτω μοι νόησον. *Βασιλέα* εἶπον τὸν πατέρα, *δυνατὸν, ἐξουσιαστήν*; Καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα οὕτω δοξάζειν χρή. Καλῶς εἶπον, *μόνον*, ἵνα τῇ μοναδικῇ Τριάδι συντηρήσω τὸ ἐξαίρετον, οὐχ ἵνα σχίσας αὐτὴν ἀφαιρήσω τὸ ἄξιωμα. *Μόνον* ὅταν συνάψω, τ' ἄλλα πάντα διαστέλλω, ἐκείνην δὲ μᾶλλον διὰ τοῦ, *μόνον*, ἑνοποιῶ, τῆς φυσικῆς σχέσεως οὐ μερίζων τὸ ἀδιάστατον, ἀλλὰ συσφίγγων ταῖς τῶν ἀκροατῶν διανοίαις τὴν ἑνότητα.—*Καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ.*] Ὁ Χριστὸς αὐτὰ ἐκήρυξέ, φησιν. Οὐκοῦν οὐκ ἀνθρώπων οἱ νόμοι τοῦ εὐαγγελίου, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ. Τὸ ἀξιόπιστον δὲ αὐτῶν δείκνυσιν ἀπό τε τοῦ κηρύγματος καὶ τοῦ ὀνόματος· *εὐαγγέλιον* γὰρ λέγεται. Ποῖον δὲ τὸ κήρυγμα τοῦ Χριστοῦ; Αὐτὸς ὁ Χριστός. *Κατὰ ἀποκάλυψιν μυστηρίου.*] Τοῦ δοθέντος, φησί, κατὰ ἀποκάλυψιν μυστηρίου. Ποίου; Τοῦ σεσιγημένου μὲν ἐν τοῖς προλαβοῦσιν *αἰωνίοις χρόνοις*, ὅ ἐστι πολλοῖς, φανερωθέντος δὲ νῦν. Σημαίνει δὲ θέλει τὸ εἶναι αὐτὸ πολλῆς τιμῆς δῶρον, οὐ μόνον ἐκ τοῦ κηρύξαντος Χριστοῦ, καὶ ἐκ τοῦ λέγεσθαι *εὐαγγέλιον*· ἀλλὰ καὶ ἐκ τοῦ νῦν ἡμῖν κατὰ δωρεὰν φανερωθῆναι, εἰ καὶ ἦν προαιώνιον. Ἐξ ἀρχῆς γὰρ ἦν ὁ υἱός· ἀλλὰ νῦν ἐγνώσθη, ἀγνοούμενος τὸ πρίν. *Διά τε γραφῶν προφητικῶν.*] Πῶς δέ, φησιν, ἐφανερώθη; Διὰ γραφῶν προφητικῶν, οὕτω τοῦ πατρὸς ἐπιτάξαντος γενέσθαι. Ταύτῃ δὲ τὸν ἄπιστον εἰς πίστιν προτρέπεται. Τί γὰρ φοβῇ εἰλικρινῶς αὐτῷ πιστεῦσαι; οἱ προφῆται εἶπον, ὁ θεὸς ἐνετείλατο. *Εἰς ὑπακοὴν πίστεως.*] Ὑπακοῆς γὰρ χρείαν ἔχει ἡ πίστις, ἵνα μή τις περιεργάζηται, διὰ τί νῦν ἐφανερώθη, καὶ διὰ τί πάλαι ἐσιγᾶτο. *Εἰς πάντα τὰ ἔθνη.*] Μὴ φοβοῦ, φησιν· οὐ σὺ μόνος πιστεύεις, ἀλλὰ καὶ πᾶσα ἡ οἰκουμένη. *Μόνῳ σοφῷ θεῷ.*] Πρὸς ἀντιδιαστολὴν τῶν ψευδωνύμων θεῶν, οὐ τοῦ Χριστοῦ, ἢ τοῦ πνεύματος, μὴ γένοιτο! *Διὰ Ἰησοῦ Χριστοῦ.*] Γνωρισθέντος ἐν τοῖς ἔθνεσι διὰ Ἰησοῦ Χριστοῦ, ὡς καὶ κηρύξαντος. Λοιπὸν διὰ μέσου τὸ, *Μό-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ σοφῷ θεῷ ἡ δόξα. Ἢ οὕτω· *Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι μόνῳ σοφῷ θεῷ.* Στηρίξαι δὲ πῶς; Διὰ Ἰησοῦ Χριστοῦ, *ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν. ὯΙ ἡ δόξα.*] Τὸ, *ᾧ*, παρέλκεται.—Τὸ, *ᾧ ἡ δόξα*, πρὸς τὰ τρία ἀκουστέον, ὡς τό· *Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι μόνῳ σοφῷ θεῷ*· καὶ ὡς τό· *Κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ*· καὶ ὡς τό· *Διὰ Ἰησοῦ Χριστοῦ.* Τῆς Τριάδος γὰρ διὰ τούτων δηλουμένης, τῇ Τριάδι καὶ τὴν δόξαν ἀνήνεγκεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ μιμήσεως τῆς Χριστοῦ ἀνεξικακίας.

ΚΕΦ. XV, 1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς 2 ἀρέσκειν. Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω 3 εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ, καθὼς γέγραπται· «Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ' 4 ἐμέ (α).» Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

Πρὸς τοὺς ὑγιαίνοντας τρέπει τὸν λόγον, διδάσκων, δεῖν συγκαταβαίνειν τοῖς ἀσθενέσι· χρεωστοῦμεν γὰρ τοῦτό, φησιν. Ὅρα δὲ, πῶς εὐτελίζει τοὺς ἀσθενεῖς. Περὶ μὲν γὰρ τῶν ἄλλων φησὶν, *οἱ δυνατοί*· περὶ τούτων δὲ, τὰ *ἀσθενήματα*, καὶ, *τῶν ἀδυνάτων*, καὶ τὸ, *βαστάζειν*. Καὶ *μὴ ἑαυτοῖς ἀρέσκειν*.] Ἀλλὰ τῷ πλησίον διὰ τῆς συγκαταβάσεως. Δυνατὸς εἶ καὶ πιστός; Δαβέτω σου πεῖραν ὁ ἀσθενὴς διὰ τῆς συγκαταβάσεως· δεῖ γὰρ ἕκαστον ἡμῶν τῷ πλησίον ἀρέσκειν. Ἀλλ' ἐπειδὴ ἓν ἀρέσκειν καὶ ἐπὶ κακῷ, προσέθηκεν, *εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν*. Τοῦτο γὰρ ποιῶν, οἰκοδομήσεις αὐτὸν καὶ διορθώ-

(α) Ψαλμ. ΞΗ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεις. *Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν.*] Εἰ ἠθέλησέ, φησιν, ὁ Χριστὸς τὸ ἑαυτοῦ σκοπεῖν, οὐκ ἂν ἔπαθεν· ἐξῆν γὰρ αὐτῷ μηδὲ ὑβρισθῆναι· ἀλλ' οὐχ ἑαυτῷ ἤρεσεν· οὐδὲ τοῦ ἰδίου ἐφρόντισεν, ἀλλὰ τοῦ ἡμετέρου συμφέροντος.—ΑΛΛΩΣ. Ἐξῆν αὐτῷ μὴ ὀνειδισθῆναι, μὴ παθεῖν ἅπερ ἔπαθεν, εἴγε τὸ ἑαυτοῦ ἐσκόπησεν· ἀλλὰ τὸ ἡμῶν σκοπήσας, τὰ ἑαυτοῦ παρεῖδε, καὶ ὑβρίσθη, καὶ πονηρὰν παρὰ πολλοῖς ἔλαβε δόξαν. — *Ἀλλὰ, καθὼς γέγραπται.*] Οὐδέν, φησι, ξένον γέγονεν· ἀλλ' οἱ ἐν τῇ Παλαιᾷ ὀνειδίσαντες καὶ ὑβρίσαντές σε, θεὲ πάτερ, οὗτοι καὶ κατὰ τοῦ υἱοῦ σου ἐμοῦ ἦλθον. *Ὅσα γὰρ προεγράφη, καὶ τὰ ἑξῆς.*] Ταῦτά, φησι, πρὸς ἡμετέραν διδασκαλίαν γέγραπται, ἵνα μιμώμεθα, καὶ ὑπομένωμεν. *Ἵνα διὰ τῆς ὑπομονῆς.*] Ἵνα, φησὶ, παρακαλούμενοι ὑπὸ τῶν γραφῶν, καὶ διὰ τῆς ἐκεῖ γεγραμμένης ὑπομονῆς νευρούμενοι, μένωμεν εἰς τὴν ἐλπίδα τοῦ θεοῦ· ἡ γὰρ ὑπομονὴ, τῆς ἐλπίδος ἐστὶ κατασκευαστική· καὶ ἡ ἐλπὶς πάλιν, τῆς ὑπομονῆς.

5 Ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη
ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν
6 Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε
τὸν θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
7 στοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ
8 Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν θεοῦ. Λέγω
δὲ, Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς,
ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων·

Δείκνυσιν, ὅτι μετὰ τῶν Γραφῶν καὶ τῆς ἐξ αὐτῶν διδασκαλίας καὶ παρακλήσεως, καὶ εὐχῶν χρεία πρὸς τὸ ἐπισπάσασθαι τὴν τοῦ θεοῦ βοήθειαν. *Δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν.*] Ἀγάπην αὐτοῖς ἐπεύχεται. Ἀλλ' ἐπειδὴ ἔνι καὶ ἐπὶ κακῷ ἀγάπη, διαιρῶν ἐκείνης ταύτην, ἐπάγει, *Κατὰ Χριστὸν Ἰησοῦν. Ἵνα ὁμοθυμαδόν.*] Τί δὲ τὸ ὄφελος τοῦ ἀγάπην ἔχειν, καὶ τοῦ τὸ αὐτὸ φρονεῖν μετ' ἀλλήλων; Αἴτιόν, φησι, γίνεται τοῦ πάντας ἐν μιᾷ

Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ψυχῇ καὶ ἐν ἑνὶ σώματι δοξάζειν τὸν θεόν. *Διὸ προσλαμβάνεσθε ἀλλήλους.*] Ἐπειδὴ ταῦτα οὕτως ἔχει, φησί, *προσλαμβάνεσθε ἀλλήλους*, τουτέστι, καταλλάσσεσθε ἑαυτοῖς. Καὶ πάλιν ἐν ὑποδείγματι τὸν Χριστὸν φέρει. Τοῦτο δὲ ποιοῦντες, τὸν θεὸν δοξάσετε διὰ τῆς ἀγάπης. *Εἰς δόξαν θεοῦ.*] Τὸ ὑπερβατόν· Προσλαμβάνεσθε ἀλλήλους εἰς δόξαν θεοῦ. *Λέγω δὲ, Ἰησοῦν Χριστὸν*, καὶ τὰ ἑξῆς.] Τοῖς ἰουδαΐζουσιν ἐγκαλεῖ, καί φησιν· Ὁ Χριστὸς ἐλθὼν συνέπραξε τῷ πατρὶ εἰς τὸ τὰς παρ' αὐτοῦ δοθείσας τοῖς ἀμφὶ τὸν Ἀβραὰμ ἐπαγγελίας εἰς πέρας ἐλθεῖν. Συνέπραξε δὲ, τὸν νόμον ἅπαντα πληρώσας, καὶ περιτμηθείς· τοῦτο γὰρ λέγει τὸ, *Διάκονον γεγενῆσθαι περιτομῆς*· ἵνα καὶ ταύτῃ βεβαιώσῃ καὶ πληρώσῃ τὸν νόμον. —*Λέγω δὲ, Ἰησοῦν Χριστὸν*, καὶ ἑξῆς.] Οἷον· Πῶς προσελάβετο ὑμᾶς ὁ Χριστός; Οὕτω λέγω, φησί· τοὺς μὲν Ἰουδαίους, περιτμηθείς, καὶ χρηματίσας κατὰ σάρκα ἐκ τοῦ σπέρματος αὐτῶν· ἐξ οὗ ἀληθεῦσαί τε συνήργησε τὸν πατέρα, καὶ τὰς ἐπαγγελίας ἐκπληρωθῆναι. Ἵνα δὲ μή τις εἴπῃ· Καὶ τίς χρεία τοῦ προσληφθῆναι τοὺς Ἰουδαίους, πάλαι τῷ πατρὶ προσφκειωμένους ὄντας, καὶ ἐπαγγελίας ἐκδεχομένους, ἃς οὐχ οἷόν τε ἦν μὴ ἐκβῆναι, ἐπεὶ παναληθὴς ὁ ὑποσχόμενος; Τούτου, φησὶ, χρεία ἦν· ὅτι κἂν προσελήφθησαν οἱ Ἰουδαῖοι, κἂν ἐπαγγελίας ἐδέξαντο, εἰ μὴ προσελάβετο αὐτοὺς ὁ υἱὸς, σαρκωθεὶς καὶ περιτμηθεὶς, οὔτε τῶν ἐπαγγελιῶν ἄξιοι ἂν ἦσαν, ἑαυτοὺς τῶν ἐντολῶν παραβάτας ἀπεργασάμενοι, οὔτ' ἂν τὸ περὶ τὴν ἀλήθειαν ἄτρεπτον καὶ ἀμεταμέλητον τοῦ πατρὸς εἰς συμφέρον αὐτοῖς ἐχρημάτιζε, διὰ τῆς παραβάσεως παρεμποδίζουσι ταύτην ἀποβῆναι. Διὸ προσλαβόμενος αὐτοὺς, καὶ περιτμηθείς, καὶ τῇ τοῦ πατρὸς ἀληθείᾳ συνέπραξε, καὶ τὰς ἐπαγγελίας τελεσθῆναι καὶ βεβαιωθῆναι συνήργησεν. Ἀλλὰ τοὺς μὲν Ἰουδαίους, οὕτω τε καὶ διὰ ταῦτα· τὰ δὲ ἔθνη διὰ τί προσελάβετο; Δι' ἄφατον ἔλεος, καὶ τοῦ δοξασθῆναι μᾶλλον τὸν πατέρα. Εἰ γὰρ τὸ τὰς ἐπαγγελίας ἐκπληρῶσαι, καὶ μὴ δόξαι τισὶ ψεύσασθαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν πατέρα, εἰς δόξαν αὐτοῦ συντελεῖ, τὸ μηδ' ὑποσχέσθαι, μηδ' ἐπαγγείλασθαι, ἀλλ' οὕτως ἀθρόον χαρίσασθαι τὰ ὑπερφυῆ καὶ ἀνέλπιστα, πῶς οὐχὶ εἰς ἄφατον δόξαν τοῦ πατρὸς συντελέσει; —ΑΛΛΩΣ. Ὁ Χριστὸς μόνος ἐπλήρωσε τὸν νόμον, πάσας τὰς ἐντολὰς κατορθώσας. Ἀλλὰ καὶ Ἰουδαῖος ἦν κατὰ σάρκα· τοῦτο γὰρ καὶ διὰ τῆς περιτομῆς δηλοῦται. Ἀλλὰ καὶ οἱ αὐτῷ υἱοθετηθέντες, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ ἐπληθύνθησαν, καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης (α). Ὥστε αὐτὸς καὶ τῷ πατρὶ συνήργησεν εἰς τὸ ἀληθεῦσαι, καὶ εἰς τὸ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας ἀποπληρωθῆναι, κατορθώσας μὲν πᾶσαν ἐντολήν, εἰς Ἀβραὰμ δὲ σπέρμα λογισθείς, πᾶσαν τὴν οἰκουμένην ἐπλήρωσε διὰ τῶν πιστῶν. — *Διάκονον γεγενῆσθαι περιτομῆς.*] Ἕνι καὶ οὕτω νοῆσαι· Διάκονος γέγονεν ὁ Χριστὸς τῶν Ἰουδαίων, τουτέστιν, ὑπὲρ τοῦ τοὺς Ἰουδαίους ἐντὸς γενέσθαι τῶν ἐπαγγελιῶν, ἵνα καὶ ὁ ταύτας ἐπαγγειλάμενος πατὴρ ἀληθεύσῃ.—*Εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων.*] Ὑπὲρ τοῦ ἀληθεῦσαι, φησί, τὸν ἐπαγγειλάμενον πατέρα· ὁ δέ γε νόμος οὐκ ἴσχυσεν αὐτὰς βεβαιῶσαι. Πῶς οὖν οὐκ ἄτοπον, τὸν βεβαιώσαντα ἡμῶν τὰς ἐπαγγελίας, ἃς ἔλαβον οἱ πατέρες, Χριστὸν παρορᾶν, καὶ τοῦ νόμου ἔχεσθαι, τοῦ μὴ ἰσχύσαντος τὰς ἐπαγγελίας ἡμῖν φυλάξαι;

9 Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεὸν, καθὼς
γέγραπται· « Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν
10 ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ (β) ». Καὶ πάλιν
λέγει· «Εὐφράνθητε ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ (γ)».
11 Καὶ πάλιν· « Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη,
καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί (δ) ». Καὶ
12 πάλιν Ἡσαΐας λέγει· « Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί,
καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη
ἐλπιοῦσιν (ε) ».

Οἱ μὲν Ἰουδαῖοι, κἂν ἐπαγγελίας ἦσαν δεξάμενοι, εἰ καὶ μη-

(α) Γενες. ΚΒ', 17. (β) Ψαλμ. ΙΖ', 50. (γ) Δευτερ. ΛΒ', 43.
(δ) Ψαλμ. ΡΙΖ', 1. (ε) Ἡσ. ΙΑ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲν ἐξ αὐτῶν ὠφελήθησαν, εἰ μὴ Χριστὸς αὐτὰς ἐβεβαίωσεν· ὑμεῖς δέ, φησι, τὰ ἔθνη, ὑπὲρ μόνης φιλανθρωπίας ὀφείλετε δοξάζειν τὸν θεόν· ἐπειδὴ μήτε ἐπαγγελίας εἴχετε, ἀλλ' ἠλεήθητε, τῆς χάριτος τὸ πᾶν ποιησάσης. Ὅσον οὖν, φησὶ, ἠλεήθητε χάριτι Χριστοῦ, τοσοῦτον ὀφειλέται ἐστὲ τοῦ θεοῦ, εἰς τὸ βαστάζειν τοὺς ὀλιγοπίστους ἐξ Ἰουδαίων· τοῦτο γὰρ δόξα θεοῦ, ἡ ὁμόνοια ὑμῶν καὶ ἡ εἰρήνη. Διαλέγεται γὰρ τοῖς ἐξ ἐθνῶν πιστοῖς, οἳ μάλιστα ἐπέκειντο τοῖς παρατηρουμένοις τὰ βρώματα.—ΙΩΑΝΝΟΥ (1) ΕΙΣ ΤΟ ΟΛΟΝ ΧΩΡΙΟΝ ΑΠΟ ΤΟΥ· ΛΕΓΩ ΔΕ, ΧΡΙΣΤΟΝ ΙΗΣΟΥΝ. Ἐπαγγελία πρὸς τὸν Ἀβραὰμ ἦν γεγενημένη λέγουσα· « Σοὶ δώσω τὴν γῆν καὶ τῷ σπέρματί σου· » καί· « Ἐν τῷ σπέρματί σου εὐλογηθήσεται πάντα τὰ ἔθνη (α) »· Ἀλλ' ἐγένοντο κολάσεως ὑπεύθυνοι μετὰ ταῦτα οἱ τοῦ σπέρματος Ἀβραὰμ ἅπαντες· ὁ γὰρ νόμος ὀργὴν αὐτοῖς εἰργάζετο παραβαινόμενος, καὶ τῆς ἐπαγγελίας ἀπεστέρει λοιπὸν ἐκείνης τῆς τῶν πατέρων. Παραγενόμενος τοίνυν ὁ υἱός, συνέπραξε τῷ πατρὶ εἰς τὸ τὰς ἐπαγγελίας ἀληθεῦσαι ἐκείνας. Πάντα γὰρ τὸν νόμον πληρώσας, ἐν ᾧ καὶ περιτομὴ ἦν, καὶ ταύτῃ, καὶ διὰ τοῦ σταυροῦ τῆς κατάρας ἀπαλλάξας τῆς ἐπὶ τῇ παραβάσει, οὐκ ἀφῆκε διαπεσεῖν τὴν ἐπαγγελίαν. Ὅταν οὖν λέγῃ, *Διάκονον περιτομῆς*, τοῦτο λέγει, ὅτι Ἐλθὼν, καὶ πάντα τὸν νόμον πληρώσας, καὶ περιτμηθεὶς, καὶ γενόμενος σπέρμα τοῦ Ἀβραὰμ, ἔλυσε τὴν κατάραν τὴν νομικὴν, ἔπαυσε τὴν ὀργὴν τοῦ θεοῦ, ἐπιτηδείους λοιπὸν ἐποίησε τοὺς μέλλοντας δέχεσθαι τὴν ἐπαγγελίαν, ἅπαξ ἀπαλλαγέντας τοῦ προσκεκρουκέναι. Ἵνα οὖν μὴ λέγωσιν οὗτοι οἱ ἐγκαλούμενοι· Πῶς οὖν ὁ Χριστὸς περιετέμνετο, καὶ πάντα τὸν νόμον ἐφύλαττεν; εἰς τοὐναντίον αὐτὸ περιτρέπει. Οὐ γὰρ ἵνα μείνῃ ὁ νόμος τοῦτο ἐποίησέ, φησιν, ἀλλ' ἵνα αὐτὸν λύσῃ, καὶ ἀπαλλάξῃ τῆς ἐπικειμένης κατάρας... Εἶτα, ἵνα μὴ τοῦτο φυσήσῃ τοὺς ἐξ ἐθνῶν,

(1) Χρυσοστ. Τομ. Θ'. Σελ. 725. (α) Γενεσ. ΙΒ', 7. ΙΖ' 8. ΚΗ, 18. ΚΒ, 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησι· Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οἱ μὲν Ἰουδαῖοι, κἂν ἐπαγγελίας εἶχον, εἰ καὶ ἀνάξιοι ἦσαν· οὐ δὲ οὐδὲ τοῦτο, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθης μόνης· εἰ καὶ τὰ μάλιστα οὐδ' ἐκείνοις τι πλέον ἐγένετο ἀπὸ τῆς ἐπαγγελίας, εἰ μὴ παρεγένετο ὁ Χριστός... Δόξα δὲ θεοῦ, τὸ συνῆφθαι, τὸ ἡνῶσθαι, τὸ ὁμοθυμαδὸν εὐφημεῖν, τὸ βαστάζειν τὸν ἀσθενέστερον.—*Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι.*] Τὴν μαρτυρίαν φέρει, δεικνὺς, ὅτι συνῆφθαι δεῖ τοὺς ἐξ Ἰουδαίων τοῖς ἔθνεσιν.—ΑΛΛΩΣ Τὸ δὲ, *Ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε*, ἐκ προσώπου τοῦ Χριστοῦ εἴρηται, ἀντὶ τοῦ· Κηρύξω σε, ὦ πάτερ, ἐν τοῖς ἔθνεσι.—*Καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν.*] Τὸ, *Καὶ*, παρέλκεται, ἵνα ᾖ· Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί. Ποία αὕτη; *Ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν*, τουτέστιν, ὁ Χριστός.

13 Ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου.
14 Πέπεισμαι δὲ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.

Πάλιν εἰς εὐχὴν ἦλθε· λέγει δέ· Ὁ θεὸς ἀπαλλάξαι ὑμᾶς τῆς πρὸς ἀλλήλους μάχης, καὶ τῆς ἔνθεν ἀθυμίας. *Ὁ θεὸς τῆς ἐλπίδος.*] Ἐλπίδος ἐστί, φησι, θεὸς, ὁ θεὸς ἡμῶν. Ὥστε καλῶς ἐπεύχομαι ὑμῖν. Ἐλπίζω γὰρ ἐνεργῆσαι τὴν εὐχὴν, ἂν αὐτοὶ μόνον βούλοισθε. Ἐν δὲ τῷ πιστεύειν, χαρᾶς καὶ εἰρήνης, τῆς κατὰ τοὺς λογισμοὺς, πληρούμενοι, (ὅπερ ὑμῶν ὑπερεύχομαι,) ἐστὲ καὶ ἐν τῇ ἐλπίδι περισσεύοντες, οἷον πλουτοῦντες, καὶ δαψιλῶς διακείμενοι. Ταῦτα δὲ διὰ τῆς χάριτος καὶ δυνάμεως τοῦ παναγίου παραγίνεται πνεύματος.—ΑΛΛΩΣ. Εὔχεται αὐτοῖς, ἵνα πληρωθῶσι πάσης χαρᾶς οἱ ἐξ Ἰουδαίων· (οὗτοι γὰρ θύμουν ἐπιπληττόμενοι·) καὶ εἰρήνης, οἱ ἐξ ἐθνῶν· (οὗτοι γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἐδόκουν ἀπεχθῶς ἔχειν πρὸς τοὺς ἔτι τοῦ νόμου ἀντεχομένους·) μᾶλλον δὲ ἀμφότεροι ἀμφοτέρων.—*Ἐν τῷ πιστεύειν.*] Τοῦτο γὰρ παρ' ἡμῶν εἰσενεκτέον, τὴν πίστιν. Ἐκ δὴ τούτου ἔσται ἡμῖν τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, ἡ εἰς θεὸν ἐλπὶς, ἣν μεθ' ὑπερβολῆς ἐπεύχεται· *Εἰς τὸ περισσεύειν* γάρ, φησιν· ὅπερ οὐκ ἄλλως ἔσται, εἰ μὴ τῇ δυνάμει τοῦ πνεύματος. Ὁ τοίνυν τὸ πνεῦμα ἔχων, τὰ πάντα ἔχει. *Πέπεισμαι δέ.*] Οὐ δέομαί, φησι, μαθεῖν παρ' ἑτέρων· ἀλλὰ πεπληροφόρημαι. *Μεστοί ἐστε ἀγαθωσύνης.*] *Ἀγαθωσύνην* καλεῖ, τὴν ἀπηρτισμένην ἀρετήν. Τὸ δὲ, *μεστοὶ*, ἐπιτάσεώς ἐστι ῥῆμα. *Πεπληρωμένοι πάσης γνώσεως.*] Τί γὰρ ὄφελος, ὅτι φιλάδελφός ἐστί τις, μὴ δυνάμενος δὲ εἰς δέον τῇ ἀγάπῃ χρήσασθαι; Διὰ τοῦτό φησι, *πάσης γνώσεως. Δυνάμενοι καὶ ἄλλους νουθετεῖν.*] Οὐ μόνον οὐ δεῖσθε παραινέσεως, ἀλλὰ καὶ ἄλλους διδάσκετε.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς λειτουργίας αὐτοῦ τοῦ Παύλου, τῆς ἐν ἀνατολῇ καὶ δύσει.

15 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοὶ, ἀπὸ μέρους,
ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν, τὴν δοθεῖ-
16 σάν μοι ὑπὸ τοῦ θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν
Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγ-
γέλιον τοῦ θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν
ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.

Τολμηρότερον ἀπὸ μέρους.] Ἀντὶ τοῦ, τρόπον τινὰ, καὶ εἴ τις μὴ τὴν διάνοιαν ὅλην βλέπει, ἀλλ' αὐτὰς τὰς λέξεις ἐκ μέρους πολυπραγμονεῖ, γυμνώσας τῆς διανοίας. Εἴτις οὖν ἐκ μέρους σκοπεῖ, δόξει ἂν αὐτῷ, σκληρότερόν με καὶ τραχύτερον ὑμῖν προσενεχθῆναι διὰ τῶν γραμμάτων· ἀλλ' ἐγὼ, ὡς *ἐπαναμιμνήσκων* ἔγραψα. Καὶ πάλιν, Ἀνάγκην εἶχον τοῦ γράφειν·

Ανώνυμα Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι χάρισμά μοι ἀπὸ θεοῦ ἐδόθη, εἰς τὸ κηρύσσειν καὶ διδάσκειν τὰ ἔθνη· *λειτουργὸς* γάρ εἰμι Χριστοῦ, οἷον ὑπουργὸς καὶ ὑπηρέτης. Καὶ τί ἐργάζῃ; *Ἱερουργῶ*, φησι, *τὸ εὐαγγέλιον* αὐτοῦ, τουτέστι, θυσίαν αὐτῷ ταύτην θύω, τὸ εὐαγγέλιον αὐτοῦ. Καὶ πῶς ἐστὶ θύειν καὶ ἱερουργεῖν τὸ εὐαγγέλιον; Ἐκ τοῦ προσφέρειν αὐτῷ, φησὶ, τὰ δι' αὐτοῦ πιστεύοντα ἔθνη, καὶ γίνεσθαι αὐτὰ εὐσπρόδεκτα καὶ ἡγιασμένα ἐν πνεύματι ἁγίῳ. Ὥστε ὁ προσάγων τῇ πίστει, τὸ εὐαγγέλιον τοῦ θεοῦ ἱερουργεῖ. Ἢ τὸ, *Ἱερουργοῦντα*, ἀκουστέον ἁπλούστερον, οἷον, ἱερῶς ἐργαζόμενον καὶ σπουδαίως, ἀλλὰ μὴ ὡς ἔτυχε καὶ ἠμελημένως. Ἢ οὖν οὕτως· ἢ μᾶλλον οὕτως ἐκληπτέον· Τολμηρότερον ἔγραψα ἐκ μέρους ὑμῖν, καὶ ὡς ἐπαναμιμνήσκων γράψας· ἡ γὰρ ἐπικειμένη μοι ἀνάγκη, καὶ σφοδρότερον καὶ ἀκριβέστερον γράφειν ἀπαιτεῖ· ἐγὼ δὲ ἐτόλμησα καὶ τῆς ἀκριβείας καθυφεῖναι, καὶ οὐχ ὡς διδάσκαλος γράφειν, ἀλλὰ μετὰ πολλῆς φειδοῦς, καὶ ὡς ἐπαναμιμνήσκων, καίτοι χρεωςῶν ἀκριβέςερον καὶ σφοδρότερον τοῦτο ποιῆσαι· εἰς τοῦτο γὰρ ὑπὸ τῆς χάριτος προκεχείρισμαι, καὶ ἐν τούτῳ ὑπουργεῖν καὶ δουλεύειν τέταγμαι. Ὡς ἂν εἴτις ἔλεγεν· Ἴσως ἐν οἷς ἔγραψα καθηψάμην ὑμῶν, καὶ ἔδοξά τισιν ὑμῶν σκληρότερον ὑμῖν προσενεχθῆναι· ἐγὼ δὲ τοσούτῳ δέω τοῦτο ποιῆσαι, ὅτι καὶ φοβοῦμαι μή πως οὕτω μετὰ πολλῆς φειδοῦς καὶ ὑποστολῆς γράψας, καὶ εὐθύνας ὑφέξω, ὡς τολμήσας ἔλαττον ἔργον διδασκάλου ποιῆσαι· καὶ γὰρ μείζονα γράφειν καὶ πλείω, ὡς τὸ διδάσκειν ἐμπεπιστευμένος, χρεωςῶ· νῦν δὲ, ὡς φειδόμενος, καὶ ὡς τολμηρόν τι πράττων, οὕτως ὑφειμένως ἔγραψα. —ΑΛΛΩΣ. Ἐν ἀξιώματι ἦσαν οἱ Ῥωμαῖοι, καὶ πολλὴν εἶχον φλεγμονήν· διὸ θεραπεύει αὐτοὺς ἐν τῷ λέγειν, *ἐτόλμησα*· πάνυ γὰρ κατακλᾷ τούτους διὰ τούτου τοῦ ῥήματος. Καὶ οὐδὲ τούτῳ ἀρκεῖται· ἀλλὰ προσέθηκεν, *Ἀπὸ μέρους*, τουτέστιν, ἡρέμα καὶ διὰ βραχέων· καὶ οὐχ ὡς διδάσκων, ἀλλ' ὡς ἐπαναμιμνήσκων.—*Ἀδελφοί.*] Εἶδει γὰρ αὐτοὺς κατασκωφθέντας ἱκανῶς καὶ λεᾶναι. *Ὡς ἐπα-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναμιμνήσκων.] Ἠρέμα, φησί. Πῶς; Ὡσανεὶ *ἐπαναμνήσας*, τουτέστι, μικρὸν ἀναμνήσας. Ἡ δὲ τοιαύτη σημασία τῶν λέξεων κολάζει τὸ μὴ καθόλου αὐτοὺς ἀναμεμνῆσθαι. Ὅθεν οὔ φησι, *διδάσκων*, ἀλλ', *ἀναμιμνήσκων*. *Διὰ τὴν χάριν, τὴν δοθεῖσάν μοι.*] Οὐκ ἐμὸς ὁ πόνος, φησὶν, ἀλλὰ χάρις ἐστὶ θεοῦ. Δείκνυσι δὲ, ὅτι οὐδὲ ἀναμνῆσαι ἂν ἐτόλμησεν, εἰ μὴ τὰ ἔθνη ἐπεπίστευτο· πολλὰ δὲ μετριάζει. *Εἰς τὰ ἔθνη, ἱερουργοῦντα.*] Οὐκοῦν καὶ παρ' ὑμῶν δικαίως ἂν ἀκουσθείην. *Εὐπρόσδεκτος.*] Τοιγαροῦν ἐμπιστευθεὶς ταύτην τὴν λειτουργίαν καὶ ἱερουργίαν, σπουδὴν ἔχω εἰς ἔργον ἀγαγεῖν τὴν βουλὴν τοῦ θεοῦ· ἡ δέ ἐστιν, εὐσπρόσδεκτον ὑμῶν γενέσθαι τὴν προσφοράν.—ΚΑΙ ΑΛΛΩΣ. Οὐχ ἵνα ἐγὼ δοξασθῶ, διὰ τοῦτο καὶ ὑμῖν ἔγραψα· ἀλλ' ἵνα καὶ ὑμεῖς μετὰ τῶν ἄλλων ἐθνῶν σωθῆτε· καὶ οὕτω γένηται ἡ προσφορὰ τῶν ἐθνῶν ὁλοκλήρως εὐπρόσδεκτος, ὡς πάντων καρποφορουμένων τῷ θεῷ.—*Ἐν πνεύματι ἁγίῳ.*] Πῶς δ' ἂν ἔσεσθε εὐπρόσδεκτοι καὶ ἡγιασμένοι; Εἰ ἔχετέ, φησι, τὸ πνεῦμα. Πῶς δὲ τοῦτο παραγίνεται; Διὰ βίου ἀλήπτου· ὡς οἵγε μὴ ὀρθῶς βιοῦντες, διώκουσι τὸ ἅγιον Πνεῦμα ἀφ' ἑαυτῶν.

17 Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν
18 θεόν· οὐ γὰρ τολμήσω λαλεῖν τι, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ
19 καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος θεοῦ· ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ, μέχρι τοῦ Ἰλλυρικοῦ, πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ·

Καυχῶμαι τοιγαροῦν οὐκ ἐν ἐμαυτῷ, οὐδὲ ἐν σπουδῇ ἐμῇ, ἀλλ' ἐν Χριστῷ, ἐν τοῖς πράγμασι τοῖς ἀνήκουσι καὶ διαφέρουσι τῷ πατρί. Ἆρα ἡ εἰς Χριστὸν πίστις τῷ πατρὶ διαφέρει. Πρῶτα μὲν γὰρ μετριάσας εἰς τὸ λέγειν· *Τολμηρότερον δὲ ἔγραψα*· νῦν ἐπαίρει ἑαυτὸν, πλὴν ἐν Χριστῷ Ἰησοῦ.—ΑΛΛΩΣ. Τί οὖν; οὐ ἐνεπιστεύθης τὴν τῶν ἐθνῶν προσφοράν; Ναί, φησι· καὶ καυ-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

χήσασθαι δύναμαι ἐν οἷς εἰργασάμην ἐν αὐτοῖς. Ἡ δὲ καύχησίς μου, οὐκ ἐν ἐμοὶ, τουτέστιν, οὐκ ἐν τῇ ἰσχύϊ ἢ τῇ δυνάμει τῇ ἐμῇ, ἀλλ' *ἐν Χριστῷ Ἰησοῦ*. Καὶ γὰρ εἴ τι ἂν εἴπω καὶ καυχήσωμαι, οὐδὲν ἄλλο τολμήσω λέγειν, ἀλλ' ἢ ἅπερ ὁ Χριστὸς ἐν ἐμοὶ κατειργάσατο, εἰς τὸ ὑπακοῦσαι καὶ πιστεῦσαι τὰ ἔθνη. Τί οὖν κατειργάσατο; Λόγον εἰς τὸ κηρύττειν ἔδωκε, σημεῖα καὶ τέρατα εἰς τὸ εὐεργετεῖν καὶ πείθειν ἐχορήγησε. Τέλος, οὕτως ηὔξησε, καὶ ἐπλάτυνε, καὶ ἐστήριξε τὴν δι' ἐμοῦ κηρυττομένην πίστιν, ὥστε ἀπὸ Ἱερουσαλὴμ, ἐξ ἧς τὴν πρώτην ἤνεγκε βλάστην, καὶ πέριξ, μέχρι τοῦ Ἰλλυρικοῦ διαριζωθῆναι καὶ διαφυῆναι, καὶ πληρῶσαι τὸ κήρυγμα τὴν τοσαύτην οἰκουμένην. Οὐκοῦν καλῶς καὶ ὑμῖν ἔγραψα καὶ ὑπέμνησα τῶν ἐν ἐκείνοις κατορθωθέντων, θαρρεῖν καὶ περὶ ὑμᾶς ὑποτιθεμένων καὶ τὴν ἐξουσίαν καὶ ἄδειαν τοῦ νουθετεῖν μετὰ τοῦ πνεύματος ἐγγυωμένων.—*Οὐ γὰρ τολμήσω λαλεῖν τι.*] Ἐπειδὴ εἶπεν, *Ἔχω καύχησιν*, προστίθησιν, ὅτι οὐ κόμπος ῥημάτων τὰ εἰρημένα· οὐδὲ γὰρ εἰπεῖν τι τολμῶ τῶν μὴ παρὰ Χριστοῦ μοι παρασχεθέντων εἰς τὴν τῶν ἐθνῶν ἱερουργίαν, καὶ ἵνα μου τὰ ἔθνη ὑπακούσῃ· ἀλλὰ καὶ σημείων ποιήσεις, καὶ τεράτων ἐπιδείξεις μοι παρεσχέθησαν. Ἀνάγει γὰρ λοιπὸν ἑαυτὸν, ἐπειδὴ σφόδρα ἐν τοῖς ἄνω ἐταπείνωσεν ἑαυτὸν, εἰπὼν, *Τολμηρότερον ἔγραψα ὑμῖν*, ἵνα μὴ, ὡς εὐτελοῦς, ἀπόβλητος ὁ λόγος γένηται. *Ὧν οὐ κατειργάσατο Χριστὸς δι ἐμοῦ.*] Δείκνυσιν, ὅτι οὐδὲν ἦν αὐτοῦ, ἀλλὰ τὸ πᾶν Χριστοῦ. *Ἐν δυνάμει πνεύματος θεοῦ.*] Τὸ ἀξίωμα λέγει τοῦ ἁγίου Πνεύματος. Ὅτι ταῦτα πεποίηκά, φησι, ἦγουν τέρατα καὶ σημεῖα, τῇ δυνάμει αὐτοῦ. *Ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ.*] Λοιπὸν ἡ ἀπόδειξις τῶν εἰρημένων, τῶν μαθητῶν τὸ πλῆθος. Ἵνα δὲ μὴ τὴν κατ' εὐθεῖαν ὁδὸν ἐνθυμηθῇς, διὰ τοῦτο εἶπε, *κύκλῳ*, τουτέστι, πάντα τὰ πέριξ. Καὶ οὐκ εἶπε, *κεκηρύξαι*, ἀλλ', ὃ μεῖζον ἦν, *πεπληρωκέναι*. *Ἰλλυρικὸν* δέ ἐστι, τὰ ἔσχατα τῆς νῦν ὀνομαζομένης Βουλγαρίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

20 Οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου
ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον
21 οἰκοδομῶ· ἀλλὰ, καθὼς γέγραπται· « Οἷς οὐκ
ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόα-
22 σι, συνήσουσι (α). » Διὸ καὶ ἐνεκοπτόμην τὰ πολ-
23 λὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Νυνὶ δὲ μηκέτι τόπον
ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων
24 τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν· ὡς ἐὰν
πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς
ὑμᾶς. Ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι
ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν
πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.

Φιλοτιμία δέ μοι, φησίν, ἦγουν, δόξα, ἦν ἐκεῖ εὐαγγελίζεσθαι, ἔνθα οὔπω ἦν ὀνομασθεὶς ὁ Χριστός. Τί δή ποτε; *Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ. Οὐχ ὅπου ὠνομάσθη Χριστός.*] Οὐχ ὡς ἀπευχόμενος τῶν λοιπῶν ἀποστόλων τὴν κοινωνίαν· ἀλλ' ὡς πλεονεκτικὸν καὶ ἄδικον κρίνων, τὴν τῶν ἀλλοτρίων ἔργων δόξαν ὑφαρπάζειν. *Ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ.*] *Ἀλλότριον θεμέλιον* φησὶ τὴν τῶν ἄλλων κηρύκων διδαχήν. *Ἀλλότριον* δὲ, οὐ διὰ τὸ ἀλλοῖον τοῦ κηρύγματος, ἀλλὰ κατὰ τὸν τοῦ μισθοῦ λόγον καὶ τοῦ καμάτου. *Ἀλλὰ, καθὼς γέγραπται.*] Δείκνυσιν, ὅτι τοῦτο ποιῶν, καὶ προφητείαν ἐπλήρου. *Διὸ καὶ ἐνεκοπτόμην.*] Τοῦ ἐν ἀρχῇ αὐτῷ εἰρημένου· « Ὅτι πολλάκις προεθέμην, ἐλθεῖν πρὸς ὑμᾶς (β)· » νῦν τὴν αἰτίαν ἀποδίδωσιν· ὅτι, φησὶν, ἡ πρὸς τὰ ἔθνη διδασκαλία ἐκώλυσέ με. *Τὰ πολλά.*] Οἷον, πολλάκις· τουτέστι, πολλάκις ἐπιχειρῶν καὶ ἐπιθυμῶν, ὅμως ἐνεκοπτόμην ἀεί. *Μηκέτι τόπον ἔχων.*] Ὁρᾷς, ὅτι οὐ τῆς αὐτοῦ δόξης ἐφιέμενος ἔγραψεν, οὐδὲ, ὡς ἂν εἴποι τις, κολακεύων αὐτοὺς, ὡς δυνάστας; Καὶ γὰρ μονονουχὶ τοῦτο γράφει· Ἐπειδὴ τὸ ἔργον πεπλήρωκα, οὐδὲν ἔχων ἔτι ποιῆσαι, θέλω ἐλθεῖν πρὸς ὑμᾶς. Ἐπιπο-

(α) Ἡσ. ΝΒ', 15. (β) Ῥωμ. Α', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαι· δὲ ἔχων.] Ἵνα μὴ δόξῃ ἐξευτελίζειν αὐτοὺς γράφων· Ὅτι μηδὲν ἔχων ποιῆσαι, ἔρχομαι πρὸς ὑμᾶς· ἐπάγει, *Ἐπιποθίαν ἔχων πρὸ πολλῶν ἐτῶν, τὴν ἐπιθυμίαν ταύτην σπεύδω πληρῶσαι. Ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν.*] Ἵνα μὴ πάλιν νομισθῇ κατὰ κολακείαν εἰρηκέναι τὸ, *Ἐπιποθίαν ἔχων ἀπὸ πολλῶν ἐτῶν*, κολάζει τὸ εἰρημένον, λέγων· ὅτι διὰ τοῦτο μάλιστα ἐλθεῖν θέλω, ἵνα εἰς τὴν Σπανίαν ἀπέλθω. *Ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ.*] Εἶτα, ἢ νὰ μὴ λέγωσιν· Ὁδοῦ πάρεργον ἡμᾶς ποιῇ· ἐπάγει τὸ, *ὑφ' ὑμῶν προπεμφθῆναι*, ἵνα πάλιν τὴν ἀγάπην ἐνδείξηται. Ἀλλ' ἐπειδὴ οὐκ ἦν ἀξιόχρεων τοῦτο, προστίθησι τὸ, *ἐμπλησθῶ*, ὅπερ πατρὸς ἦν μᾶλλον, ἢ διδασκάλου. *Ἀπὸ μέρους ἐμπλησθῶ.*] Οἷον, ἐν μέρει. Οὐδεὶς γὰρ χρόνος τελείως ἐμπλῆσαί με δύναται τῆς ὑμῶν ἀγάπης, οὐδὲ ἐμποιῆσαί μοι κόρον τῆς ὑμῶν ὁμιλίας· ἀλλ' ἀγαπητόν ἐστί μοι, ἵνα κἂν μερικῶς ἐμπλησθῶ.

25 Νυνὶ δὲ πορεύομαι εἰς Ἰερουσαλὴμ, διακονῶν
26 τοῖς ἁγίοις. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν
27 ἁγίων, τῶν ἐν Ἰερουσαλήμ. Εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσίν. Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς
28 σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. Τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦ-
29 τον, ἀπελεύσομαι δι' ὑμῶν εἰς τὴν Σπανίαν. Οἶδα δὲ, ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐλεύσομαι.

Ἐπειδὴ εἶπε· Μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἔρχομαι πρὸς ὑμᾶς· ἔμελλε δὲ ἔτι βραδύνειν· ἵνα μὴ χλευασθαι νομίσωσι, λέγει τὴν αἰτίαν τῆς ἔτι μελλήσεως. *Διακονῶν τοῖς ἁγίοις.*] Εἰ Παῦλος διάκονος, ἐννόησον τὸ μέγιστον τοῦ πράγματος! *Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα.*] Οὐ μόνον τὴν αἰτίαν θέλει εἰπεῖν τῆς ἔτι μελλήσεως· ἀλλὰ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προτρέψασθαι αὐτούς, ὁμοίως τοῖς ἄλλοις πέμψαι τοῖς ἐν Ἱερουσαλήμ· τοῦτο γὰρ βούλεται αὐτῷ τὸ εἰπεῖν καὶ τοὺς πέμποντας. *Εὐδόκησαν*, ἀντὶ τοῦ, ἐβουλεύθησαν· τουτέστιν, οἱ ἐν Μακεδονίᾳ, ὁμοίως καὶ οἱ ἐν Ἀχαΐᾳ, ἠθέλησαν ποιῆσαι ἐλεημοσύνην. *Κοινωνίαν τινά.*] *Κοινωνίαν* δὲ καλεῖ τὴν ἐλεημοσύνην· καθὸ αὐτοὶ μὲν χρήματα πέμπουσιν· οἱ δὲ ἅγιοι τὴν πρὸς θεὸν παρρησίαν συνεισφέρουσι. *Τινὰ* δὲ εἶπεν, ἀντὶ τοῦ, μικράν. *Εἰς τοὺς πτωχοὺς τῶν ἁγίων.*] Τῶν πιστῶν. Διπλὴ δὲ ἡ τῆς ἐπιδόσεως ἀνάγκη, διά τε τὴν πενίαν, καὶ διὰ τὴν ἀρετήν. *Καὶ ὀφειλέται αὐτῶν εἰσίν.*] Διατὶ δὲ τοῦτο ποιεῖν ἐβουλεύσαντο; Ἴσασι, φησί, χρεωστοῦντες τοῦτο. Οὐκ ἄρα κατὰ ἐλεημοσύνην, ἀλλὰ κατὰ χρέος πέμπουσιν. *Εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν.*] Λοιπὸν λέγει, πῶς εἰσὶν αὐτῶν ὀφειλέται· δι' αὐτούς, φησί, μάλιστα ἦλθεν ὁ Χριστός. Περὶ γὰρ τῶν ἐκ περιτομῆς πιστῶν ὁ λόγος αὐτῷ, καὶ αὐτῶν ἦν τὰ ἀγαθὰ καὶ αἱ ἐπαγγελίαι. Ὥσπερ οὖν τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησε τὰ ἔθνη, οὕτω χρὴ αὐτοὺς καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. Οὐκέτι δὲ λέγει, *κοινωνῆσαι*, ἀλλὰ, *λειτουργῆσαι*, ἐν τάξει διακόνων αὐτοὺς τιθείς, τοῖς ἁγίοις φόρους τελούντων, ὡς βασιλεῦσι. *Καὶ σφραγισάμενος αὐτοῖς.*] Ὡς ἐν ἀσύλῳ τόπῳ καὶ ἀσφαλεῖ μέλλων ἀποτίθεσθαι· (καὶ γὰρ ἐν οὐρανοῖς ἔμελλεν ἀποτίθεσθαι·) φησὶ, *καὶ σφραγισάμενος. Τὸν καρπὸν τοῦτον.*] *Καρπὸν* καλεῖ τὴν ἐλεημοσύνην, δεικνὺς κερδαίνοντα μᾶλλον τὸν παρέχοντα. *Εἰς τὴν Σπανίαν.*] Πάλιν τῆς Σπανίας μέμνηται, δεικνὺς τὸ πρὸς τοὺς Σπανίους φίλτρον. *Ἐν πληρώματι, καὶ τὰ ἑξῆς.*] Τουτέστιν· Οἶδα, ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, κομῶντας ὑμᾶς τοῖς ἀγαθοῖς εὑρήσω· τὸ γάρ· *Ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου*, τὸ πάντων ἐντὸς εἶναι τῶν ἀγαθῶν αὐτοὺς σημαίνει.—Ἢ ΟΥΤΩΣ· Οἶδα, ὅτι ἐρχόμενος, πρὸς τὸ πληρῶσαι ὑμᾶς τῆς ἐκ τοῦ εὐαγγελίου εὐλογίας ἐλεύσομαι, ὅτι πρὸς ἀρετὴν καὶ πίστιν ἀλείψω.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

30 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος,
συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ
31 πρὸς τὸν θεόν· ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων
ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου, ἡ εἰς Ἰε-
32 ρουσαλὴμ, εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις· ἵνα
ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος θεοῦ, καὶ
33 συναναπαύσωμαι ὑμῖν. Ὁ δὲ θεὸς τῆς εἰρήνης μετὰ
πάντων ὑμῶν. Ἀμήν.

Ὡς μὴ αὐτὸς ὢν ἀξιόχρεως πρὸς τὸ πεῖσαι, *Διὰ τοῦ Χριστοῦ*, φησὶν, ὑμᾶς καὶ διὰ τοῦ ἁγίου Πνεύματος παρακαλῶ. Ὅρα δὲ, ὅτι Υἱοῦ καὶ Πνεύματος ἐμνήσθη, οὐκέτι δὲ καὶ τοῦ Πατρός· τοῦτο δὲ εἴρηται, ἵνα, ὅταν πατρὸς καὶ υἱοῦ μόνου μέμνηται, μὴ θορυβηθῇς, διὰ τί μὴ καὶ τοῦ πνεύματος ἐμνήσθη. Διαφόρως γὰρ τὴν ἁγίαν τίθησι Τριάδα. *Συναγωνίσασθαί μοι.*] Μεγίστη ταπεινοφροσύνη, ὅτι λέγει τῆς τούτων δεῖσθαι εὐχῆς. *Ἵνα ῥυσθῶ.*] Οὐκ εἶπεν· Ἵνα συμπλακῶ καὶ νικήσω αὐτούς· ἀλλὰ, *Ἵνα ῥυσθῶ*, θεῖον νόμον πληρῶν, ὃς φησιν· Εὔχεσθε, μὴ ἐμπεσεῖν εἰς πειρασμόν (α). *Ἀπὸ τῶν ἀπειθούντων.*] Σημαίνει πονηρούς τινας, καὶ λύκους μᾶλλον ἢ ἀνθρώπους, ἐπιθησομένους αὐτῷ. *Εὐπρόσδεκτος γένηται.*] Καὶ ἵνα, φησὶν, ἡ θυσία μου εὐπρόσδεκτος γένηται παρὰ θεῷ, καὶ ἵνα καὶ αὐτοὶ μετὰ προθυμίας καὶ εὐχαριστίας δέξωνται τὰ ἀπ' ἐμοῦ. *Ἵνα ἐν χαρᾷ ἔλθω.*] Εἰ γὰρ ῥυσθῶ, φησὶν, ἀπὸ τῶν ἀπειθούντων, καὶ ἡ διακονία μου εὐπρόσδεκτος γένηται, ἐν χαρᾷ, καὶ οὐκ ἐν ἀθυμίᾳ, ἐλεύσομαι. *Διὰ θελήματος θεοῦ.*] Ὁ ἐξ ἀρχῆς εἶπε, καὶ νῦν λέγει· « Εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ, ἐλθεῖν πρὸς ὑμᾶς (β).» *Καὶ συναναπαύσωμαι ὑμῖν.*] Ὁρᾷς αὐτοῦ τὸ ἄτυφον; Οὐ γὰρ εἶπε· Διδάξω ὑμᾶς ἢ κατηχήσω· ἀλλὰ, *συναναπαύσωμαι*, τουτέστιν, ὑμεῖς ἐμοὶ διὰ τὴν διδασκαλίαν, κἀγὼ ὑμῖν διὰ τὴν τῆς πίστεως ἐπίδοσιν,

(α) Ματθ. ΚΣ', 41 (β) Ῥωμ. Α', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕπερ καὶ κατ' ἀρχὰς ἔλεγε· « Τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως (α)». *Ὁ δὲ θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν.*] Τοῦτο πανταχοῦ ἔθος αὐτῷ, εὐχὴν τιθέναι μετὰ τὴν παραίνεσιν.

ΚΕΦ, XVI, 1 Συνίστημι δὲ ὑμῖν Φοίβην, τὴν ἀδελ-
φὴν ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν
2 Κεγχρεαῖς· ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως
τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ, ἐν ᾧ ἂν ὑμῶν
χρήζῃ πράγματι· καὶ γὰρ αὕτη προστάτις πολλῶν
3 ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. Ἀσπάσασθε Πρίσκιλλαν
καὶ Ἀκύλαν, τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰη-
4 σοῦ· (οἵ τινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν
τράχηλον ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ,
ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν·) καὶ τὴν
κατ' οἶκον αὐτῶν ἐκκλησίαν.

Ὅρα, διὰ πόσων τὴν Φοίβην σεμνύνει! Ἐπειδὴ αὕτη ἦν διακομίζουσα τὴν ἐπιστολήν, συνιστᾷ αὐτὴν αὐτοῖς. Σεμνύνει δὲ ταύτην, τῷ πρώτης αὐτῆς μεμνῆσθαι, καὶ τῷ ἀδελφὴν καλέσαι. Τί δὲ ἴσον τοῦ εἶναι τοῦ Παύλου ἀδελφήν; *Προσδέξησθε ἐν Κυρίῳ.*] Ἤ, διὰ τὸν Κύριον, ἤ, κατὰ Κύριον· καὶ, *ἀξίως τῶν ἁγίων*· ὃν τρόπον, φησί, πρέπει ἁγίους ὑποδέχεσθαι. Διπλὴν δέδωκεν αὐτῇ θεραπείας ἀφορμήν, καὶ τὸ διὰ τὸν Κύριον αὐτὴν ὑποδεχθῆναι, καὶ τὸ εἶναι αὐτὴν ἁγίαν. *Καὶ παραστῆτε αὐτῇ.*] Ὁρᾷς τὸ ἀνεπαχθές; Οὐκ εἶπεν· Ἵνα ἀπαλλάξητε αὐτὴν ἐκ τῶν ἐπικειμένων· ἀλλὰ, *Ἵνα παραστῆτε*, τουτέστι, τὰ παρ' ὑμῶν εἰσενέγκητε, καὶ χεῖρα ὀρέξητε. *Προστάτις πολλῶν.*] Μέγας ὁ ἔπαινος, καὶ ἱκανὸς αὐτοὺς προτρέψασθαι. *Καὶ αὐτοῦ ἐμοῦ.*] Τὸ μέγιστον ἐγκώμιον, τελευταῖον τέθεικε. Μακαρία γὰρ ὄντως ἡ δυνηθεῖσα προστῆναι καὶ ἀναπαῦσαι τὴν ἁγίαν ψυχὴν Παύλου! *Αὐτοῦ ἐμοῦ*, τουτέστι, τοῦ ἀποστόλου, τοῦ κήρυκος, τοῦ διδασκάλου τῆς οἰκουμένης. *Ἀσπάσασθε Πρί-*

(α) Ῥωμ. Δ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

σκιλλαν καὶ Ἀκύλαν, τοὺς συνεργούς μου.] Συνήργησάν μοί, φησιν, ἐν διδαχῇ, ἐν πειρασμοῖς, ἐν κινδύνοις. Μέγας δὲ ὁ ἔπαινος. Τινὲς δὲ, *συνεργοὺς* τούτους, ὡς σκηνοποιοὺς καὶ αὐτοὺς ὄντας (α), ἐνόησαν. *Ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν.*] Ἡ διὰ τὴν διδασκαλίαν, ἢ διὰ τὴν ἐκ τῶν χρημάτων εἰς αὐτοὺς συνεισφοράν. *Καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν.*] Οὕτω δὲ ἦσαν οὗτοι εὐδόκιμοι, ὥστε καὶ τὸν οἶκον αὐτῶν ἐκκλησίαν ἐποίησαν· ἢ ὅτι πανοικὶ ἦσαν πιστοί, ὡς τὸν οἶκον λοιπὸν ἐκκλησίαν εἶναι.

5 Ἀσπάσασθε Ἐπαίνετον, τὸν ἀγαπητόν μου, ὅς
6 ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν. Ἀσπάσασθε
7 Μαριὰμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. Ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν, τοὺς συγγενεῖς μου καὶ συναιχμαλώτους μου· οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν
8 Χριστῷ. Ἀσπάσασθε Ἀμπλίαν, τὸν ἀγαπητόν μου
9 ἐν Κυρίῳ. Ἀσπάσασθε Οὐρβανὸν, τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν, τὸν ἀγαπητόν μου.
10 Ἀσπάσασθε Ἀπελλῆν, τὸν δόκιμον ἐν Χριστῷ.
11 Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. Ἀσπάσασθε Ἡρωδίωνα, τὸν συγγενῆ μου. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ.
12 Ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν, τὰς κοπιώσας ἐν Κυρίῳ. Ἀσπάσασθε Περσίδα, τὴν ἀγαπητήν·
13 ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ. Ἀσπάσασθε Ῥοῦφον, τὸν ἐκλετὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα
14 αὐτοῦ καὶ ἐμοῦ. Ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν
15 αὐτοῖς ἀδελφούς. Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν,
16 καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ.

Μέγα τὸ εἶναι Παύλου ἀγαπητὸν, τοῦ κρίσει, καὶ οὐ πρὸς

(α) Πραξ. ιη', 2. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάριν φιλεῖν εἰδότος. *Ἀπαρχὴν* δὲ τὸν Ἐπαίνετον λέγει, ἢ ὅτι πρῶτος ἐπίστευσεν, ἀρχὴ καὶ εἴσοδος εἰς τὴν πίστιν γενόμενος ὅλῳ τῷ ἔθνει· ἢ ὅτι πλείονα πάντων εὐλάβειαν ἐπεδείκνυτο. Ἵνα δὲ μὴ νομίσῃς, ὅτι ἐν κοσμικοῖς ἦν πράγμασιν ἀπαρχὴ, προστίθησιν, *εἰς Χριστόν. Πολλὰ ἐκοπίασεν.*] Δείκνυσιν, ὅτι μετὰ τῆς διδασκαλίας, καὶ ἕτερα κέκμηκεν εἰς αὐτοὺς ἡ Μαριάμ. *Εἰς ἡμᾶς.*] Οὐ μόνον, φησὶν, εἰς ἑαυτὴν ἐκοπίασεν, ἵνα σωθῇ, ἀλλὰ καὶ *εἰς ἡμᾶς*, ἀποστόλου τάξιν πληροῦσα καὶ εὐαγγελιστοῦ. Πῶς οὖν εἶπε· « Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω (α);» Τῆς ἐν τῷ μέσῳ καὶ κοινῷ προεδρίας αὐτὴν κωλύων, καὶ τῆς ἐν βήματι καθέδρας, οὐ τῆς τοῦ λόγου διδασκαλίας. *Καὶ συναιχμαλώτους μου.*] Μεῖζον τὸ ἐγκώμιον, τὸ, *συναιχμαλώτους μου*· χαλεπώτερα γὰρ αἰχμαλώτων ἔπασχον, διωκόμενοι, ὑβριζόμενοι, ἀδικούμενοι. *Ἐπίσημοι.*] Μέγα μὲν καὶ τὸ εἶναι ἀποστόλους· τὸ δὲ καὶ ἐπισήμους εἶναι ἐν αὐτοῖς, μέγιστον. *Οἳ καὶ πρὸ ἐμοῦ.*] Ὅρα τὴν ἁγίαν ψυχήν! Οὐκ ἐπαισχύνεται λέγων, ὅτι Πρὸ ἐμοῦ ἐπίστευσαν οὗτοι τῷ Χριστῷ. *Τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ.*] Μέγας ὁ ἔπαινος τὸ εἶναι τὸν *Οὐρβανὸν συνεργόν*· τοῦτο δὲ μεῖζον, ὅτι συνήργει ἐν τῇ διδασκαλίᾳ. *Ἀπελλῆν, τὸν δόκιμον.*] Οἷον, τὸν ἀνεπίληπτον. *Τοὺς ἐκ τῶν Ἀριστοβούλου.*] Ἴσως οὐκ ἦσαν ὡς οἱ πρῶτοι· διὸ οὐδὲ ὀνομαστὶ αὐτῶν ἐμνήσθη. *Τοὺς ὄντας ἐν Κυρίῳ.*] Ἴσος πᾶσιν ὁ ἔπαινος, ὅτι ἐν Κυρίῳ ἦσαν, ὅ ἐστι πιστοί. *Τὰς κοπιώσας ἐν Κυρίῳ.*] Περὶ μὲν τῆς Μαρίας ἄνω ἔλεγεν, *Ἥ τις πολλὰ ἐκοπίασε*· ταύτας δὲ, ἔτι κοπιώσας λέγει· διὸ μεῖζων ὁ ἔπαινος. *Περσίδα, τὴν ἀγαπητὴν.*] Αὕτη μεῖζων Τρυφαίνης καὶ Τρυφώσης, ὅτι τε ἀγαπητὴ, καὶ ὅτι πολλὰ ἐκοπίασεν. *Καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ.*] Διπλοῦν ἀγαθὸν τὸ, καὶ τὸν υἱὸν εἶναι ἀνεπίληπτον, καὶ τὴν μητέρα ἐνάρετον· τοῦτο γὰρ δηλοῖ τὸ, *καὶ ἐμοῦ.*

(α) Α' Τιμ. Β', 12.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.] Μέγα καὶ τούτοις τὸ εἶναι Παύλου ἀδελφούς. *Φιλόλογον καὶ Ἰουλίαν.*] Τὸν Φιλόλογον, ὃν λέγουσι πρῶτον ἐπίσκοπον γενέσθαι Σινώπης ὑπὸ Ἀνδρέου. *Καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους.*] Εἰ δὲ ἅγιοι, οὐ μικρὸν αὐτοῖς τὸ ἐγκώμιον. *Ἀσπάσασθε ἀλλήλους.*] Νῦν πάντας ἀναμιξ τίθησιν, ἵνα μή τις λύπη γένηται τοῖς μὴ ὀνομαστὶ μνημονευθεῖσιν. *Ἐν φιλήματι ἁγίῳ.*] Ἕνι γὰρ καὶ μὴ ἁγίῳ. *Ἀσπάζονται ὑμᾶς.*] Οὐκέτι τὸν δεῖνα ἢ τὸν δεῖνα, ἀλλ' ἐκοινοποίησεν αὐτοὺς, τὸ, *ὑμᾶς*, εἰπών.

17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ'
18 αὐτῶν. Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶ-
19 σι τὰς καρδίας τῶν ἀκάκων. Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. Χαίρω οὖν τὸ ἐφ' ὑμῖν· θέλω δὲ ὑμᾶς, σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους
20 δὲ εἰς τὸ κακόν. Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

Ξένον εἶδος συμβουλῆς· ἱκέτου γὰρ ὑπέδυ πρόσωπον, καὶ ἀδελφοὺς καλεῖ μετὰ πολλῆς τῆς τιμῆς. *Σκοπεῖν τοὺς τὰς διχοστασίας.*] Ἐρευνᾶν, φησὶ, καὶ καταμανθάνειν. Δείκνυσι δὲ τὸ δολερὸν τῶν ἐπηρεαζόντων, καὶ ὅτι οὐ γίνονται κατάδηλοι πονηροὶ ὄντες. Αὕτη γὰρ μάλιστα ἐκκλησίας ἀνατροπὴ, τὸ διῃρῆσθαι ἀπ' ἀλλήλων. *Καὶ τὰ σκάνδαλα.*] Μετὰ γὰρ τὴν διχοστασίαν, εἴσοδον εὑρίσκει τὰ σκάνδαλα. Τί δέ ἐστι τὰ σκάνδαλα ἑρμηνεύει· Αἱρέσεις, φησὶ, *παρὰ τὴν διδαχὴν* ἡμῶν ἐπεισιοῦσαι. *Ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ.*] Λί γὰρ αἱρέσεις πᾶσαι καὶ τὰ σκάνδαλα, ἀπὸ τοῦ δουλεύειν πάθεσι καὶ γαστρί. Διό φησιν, ὅτι οὐ δουλεύουσι τῷ Χριστῷ, ἀλλὰ τῇ κοιλίᾳ. Δοκεῖ δὲ τοὺς ἐξ Ἰουδαίων αἰνίττεσθαι· καὶ γὰρ Ἰουδαίων

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πάντες ὡς γαστριμάργων κατηγοροῦσι. *Διὰ τῆς χρηστολογίας.*] Ἀχρι ῥημάτων ἡ θεραπεία, φησίν· ἡ δὲ διάνοια, δολερὰ πρὸς ὑμᾶς. Κοινὸν δὲ τοῦτον λέγει τρόπον ἀπάτης, τὸ πρῶτον αὐτοὺς κολακεύειν. *Τὰς καρδίας τῶν ἀκάκων.*] Οὐκ εἶπεν, ὑμῶν, ἀλλὰ, τῶν ἀκάκων, τουτέστι, τῶν ἁπλουστέρων. *Ἡ γὰρ ὑμῶν ὑπακοή.*] Καὶ ὅτι οὐχ ὑμᾶς, ἀλλὰ τοὺς ἀκάκους ἐξαπατῶσι, δῆλον ἔνθεν, ὅτι *ἡ ὑμῶν ὑπακοὴ*, τουτέστιν, ἡ πειθώ, ἥτις ἀπὸ πολλῆς πραότητος γίνεται, εἰς πάντας ἦλθε. Πολλοὺς δὲ αὐτοῖς ἐφίησι μάρτυρας, ἵνα μὴ ἀναισχυντήσωσι πρὸς τὴν κακὴν διδαχήν. *Χαίρω οὖν τὸ ἐφ' ὑμῖν.*] Τοῖς μὴ ἐξαπατωμένοις. *Σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν.*] Ὑπαινίττεται, ὅτι καὶ ἐξ αὐτῶν ἦσαν τινὲς ἀπατώμενοι. Θέλω γάρ, φησιν, εἰς μὲν τὸ ἀγαθὸν εἶναι ὑμᾶς φρονίμους· εἰς δὲ τὰ φαῦλα, ἀπείρους κακοῦ· τουτέστι, φρονήσει μὲν κεχρῆσθαι, εἰς τὸ μὴ ὑφ' ἑτέρων ἀδικεῖσθαι· ἀκεραιότητι δὲ, εἰς τὸ μὴ ἑτέροις ἐπιβουλεύειν. *Ὁ δὲ θεὸς τῆς εἰρήνης.*] Ἐπειδὴ ἦσαν διχοστασίαι, τὸν τῆς εἰρήνης δοτῆρα ἐπικαλεῖται, ἵνα παύσῃ τὰ σκάνδαλα. *Συντρίψει.*] Ὁ πολλῷ μεῖζον ἦν τοῦ ὑποτάξαι. *Τὸν σατανᾶν.*] Οὐ μόνον, φησὶ, τοὺς τὰ σκάνδαλα παρεμβάλλοντας συντρίψει, ἀλλὰ καὶ αὐτὸν τὸν στρατηγὸν αὐτῶν σατανᾶν. *Ἐν τάχει.*] Ἐκ τοῦ χρόνου τὴν παραμυθίαν κατασκευάζει. *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.*] Ἀνέμνησεν αὐτοὺς καὶ τὴν τοῦ θεοῦ χάριν, τὴν ἀεὶ σώσασαν. Εἰ δὲ ἐχθροὺς ὄντας ἔσωσε, πολλῷ μᾶλλον νῦν. Ὁρᾷς, ὅτι μετὰ τῶν ἔργων, καὶ χάριτος εἰς τὸ σωθῆναι δεόμεθα; Μετὰ γὰρ τὸ μαρτυρῆσαι αὐτοῖς ὑπακοὴν, τότε τὴν χάριν ἐπηύξατο.

21 Ἀσπάζονται ὑμᾶς Τιμόθεος, ὁ συνεργός μου, καὶ
Λούκιος, καὶ Ἰάσων, καὶ Σωσίπατρος, οἱ συγγε-
22 νεῖς μου. Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας
23 τὴν ἐπιστολὴν, ἐν Κυρίῳ. Ἀσπάζεται ὑμᾶς Γάϊος,
ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. Ἀσπάζεται
ὑμᾶς Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

24 αρτος, ὁ ἀδελφός. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Εἶδες ἐγκώμιον τοῦ Τιμοθέου; Συνήργει γὰρ αὐτῷ ἐν τῷ εὐαγγελίῳ. *Καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου.*] Συγγενεῖς φησι τοὺς ἐοικότας αὐτῷ κατὰ τὴν εὐσέβειαν. *Τέρτιος ὁ γράψας.*] Ἀντὶ μεγάλου τέθεικεν ἐπαίνου τὸ εἶναι ὑπογραφέα Παύλου. *Γάϊος, ὁ ξένος μου.*] Τουτέστιν, ὁ ξενοδόχος μου· καὶ πολὺς ὁ ἔπαινος, ὅτι πᾶσαν αὐτὸς ἐξενοδόχει τὴν ἐκκλησίαν καὶ τὸν Παῦλον αὐτόν· ὃς οὐκ ἂν ἁπλῶς παρ' αὐτῷ ἐξενίσθη, εἰ μὴ ἦν ὁ Γάϊος ἄξιος. *Ὁ οἰκονόμος τῆς πόλεως.*] Τὴν ἀξίαν αὐτοῦ τέθεικεν, ἵνα γνῶς, ὅτι οὐ πλοῦτος, οὐκ ἀξίωμα, κώλυμα γίνεται τινὶ πρὸς τὸ ὀρθῶς βιοῦν ἢ πιστεύειν. *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*] Τῆς χάριτος μέμνηται, τῶν εὐεργεσιῶν ὑπομιμνήσκων τοῦ Χριστοῦ. *Μετὰ πάντων ὑμῶν. Ἀμήν!*] Οὕτως ἤρξατο ἀπὸ εὐχῆς· « Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· » καὶ οὕτω καταπαύει τὸν λόγον προσηκόντως εἰς εὐχήν, *Ἡ χάρις*, λέγων, *τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.* Ταύτην γὰρ θεμέλιον, ταύτην ὅρον ἀεὶ ποιεῖν αὐτῷ φίλον.

ΤΕΛΟΣ

ΣΥΝ ΘΕΩ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης, τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

Α Εὐαγγελικὴ διδασκαλία περὶ γε τῶν ἔξω χάριτος Χριστοῦ καὶ τῶν ἐν χάριτι, καὶ περὶ ἐλπίδος καὶ πολιτείας πνευματικῆς 227

Β Περὶ κρίσεως τῆς κατὰ ἐθνῶν, τῶν μὴ φυλασσόντων τὰ φυσικά (1) 239

Γ Περὶ κρίσεως τῆς κατὰ τοῦ Ἰσραὴλ, τοῦ μὴ φυλάσσοντος τὰ νόμιμα 251

Δ Περὶ ὑπεροχῆς Ἰσραὴλ, τοῦ τυγχάνοντος τῆς ἐπαγγελλίας 261

Ε Περὶ χάριτος, δι' ἧς μόνον ἄνθρωποι δικαιοῦνται, οὐ κατὰ γένος διακεκριμένως, ἀλλὰ κατὰ θεοῦ δόσιν ἰσοτίμως, κατὰ τὸν Ἀβραὰμ τύπον . . 268

Ϛ Περὶ τῆς ἀποκειμένης ἐλπίδος. 290

Ζ Περὶ εἰσαγωγῆς τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ, ἀντὶ τοῦ πεσόντος ἐξ ἀρχῆς γηγενοῦς Ἀδάμ. 297

Η Περὶ τῆς ὀφειλομένης ἐπὶ τῇ πίστει πράξεως ἀγαθῆς. 309

Θ Ἐπανάληψις περὶ τῆς ἐν χάριτι ζωῆς 321

Ι Περὶ τῆς ὑπὸ νόμου κατακρίσεως διὰ τὴν ἁμαρτίαν. 324

ΙΑ Περὶ τῶν ἐν ἀνθρωπίνῃ φύσει παθῶν, ἀδύνατον ποιούντων τὴν πρὸς νόμον συμφωνίαν . . . 334

ΙΒ Περὶ ἀποδύσεως τῶν φυσικῶν παθημάτων διὰ τῆς πρὸς τὸ πνεῦμα συμφωνίας 341

ΙΓ Ἐπανάληψις περὶ τῆς ἀποκειμένης τοῖς ἁγίοις δόξης 349

(1) Διορθούσθω καὶ ἐν τῷ κειμένῳ, φυσικὰ, ἀντὶ τοῦ, νόμιμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ΙΔ Περὶ τῆς ὀφειλομένης Χριστῷ ἀγάπης. , . . 360

ΙΕ Περὶ ἐκπτώσεως Ἰσραὴλ, τοῦ ἀποβληθέντος, καὶ κλήσεως τοῦ ἀληθοῦς, τοῦ εἰσαχθέντος μετὰ ἐθνῶν 362

ΙΣ Ὅτι κατὰ ἀπιςίαν ἡ ἔκπτωσις διὰ τῆς εἰς ἄγνοιαν ἐγκαταλείψεως καὶ τοῦ μὴ ἁρμόζοντος αὐτοῖς κηρύγματος 383

ΙΖ Περὶ τοῦ σκοποῦ, καθ' ὃν ἐξεβλήθησαν, ὥστε δεύτερον ἐπανελθεῖν, ζήλῳ τῶν προτιμηθέντων ἐθνῶν, τουτέστι, τῶν συναχθέντων πιστῶν. . 392

ΙΗ Παραίνεσις περὶ ἀρετῆς τῆς πρὸς θεὸν καὶ ἀνθρώπους· ἐν ᾗ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας· περὶ τῆς πρὸς θεὸν λατρείας· περὶ τῆς πρὸς ἀντικειμένους ἀνεξικακίας· περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς· περὶ σωφροσύνης καὶ πραότητος· περὶ τῆς ἐν βρώμασι καὶ ἡμέραις ἀμάχου διανοίας . . . , ... 411

ΙΘ Περὶ μιμήσεως τῆς Χριστοῦ ἀνεξικακίας . . . 450

Κ Περὶ τῆς λειτουργίας αὐτοῦ τοῦ Παύλου, τῆς ἐν ἀνατολῇ καὶ δύσει 456



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

